www.tezaurliturgic.ro

# ΙΣΤΟΡΙΑ

ΣΥΓΓΡΑΦΕΙΣΑ ΠΑΡΑ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

ΔΙΑΛΑΜΒΑΝΟΥΣΑ ΤΟΝ ΒΙΟΝ ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

# ΒΑΡΛΑΑΜ ΚΑΙ ΙΩΑΣΑΦ

ΑΝΕΚΔΟΤΟΣ ΟΥΣΑ ΕΚΔΙΔΟΤΑΙ ΗΔΗ ΕΛΛΗΝΙΣΤΙ

ΥΠΟ

**ΣΩΦΡΟΝΙΟΥ ΜΟΝΑΧΟΥ ΑΓΙΟΡΕΙΤΟΥ**

ΕΚ ΡΑΙΔΕΣΤΟΥ ΚΕΧΑΓΙΟΓΛΟΥ

ΕΠΙ ΤΗι ΒΑΣΕΙ ΜΕΜΒΡΑΙΝΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ

ΤΗΣ ΕΝ ΤΩι ΑΓΙΩΝΥΜΩι ΟΡΕΙ ΙΕΡΑΣ ΣΚΗΤΕΩΣ ΤΗΣ ΘΕΟΠΡΟΜΗΤΟΡΟΣ ΑΝΝΗΣ

---

«Ὅσοι πνεύματι Θεοῦ ἄγονται οὗτοι εἰσὶν υἱοὶ Θεοῦ φησὶν ὁ θεῖος ἀποστ. Ῥωμ. η΄. 14» τὸ δὲ Πνεύματος ἁγίου ἀξιωθῆναι, καὶ υἱοὺς Θεοῦ γενέσθαι, τῶν ὀρεκτῶν ἐστὶ τὸ ἀκρότατον· καὶ οὐ γενομένοις, πάσης θεωρίας ἀνάπαυσις.

ΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣ
Δοχ. 80

ΕΝ ΑΘΗΝΑΙΣ

ΣΠΥΡΙΔ. ΚΟΥΣΟΥΛΙΝΟΥ

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΚΑΙ ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ

ΟΔΟΣ ΣΤΑΔΙΟΥ ΕΝ ΤΩι ΠΕΡΙΒΟΛΩι ΤΗΣ ΒΟΥΛΗΣ

1884

www.tezaurliturgic.ro

**Τοῖς ἀναγινώσκουσι.**

Εὐφροσύνη εἰκότως καὶ θυμηδία καταλαμβάνει τὴν ψυχὴν παντὸς ἀνθρώπου, ἀναγινώσκοντος τὰ ὑπὲρ ἄνθρωπον κατορθώματα τῶν μαρτύρων τῆς ἀληθείας καὶ τοὺς ἀγῶνας καὶ ἱδρῶτας τῆς ἀρετῆς τῶν Ἁγίων καὶ θεολήπτων ἐκείνων ἀνδρῶν, ὧν τὴν ὑπομονὴν καὶ καρτερίαν ἐθαύμασαν μὲν Ἄγγελοι καὶ ἄνθρωποι, ἔφριξαν δὲ δαίμονες! Θαυμασμοῦ καὶ ἐκπλήξεως ἄξιον εἶναι νὰ βλέπῃ τις βασιλόπαιδας καὶ πορφυρογεννήτους, οἵτινες ἀντὶ τῶν διαδημάτων καὶ σκήπτρων, ἀντὶ τῆς βασιλικῆς μεγαλειότητος καὶ χλιδῆς ἐξελέξαντο ἆραι ἐπαυχένιον τὸν ζυγὸν τοῦ Χριστοῦ καὶ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τοῦ Εὐαγγελίου βαδίσαι. Πολλοὶ λοιπὸν ἐκ τῶν κατὰ τὸν Ἄθω ἐνασκουμένων ἰδόντες ἐπιτυχῶς ἐκδοθεῖσαν τὴν Ἱερὰν Κλίμακα Ἰωάννου τοῦ Συγγραφέως, προέτρεψάν με νὰ ἀναδεχθῶ τὴν ἐπιμέλειαν καὶ φροντίδα, καὶ ἐκδώσω καὶ ταύτην τὴν ἀνὰ χεῖρας ἱερὰν βίβλον, τὴν ἐμπεριέχουσαν τὸν βίον τῶν Ὁσίων Βαρλαὰμ καὶ Ἰωάσαφ τὸν ὁποῖον συνέγραψεν ἡ Καλλικέλαδος ἀηδὼν τῆς ἐκκλησίας Ἰωάννης, λέγω ὁ Δαμασκηνὸς, κάλλιστα καὶ ἐνθουσιαστικώτατα, τῇ εὐφραδείᾳ τοῦ λόγου καταγοητεύων τοὺς ἐντυγχάνοντας.

Ἐπειδὴ λοιπὸν ἡ ἱστορία αὕτη εἶναι πολλοῦ λόγου ἀξία, ὡς ψυχωφελεστάτη καὶ συγκινητικωτάτη, καὶ ὡς τοιούτου γλαφυρωτάτου καλάμου ἀξιωθεῖσα, ἔγνωμεν ταύτην δημοσιεῦσαι τύπῳ νῦν πρῶτον, ὥς τι πνευματικὸν τρωγάλιον τῷ χριστεπωνύμῳ πληρώματι παρατιθέμενοι. Ἐγὼ δὲ ἂν καὶ ἐπόθουν τὴν ἔκδοσιν ταύτης τῆς θαυμασίου ἱστορίας, ἔμεινα ὅμως ἀμφιρρεπὴς, ἄχρις οὗ φιλτάτων μοι τις ἐνταῦθα οἴκων, ὁρῶν με ἐφιέμενον τὴν ἔκδοσιν ταύτης, καὶ ἐννοήσας τὴν αἰτίαν τῆς βραδύτητος, διέλυσεν ἀμέσως τὸ νέφος τῶν λογισμῶν διὰ τῆς ἐπιχορηγήσεως τῶν ἐξόδων· καὶ δὴ ἀναλαβὼν τὴν φροντίδα τῆς ἐκδόσεως, ἀπεπεράτωσα ταύτην κομψῶς καὶ φιλοκάλως τῇ τοῦ Θεοῦ βοηθείᾳ, προσθεὶς ἐν τῷ τέλει καὶ τὴν ἀκολουθίαν τῶν Ὁσίων· ὡς καὶ τὸν πολλοῦ λόγου ἄξιον βίον τῆς Ὁσίας Συγκλητικῆς, ὃν συνέγραψεν ὁ Μέγας πατὴρ Ἀθανάσιος.

Ὁποία δ' ἐστὶν ἡ ἀξία τῆς Βίβλου ταύτης διὰ μακρῶν σαφῶς ἐκτίθεται ἐν τῷ Ἰαμβικῷ προοιμίῳ.

Δέξασθε τοίνυν εὐμενῶς, ἀγαπητοὶ ἐν Χριστῷ ἀδελφοὶ, τὴν ἱερὰν ταύτην βίβλον, ὡς τὰ μάλα ψυχοσωτήριον, καὶ τρυγήσατε καρποὺς ἀειθαλεῖς τῆς ἀθανασίας, δεόμενοι τοῦ παναγάθου Θεοῦ, ἵνα ἐνισχύῃ ἕκαστον εἰς τὴνἐργασίαν τῶν αὐτοῦ θελημάτων. Ἀμήν.

Ἔρρωσθε καὶ ἐνδυναμοῦσθε ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ.

Σωφρονιος Μοναχος Αγιορειτης.
Ἐκ Ῥαιδεστοῦ Κεχαϊόγλου.

www.tezaurliturgic.ro




## ΠΡΟΟΙΜΙΟΝ ΕΙΣ ΤΗΝ ΠΑΡΟΥΣΑΝ ΒΙΒΛΟΝ

ΔΙΑ ΣΤΙΧΩΝ ΙΑΜΒΩΝ

---

Φαιδρὸς ὁ χρυσὸς, φαεινοὶ οἱ ἀστέρες· φεγγοβόλος τε, φωσφόρος ἡ σελήνη, καὶ ὁ ἥλιος ἀκτινοφωτοφόρος· ὁ δὲ νοερὸς καὶ φαιδρὸς ἀστὴρ οὗτος, ὁ πανάριστος φημὶ, καὶ σεπτὸς βίος, τοῦ τε πανσέπτου Βαρλαὰμ τοῦ πανσόφου, τοῦ ὡς ἀληθῶς θεολογικωτάτου· καὶ τοῦ μάκαρος, Ἰωάσαφ τοῦ πάνυ, τοῦ ἰσαγγέλου, καί γε ἰσαποστόλου, ὅς τις ἡ τῇδε πᾶσα πέφυκε βίβλος, (ὢ πῶς ἐξείπω, πῶς δὲ ὅλως ἐκφράσω, τὴν ὑπεροχὴν τὴν ὑπερτάτην τούτου;) τηλαυγέστατος, χρυσοῦ δοκιμωτάτου· φαεινότατος, ἀστέρων καὶ σελήνης· καὶ λαμπρότατος, καὶ αὐτοῦ τοῦ ἡλίου· πλήρης γὰρ οὗτος, τῆς θείας ἀγλαΐας· πλήρης χάριτος, πλήρης σοφίας θείας· πλήρης καταγύξεως, καὶ εὐφροσύνης· πλήρης ἅπας τε ἀφράστου θυμηδίας· ὅλος χαροπάροχος, ὅλος χαρίεις· ὅλος φωτοπάροχος, ὅλος θυμήρης· ἀστραποχρυσόμορφος, λελαμπρυσμένος· ἀστερολαμπρόμορφος, ἠγλαϊσμένος· μελισταγής τε, καὶ μελίρρυτος ὅλος· καὶ ἀμβρόσιος, καὶ νεκταρώδης ὅλος· ὄντως οὗτος πέφυκε τρυφῆς χειμάρρους, καὶ ῥεῖθρον ἀένναον, σεπτῶν χαρίτων· πηγή τε θεόβρυτος, ἐξ ἧς περ ῥέει, τὸ γλυκύρροον, καὶ ζωήρρυτον νᾶμα· κῆπος ἐπανθὴς, ἀνθοφόρον πεδίον, καὶ τερπνὸς παράδεισος, καὶ ἄλσος θεῖον· εὔχρουν τε ἄνθος καὶ ἡδύπνοον κρίνον, καὶ εὔπνουν ἴον, καὶ πανεύοσμον ῥόδον· τοῦτον τοιγαροῦν, μέτιθι ὦ φιλότης, ψυχῇ ζεούσῃ, καὶ νηφούσῃ καρδίᾳ· ὡς ἀληθῶς γαρ, πανασύγκριτος οὗτος, τῇ τε ἀρίστῃ καὶ ἡδυτάτῃ φράσει, καὶ τῇ καλλίστῃ, καὶ τερπνῇ διηγήσει· ὡς ἐν ἄνθεσιν ὑπερέχει τὸ ῥόδον, καὶ ἐν ἄστρασιν, ὁ φαιδρὸς ἑωσφόρος, οὕτω καὶ οὗτος, ἐν τοῖς Ἁγίων βίοις, καθ᾽ ὑπερβολὴν, ὑπερφερὴς ὁρᾶται· οὗτος πάντιμον τῆς ἀμαλθείας κέρας· οὗτος πάνσεπτον, πιστῶν ἁπάντων γέρας· οὗτος τὸ μέγα θαῦμα, τῶν μονοτρόπων· οὗτος τὸ μέγα τραῦμα, τῶν κακοτρόπων· πλοῦτος οὗτος ἄσυλος, θεοσεβείας, καὶ ἀδάπανος, ὄλβος θεογνωσίας· οὗτος κλέος μέγιστον, τῆς Ἐκκλησίας· οὗτος εὖχος φέριστον, τῆς εὐσεβείας· οὗτος ἔγχος κράτιστον, τῆς δυσσεβείας· ἐν τούτῳ γνώσῃ, ὕψος δογμάτων

www.tezaurliturgic.ro



θείων· ἐν τούτῳ δρέψῃ, καρποὺς ἀθανασίας· ἐν τούτῳ ὄψει, κρουνοὺς θεολογίας· ἐν τούτῳ τεύξῃ, ἀῤῥήτων θεαμάτων· καὶ διδαγμάτων καὶ ξένων ἀκουσμάτων· ἐν τούτῳ ὄψει, τὰς λαμπρὰς ἀριστείας, καὶ τὰ τρόπαια, καὶ τοὺς ἡρώους ἄθλους, τῶν τε ῥηθέντων, θεσπεσίων Πατέρων, καὶ πλείστων ἄλλων, ἀνωνύμων ὁσίων, ὁμολογητῶν, καὶ ἀθλητῶν γενναίων, τῶν διὰ Χριστὸν, εὐκλεῶς ἀθλησάντων· καὶ τὴν ἔπαρσιν, καὶ τὴν ἀλαζονείαν, τοῦ βροτοκτόνου, εὐσθενῶς καθελόντων· πρὸς δ' ἐπὶ πᾶσι τούτοις, ἐν τούτοις ὄψει, καὶ τοῦ Ἀβεννὴρ, τοῦ κλεινοῦ βασιλέως, τὴν ἀλλοίωσιν, τὴν ὄντως θειοτάτην, καὶ μετάνοιαν, τὴν μεμεριμνημένην, ἐν ᾗπερ κατέληξε, πρὸς λῆξιν θείαν· καὶ ὅλως εἰπεῖν, ἐν τούτῳ σαφῶς γνώσῃ, καινὰ καὶ φρικτὰ, παράδοξα καὶ ξένα, πλήρη ἅπαντα, ἁπάσης ὠφελείας. Ἀλλ', ὦ πάνσεπτοι, καὶ πανσέβαστοι ἄνδρες· ὦ πανάγια, τοῦ Θεοῦ λόγου σκεύη, ὦ τρισόλβιοι, θεοφόροι Πατέρες· θεῖε Βαρλαὰμ, πάνσοφε Ἰωάσαφ· μηδόλως ἐλλείπετε τοῦ ἱκετεύειν· τῷ Παμβασιλεῖ, καὶ Θεῷ τῶν ἁπάντων, ὑπὲρ τῶν θερμῶς, καὶ πιστῶς μετιόντων, τὸν πανάριστον, καὶ σεπτὸν ὑμῶν βίον, καὶ γεραιρόντων, τὴν ὑμῶν θείαν μνήμην, ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς ἐτησίως, τοῦ λυτρωθῆναι, τῶν βελῶν τοῦ βελίαρ, καὶ ἐπιτυχεῖν, τῆς θείας κληρουχίας· ὑμνεῖν σὺν ὑμῖν, προσκυνεῖν καὶ δοξάζειν, Πατέρα, Λόγον, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητα εἰς τοὺς αἰῶνας.

---

*Ἱστορία ψυχωφελὴς ἐκ τῆς τῶν ἐνδοτάτων Αἰθιόπων χώρας τῆς Ἰνδῶν λεγομένης, πρὸς τὴν ἁγίαν πόλιν μετενεχθεῖσα, διὰ Ἰωάννου Μοναχοῦ Δαμασκηνοῦ, ἀνδρὸς τιμίου καὶ ἐναρέτου, Μονῆς τοῦ ἁγίου Σάββα, διηγουμένη τὸν βίον Βαρλαὰμ καὶ Ἰωάσαφ.*

---

ΟΣΟΙ Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ, φησὶν ὁ θεῖος
Ἀπόστολος πρὸς Ρωμ. η΄. 14»· τὸ δὲ, Πνεύματος ἁγίου ἀξιωθῆναι, καὶ
υἱοὺς Θεοῦ γενέσθαι, τῶν ὀρεκτῶν ἐστι τὸ ἀκρότατον· καὶ οὗ γενομέ-
νοις, πάσης θεωρίας ἀνάπαυσις, καθὼς γέγραπται. Τῆς οὖν ὑπερ-
φυοῦς ταύτης, καὶ τῶν ἐφετῶν ἀκροτάτης μακαριότητος, ἠξιώθησαν
ἐπιτυχεῖν οἱ ἀπ' αἰῶνος ἅγιοι, διὰ τῆς τῶν ἀρετῶν ἐργασίας· οἱ μὲν
μαρτυρικῶς ἀθλήσαντες, καὶ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀν-
τικαθιστάντες· οἱ δὲ ἀσκητικῶς ἀγωνισάμενοι, καὶ τὴν στενὴν βαδί-
σαντες ὁδὸν, καὶ μάρτυρες τῇ προαιρέσει γενόμενοι· ὧν τὰς ἀριστείας
καὶ τὰ κατορθώματα, τῶν τε δι' αἵματος τελειωθέντων, καὶ τῶν δι' ἀ-
σκήσεως τὴν ἀγγελικὴν πολιτείαν μιμησαμένων, γραφῇ παραδιδόναι,
καὶ ἀρετῆς ὑπόδειγμα ταῖς μετέπειτα παραπέμπειν γενεαῖς, ἐκ τῶν
θεοφόρων Ἀποστόλων, καὶ τῶν μακαρίων Πατέρων, ἡ τοῦ Χριστοῦ
παρείληφεν Ἐκκλησία, ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν τοῦτο νομοθε-
τησάντων· ἡ γὰρ πρὸς ἀρετὴν φέρουσα ὁδὸς, τραχεῖά τις ἐστὶ καὶ ἀ-
νάντης, καὶ μάλιστα τοῖς μήπω κεκαθαρμένοις, καὶ μεταθεμένοις ὅ-
λους ἑαυτούς ἐπὶ τὸν Κύριον, ἀλλ' ἐκ τῆς τῶν παθῶν τυραννίδος ἔτι
πολεμουμένοις· διὰ τοῦτο καὶ πολλῶν δεόμεθα τῶν πρὸς ἀρετὴν πα-
ρακαλούντων ἡμᾶς· τοῦτο μὲν παραινέσεων, τοῦτο δὲ καὶ βίων ἱστο-
ρίας τῶν ἐκείνοις προωδευκότων, ὃ καὶ μᾶλλον ἀλύπως ἐφέλκεται
πρὸς αὐτὴν, καὶ μὴ ἀπογινώσκειν παρασκευάζει τῆς πορείας τὸ δύ-
σκολον· ἐπεὶ καί τῷ μέλλοντι βαδίζειν ὁδὸν δύσπορον καὶ τραχεῖαν,
παραινῶν μέν τις καὶ προτρεπόμενος, ἧττον πείσειεν· ὑποδεικνύων δὲ
πολλοὺς αὐτὴν ἤδη διελθόντας, εἶτα καὶ τῷ τέλει καλῶς καταλύσαν-

www.tezaurliturgic.ro



τας, οὕτω πείσει μᾶλλον καὶ αὐτὸν ἂν τῆς πορείας ἅψασθαι. Τούτῳ
οὖν κἀγὼ στοιχῶν τῷ κανόνι, ἄλλως δὲ καὶ τὸν ἐπηρτημένον τῷ δούλῳ
κίνδυνον ὑφορώμενος, ὃς λαβὼν παρὰ τοῦ Δεσπότου τὸ τάλαντον εἰς
γῆν ἐκεῖνο κατώρυξε, καὶ τὸ δοθὲν εἰς ἐργασίαν ἔκρυψεν ἀπραγμά-
τευτον, ἐξήγησιν ψυχωφελῆ ἕως ἐμοῦ καταντήσασαν, οὐδαμῶς σιω-
πήσομαι, ἥν περ μοι ἀφηγήσαντο ἄνδρες εὐλαβεῖς, τῆς ἐνδοτέρας τῶν
Αἰθιόπων χώρας, οὕς τινας Ἰνδοὺς οἶδεν ὁ λόγος καλεῖν, ἐξ ὑπομνη-
μάτων ἀψευδῶν ταύτην ἐκφράσαντες· ἔχει δὲ οὕτως.

Ἡ τῶν Ἰνδῶν λεγομένη αὕτη χώρα, πόῤῥω μὲν διάκειται τῆς Αἰ-
γύπτου, μεγάλη οὖσα καὶ πολυάνθρωπος, περικλύζεται δὲ θαλάσσαις
καὶ ναυσιπόροις πελάγεσι, τῷ κατ᾽ Αἴγυπτον μέρει· ἐκ δὲ τῆς Ἠπεί-
ρου, προσεγγίζει τοῖς ὁρίοις Περσίδος· ἥτις πάλαι μὲν τῷ τῆς εἰδω-
λομανίας ἐμελαίνετο ζόφῳ, εἰς ἄκρον ἐκβεβαρβαρωμένη, καὶ τοῖς ἀθέ-
σμοις ἐκδεδιῃτημένη τῶν πράξεων· ὅτε δὲ ὁ Μονογενὴς τοῦ Θεοῦ Υἱός,
ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, τὸ ἑαυτοῦ πλάσμα μὴ φέρων τῇ ἁ-
μαρτίᾳ δουλούμενον ὁρᾶν, τοῖς οἰκείοις αὐτοῦ περὶ τοῦτο σπλάγχνοις
ἐπικαμφθείς, ὤφθη καθ᾽ ἡμᾶς ἁμαρτίας χωρίς, καὶ τὸν τοῦ Πατρὸς θρό-
νον μὴ ἀπολιπών, Παρθένον ᾤκησε δι᾽ ἡμᾶς, ἵνα ἡμεῖς οἰκήσωμεν τοὺς
οὐρανούς, τοῦ τε παλαιοῦ πτώματος ἀνακληθῶμεν, καὶ τῆς ἁμαρτίας ἀ-
παλλαγέντες, τὴν προτέραν υἱοθεσίαν ἀπολάβωμεν· καὶ πᾶσαν τὴν διὰ
σαρκὸς τελέσας οἰκονομίαν, σταυρόν τε καὶ θάνατον καταδεξάμενος, καὶ
τοῖς ἐπουρανίοις παραδόξως ἑνώσας τὰ ἐπίγεια· ἀναστὰς δὲ ἐκ νεκρῶν,
καὶ μετὰ δόξης εἰς οὐρανοὺς ἀναληφθείς, καὶ ἐν δεξιᾷ τῆς τοῦ Πατρὸς
μεγαλωσύνης καθίσας, τὸ παράκλητον Πνεῦμα τοῖς αὐτόπταις αὐτοῦ
καὶ μύσταις, κατὰ τὴν ἐπαγγελίαν ἐν εἴδει γλωσσῶν πυρίνων ἐξαπέ-
στειλε, καὶ ἔπεμψεν αὐτοὺς εἰς πάντα τὰ ἔθνη φωτίσας τοὺς ἐν σκό-
τει ἀγνοίας καθημένους, καὶ βαπτίζειν αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πα-
τρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· ὡς ἐντεῦθεν, τοὺς μὲν
αὐτῶν, τὰς ἑῴας λήξεις, τοὺς δέ, τὰς ἑσπερίους λαχόντας περιέρχε-
σθαι, βόρειά τε καὶ νότια διαθέειν κλίματα, τὸ προστεταγμένον αὐ-
τοῖς πληροῦντας διάγγελμα· τότε καὶ ὁ ἱερώτατος Θωμᾶς, εἷς ὑπάρ-
χων τῆς δωδεκαρίθμου φάλαγγος τῶν μαθητῶν τοῦ Χριστοῦ, πρὸς τὴν
τῶν Ἰνδῶν ἐξεπέμπετο, κηρύξων αὐτοῖς τὸ σωτήριον κήρυγμα. Τοῦ
Κυρίου δὲ συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακο-
λουθούντων σημείων, τὸ μὲν τῆς δεισιδαιμονίας ἀπηλάθη σκότος, καὶ
τῶν εἰδωλικῶν σπονδῶν τε καὶ βδελυγμάτων ἀπαλλαγέντες, τῇ ἀ-
πλανεῖ προσετέθησαν πίστει· καὶ οὕτω ταῖς ἀποστολικαῖς μεταπλα-
σθέντες χερσί, Χριστῷ διὰ τοῦ βαπτίσματος ᾠκειώθησαν· καὶ ταῖς



κατὰ μέρος προσθήκαις αὐξανόμενοι, προέκοπτον ἐν τῇ ἀμωμήτῳ πί-
στει, ἐκκλησίας τε ἀνὰ πάσας ᾠκοδόμουν τὰς χώρας.

Ἐπεὶ δὲ καὶ ἐν Αἰγύπτῳ ἤρξαντο μοναστήρια συνίστασθαι, καὶ τὰ
τῶν μοναχῶν ἀθροίζεσθαι πλήθη, καὶ τῆς ἐκείνων ἀρετῆς καὶ ἀγγε-
λομιμήτου διαγωγῆς ἡ φήμη τὰ πέρατα διελάμβανε τῆς οἰκουμένης,
καὶ εἰς Ἰνδοὺς ἧκε, καὶ πρὸς ὅμοιον ζῆλον τούτους διήγειρεν, ὡς πολ-
λοὺς αὐτῶν πάντα καταλιπόντας, τὰς ἐρήμους καταλαβεῖν, καὶ ἐν
σώματι θνητῷ τὴν πολιτείαν ἀνειληφέναι τῶν ἀσωμάτων. Οὕτω κα-
λῶς ἐχόντων τῶν πραγμάτων, καὶ χρυσαῖς πτέρυξι, τὸ δὴ λεγόμενον,
εἰς οὐρανοὺς πολλῶν ἀνιπταμένων, ἀνίσταταί τις βασιλεὺς ἐν τῇ αὐτῇ
χώρᾳ Ἀβεννὴρ τοὔνομα, μέγας μὲν γενόμενος πλούτῳ καὶ δυναστείᾳ
καὶ τῇ κατὰ τῶν ἀντικειμένων νίκῃ, φοβερός τε ἐν πολέμοις, καὶ με-
γέθει σώματος, ἅμα δὲ καὶ προσώπου ὡραιότητι σεμνυνόμενος, πᾶσί
τε τοῖς κοσμικοῖς καὶ θᾶττον μαραινομένοις προτερήμασιν ἐγκαυχώ-
μενος· κατὰ ψυχὴν δέ, ἐσχάτῃ πιεζόμενος πτωχείᾳ, καὶ πολλοῖς κα-
κοῖς συμπνιγόμενος, τῆς Ἑλληνικῆς ὑπάρχων μοίρας, καὶ σφόδρα
περὶ τὴν δεισιδαίμονα πλάνην τῶν εἰδώλων ἐπτοημένος. Πολλῇ δὲ
συζῶν οὗτος τρυφῇ, καὶ ἀπολαύσει τῶν ἡδέων καὶ τερπνῶν τοῦ βίου,
καὶ ἐν οὐδενὶ τῶν θελημάτων καὶ ἐπιθυμιῶν αὐτοῦ ὑστερούμενος, ἓν
εἶχε τὸ τὴν εὐφροσύνην αὐτῷ ἐκκόπτον, καὶ μερίμναις αὐτοῦ βάλλον
τὴν ψυχήν, τὸ τῆς ἀτεκνίας κακόν· ἔρημος γὰρ ὑπάρχων παίδων, διὰ
φροντίδος εἶχε πολλῆς ὅπως τοῦ τοιούτου λυθεὶς δεσμοῦ, τέκνων
κληθείη πατήρ· πρᾶγμα τοῖς πολλοῖς εὐκταιότατον. Τοιοῦτος μὲν ὁ
βασιλεύς, καὶ οὕτως ἔχων τῆς γνώμης.

Τὸ δὲ εὐκλεέστατον γένος τῶν χριστιανῶν, καὶ τὰ τῶν μοναχῶν
πλήθη παρ᾽ οὐδὲν θέμενοι τὸ τοῦ βασιλέως σέβας, μήτε τὴν αὐτοῦ
δεδοικότες ὅλως ἀπειλήν, προέκοπτον τῇ τοῦ Χριστοῦ χάριτι, εἰς λό-
γου κρείττονα πληθὺν ἐπιδιδόντες· βραχὺν μὲν ποιούμενοι τοῦ βασι-
λέως τὸν λόγον, τῶν δὲ πρὸς θεραπείαν φερόντων Θεοῦ διαφερόντως
ἐχόμενοι. Καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν μοναδικὴν ἐπανῃρημένων
τάξιν, πάντα μὲν ἐπίσης τὰ ἐνταῦθα τερπνὰ διέπτυον, πρὸς ἓν δὲ μό-
νον τοῦτο εἶχον ἐρωτικῶς, τὴν εὐσέβειαν καὶ τὸν ὑπὲρ Χριστοῦ θάνα-
τον ἐδίψων, καὶ τῆς ἐκεῖθεν ὠρέγοντο μακαριότητος. Ἐκήρυττον οὖν οὐ
φόβῳ τινὶ καὶ ὑποστολῇ, ἀλλὰ καὶ λίαν εὐπαῤῥησιάστως, τὸ τοῦ Θεοῦ
σωτήριον ὄνομα· καὶ οὐδὲν ἕτερον, ὅτι μὴ Χριστὸς αὐτοῖς διὰ στόμα-
τος ἦν· τήν τε ῥευστὴν καὶ εὐμάραντον φύσιν τῶν παρόντων, καὶ τὸ
πάγιον καὶ ἄφθαρτον τῆς μελλούσης ζωῆς φανερῶς πᾶσιν ὑπεδείκνυον
καὶ οἱονεὶ ἀφορμὰς παρεῖχον καὶ σπέρματα, πρὸς τὸ οἰκείους γενέ-

www.tezaurliturgic.ro



σθαι Θεῷ, καὶ τῆς ἐν Χριστῷ κρυπτομένης ἀξιωθῆναι ζωῆς. Ἐντεῦθεν πολλοὶ τῆς ἡδίστης ἐκείνης διδασκαλίας ἀπολαύσαντες, τοῦ μὲν πικροῦ τῆς ἀπάτης ἀφίσταντο σκότους, τῷ δὲ γλυκεῖ τῆς ἀληθείας φωτὶ προσετίθεντο· ὡς καί τινας τῶν ἐνδόξων καὶ τῆς συγκλήτου βουλῆς πάντα ἀποτίθεσθαι τὰ τοῦ βίου βάρη, καὶ λοιπὸν γίνεσθαι μοναχούς.

Ὁ δὲ βασιλεὺς ὡς ἤκουσε ταῦτα, ὀργῆς ὅτι πλείστης πληρωθεὶς, καὶ τῷ θυμῷ ὑπερζέσας, δόγματα αὐτίκα ἐξέθετο, πάντα χριστιανὸν βιάζεσθαι τοῦ ἐξόμνυσθαι τὴν εὐσέβειαν· ὅθεν καὶ καινὰ μὲν κατ' αὐτῶν εἴδη βασάνων ἐπενόει καὶ ἐπετήδευε, καινοὺς δὲ τρόπους θανάτων ἠπείλει· καὶ γράμματα κατὰ πᾶσαν τὴν ὑποτελῆ αὐτῷ χώραν ἐπέμπετο ἄρχουσι καὶ ἡγεμόσι, τιμωρίας κατὰ τῶν εὐσεβῶν, καὶ σφαγὰς ἀδίκους ἀποφαινόμενα ἐξαιρέτως δὲ κατὰ τῶν τοῦ μοναδικοῦ βίου λογάδων θυμομαχῶν, ἄσπονδον ἤγειρε τὸν πρὸς αὐτοὺς ἀκήρυκτον πόλεμον. Ταύτῃ καὶ πολλοὶ μὲν τῶν πιστῶν τὴν διάνοιαν ἐσαλεύοντο, ἄλλοι δὲ τὰς βασάνους μὴ δυνηθέντες ὑπενεγκεῖν, τῷ ἀθεμίτῳ αὐτοῦ εἶκον προστάγματι. Οἱ δὲ τοῦ μοναχικοῦ τάγματος ἡγεμόνες καὶ ἀρχηγοὶ, οἱ μὲν ἐλέγχοντες αὐτοῦ τὴν ἀνομίαν, τὸ διὰ μαρτυρίου ὑπήνεγκαν τέλος, καὶ τῆς ἀλήκτου ἐπέτυχον μακαριότητος· οἱ δὲ ἐν ἐρημίαις καὶ ὄρεσιν ἀπεκρύπτοντο, οὐ δέει τῶν ἠπειλημένων βασάνων, ἀλλ' οἰκονομίᾳ τινὶ θειοτέρᾳ.

**Ἱστορία θαυμάσιος θαυμασίου καὶ γενναίου ἀνδρός,**

Τῆς τοιαύτης οὖν σκοτομήνης τὴν Ἰνδῶν καταλαβούσης, καὶ τῶν μὲν πιστῶν πανταχόθεν ἐλαυνομένων, τῶν δὲ τῆς ἀσεβείας ὑπασπιστῶν κρατυνομένων, αἵμασί τε καὶ κνίσσαις τῶν θυσιῶν καὶ αὐτοῦ δὴ τοῦ ἀέρος μολυνομένου, εἷς τις τῶν τοῦ βασιλέως ἀρχισατράπης τὴν ἀξίαν, ψυχῆς παραστήματι, μεγέθει τε καὶ κάλλει καὶ πᾶσιν ἄλλοις, οἷς ὥρα σώματος, καὶ γενναιότης ψυχῆς, παράστημά τε ἀνδρείας χαρακτηρίζεσθαι πέφυκε, τῶν ἄλλων ἐτύγχανε διαφέρων, τὸ ἀσεβὲς ἐκεῖνο πρόσταγμα ἀκούσας οὗτος, χαίρειν εἰπὼν τῇ ματαίᾳ ταύτῃ καὶ κάτω συρομένῃ δόξῃ τε καὶ τρυφῇ, τοῖς τῶν μοναχῶν λογάσιν ἑαυτὸν ἐγκατέμιξεν, ὑπερόριος γενόμενος ἐν ἐρήμοις τόποις, νηστείαις τε καὶ ἀγρυπνίαις, καὶ τῇ τῶν θείων λογίων ἐπιμελεῖ μελέτῃ τὰς αἰσθήσεις ἄριστα ἐκκαθάρας, καὶ τὴν ψυχὴν πάσης ἀπαλλάξας ἐμπαθοῦς σχέσεως, τῷ τῆς ἀπαθείας φωτὶ κατελάμπρυνεν. Ὁ δὲ βασιλεὺς πάνυ τοῦτον φιλῶν, καὶ διὰ τιμῆς ἄγων, ὡς ἤκουσε ταῦτα, ἤλγησε μὲν τὴν ψυχὴν ἐπὶ τῇ τοῦ φίλου στερήσει, ἐξεκαύθη δὲ πλέον τῇ κατὰ τῶν μοναζόντων ὀργῇ. Καὶ δὴ κατὰ ζήτησιν αὐτοῦ πανταχοῦ ἀποστείλας,



καὶ πάντα λίθον κινήσας, τὸ τοῦ λόγου, ὥστε τοῦτον ἐφευρεῖν, μετὰ χρόνον ἱκανὸν, οἱ ἐπὶ ζήτησιν πεμφθέντες, ὡς ᾔσθοντο αὐτὸν ἐν ἐρήμοις τὰς οἰκήσεις ἔχοντα, διερευνήσαντες καὶ συλλαβόμενοι, τῷ τοῦ βασιλέως παρέστησαν βήματι.

Ἰδὼν δὲ αὐτὸν ὁ βασιλεὺς ἐν οὕτω πενιχρᾷ καὶ τραχυτάτῃ ἐσθῆτι τὸν ποτὲ λαμπροῖς ἱματίοις ἠμφιεσμένον, καὶ τὸν πολλῇ τρυφῇ τε καὶ ῥᾳστώνῃ τοῦ βίου πρότερον ἐκδεδιῃτημένον, τεταλαιπωρημένον, καὶ τεταριχευμένον τῇ σκληρᾷ τῆς ἀσκήσεως διαγωγῇ, καὶ τοῦ ἐρημικοῦ βίου ἐναργῶς περικείμενον τὰ γνωρίσματα, καὶ λύπης ὁμοῦ καὶ ὀργῆς ἐπεπλήρωτο· καὶ ἐξ ἀμφοῖν τὸν λόγον κεράσας, ἔφη πρὸς αὐτόν· ὦ ἀνόητε, καὶ φρενοβλαβὴς, τίνος χάριν ἀντηλλάξω τῆς τιμῆς αἰσχύνην, καὶ τῆς λαμπρᾶς δόξης τὴν ἀσχήμονα ταύτην ἰδέαν, ὁ πρόεδρος τῆς ἐμῆς βασιλείας, καὶ ἀρχισατράπης τῆς ἐμῆς δόξης, παίγνιον μειρακίων σεαυτὸν καταστήσας, οὐ μόνον τῆς ἡμετέρας φιλίας καὶ παῤῥησίας μακρὰν λήθην πεποιηκὼς, ἀλλὰ καὶ αὐτῆς κατεξαναστὰς τῆς φύσεως, καὶ μηδὲ τῶν ἰδίων τέκνων οἶκτον λαβὼν, πλοῦτόν τε καὶ πᾶσαν τὴν τοῦ βίου περιφάνειαν εἰς οὐδὲν λογισάμενος, καὶ τὴν τοσαύτην ἀδοξίαν, τῆς περιβλέπτου προέκρινας δόξης; ἵνα τί σοι γένηται; καὶ τί ἐντεῦθεν κερδήσῃς, ὅτι πάντων θεῶν τε καὶ ἀνθρώπων τὸν λεγόμενον προτετίμηκας Ἰησοῦν, καὶ τὴν σκληρὰν ταύτην καὶ δυσείμονα ἀγωγὴν τῶν ἡδέων καὶ ἀπολαυστικῶν τοῦ γλυκυτάτου βίου;

Τούτων ἀκούσας ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐκεῖνος, χαριέντως καὶ ἠρέμα καὶ ὁμαλῶς ἀπεκρίνατο· εἰ λόγον πρός με συνᾶραι θέλεις, ὦ βασιλεῦ, τοὺς ἐχθρούς σου ἐκ μέσου τοῦ δικαστηρίου ποίησον, καὶ τηνικαῦτα ἀποκρινοῦμαί σοι, περὶ ὧν ἂν αἰτήσῃς μαθεῖν· ἐκείνων δὲ συμπαρόντων σοι, οὐδεὶς ἐμοὶ πρὸς σὲ λόγος· ἐκτὸς δὲ λόγου, τιμώρει, σφάζε, ποίει, ὃ θέλεις· «ἐμοὶ γὰρ ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ, φησὶν ὁ ἐμὸς διδάσκαλος. Γαλ. ϛ΄ 15.» Τὸν δὲ βασιλέα φάναι, καὶ τίνες οἱ ἐχθροὶ οὗτοι, οὓς ἐκ μέσου ποιῆσαί με προστάσσεις; φησὶν ὁ θεῖος ἀνὴρ, ὁ θυμὸς, καὶ ἡ ἐπιθυμία· ταῦτα γὰρ ἐξ ἀρχῆς μὲν φησι, συνεργοὶ τῆς φύσεως ὑπὸ τοῦ δημιουργοῦ παρήχθησαν, καὶ νῦν ὡσαύτως ἔχουσι τοῖς μὴ κατὰ σάρκα πολιτευομένοις, ἀλλὰ κατὰ πνεῦμα· ἐν ὑμῖν δὲ οἵτινες τὸ ὅλον ἐστὲ σάρκες, μηδὲν ἔχοντες τοῦ πνεύματος, ἀντίδικοι γεγόνασι, καὶ τὰ τῶν ἐχθρῶν καὶ πολεμίων διαπράττονται. Ἡ γὰρ ἐπιθυμία ἐν ὑμῖν ἐνεργουμένη μὲν, ἡδονὴν ἐγείρει· καταργουμένη δὲ, θυμόν. Ἀπέστω οὖν ταῦτα σήμερον ἀπὸ σοῦ, προκαθεζέσθωσαν δὲ εἰς ἀκρόασιν τῶν λεγομένων καὶ κρίσιν, ἡ φρόνησις καὶ ἡ δικαιοσύνη. Εἰ γὰρ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἐκ μέσου

www.tezaurliturgic.ro



ποιήσεις, ἀντεισάξεις δὲ τὴν φρόνησιν καὶ τὴν δικαιοσύνην, φιλαλή-
θως πάντα λέξω σοι.

Πρὸς ταῦτα ὁ βασιλεὺς ἔφη· ἰδοὺ εἶξά σου τῇ ἀξιώσει, καὶ ἐκβάλλω
τοῦ συνεδρίου τήν τε ἐπιθυμίαν καὶ τὸν θυμὸν, μεσάζειν δὲ τὴν φρό-
νησιν καὶ τὴν δικαιοσύνην ποιήσω. Λέγε μοι λοιπὸν ἀδεῶς, πόθεν σοι
ἡ τοσαύτη ἐγένετο πλάνη, τοῦ προτιμᾷν τὰ ἐν κεναῖς ἐλπίσι τῶν ἐν
χερσὶ βλεπομένων; Ἀποκριθεὶς δὲ ὁ ἐρημίτης εἶπεν· εἰ τὴν ἀρχὴν
ζητεῖς, ὦ βασιλεῦ, πόθεν μοι γέγονε τῶν προσκαίρων μὲν ὑπεριδεῖν,
ὅλον δὲ ἐμαυτὸν ταῖς αἰωνίαις ἐπιδοῦναι ἐλπίσιν, ἄκουσον. Ἐν ἡμέ-
ραις ἀρχαίαις, ἔτι κομιδῇ νέος ὑπάρχων, ἤκουσα ῥῆμά τι ἀγαθὸν καὶ
σωτήριον, καί με κατάκρας ἡ τούτου δύναμις εἶχε· καὶ ὥσπερ τις θεῖος
σπόρος ἡ τούτου μνήμη τῇ ἐν ἐμοὶ φυτευθεῖσα καρδίᾳ, ἀχώριστος
ἐσαεὶ διετηρήθη, ὡς καὶ ῥιζωθῆναι, καὶ ἐκβλαστῆσαι, καὶ ὃν ὁρᾷς καρ-
πὸν ἐνεγκεῖν ἐν ἐμοί· Ἡ δὲ τοῦ ῥήματος δύναμις τοιαύτη τις ἦν.
ἔδοξέ φησι, τοῖς ἀνοήτοις, τῶν ὄντων μὲν καταφρονεῖν, ὡς μὴ ὄντων,
τῶν μὴ ὄντων δὲ, ὡς ὄντων ἀντέχεσθαί τε καὶ περιέχεσθαι. Ὁ μὴ
γευσάμενος οὖν τῆς τῶν ὄντων γλυκύτητος, οὐ δυνήσηται τῶν μὴ ὄν-
των καταμαθεῖν τὴν φύσιν· μὴ καταμαθὼν δὲ, πῶς αὐτῶν ὑπερόψεται;

Ὄντα μὲν οὖν ἐκάλεσεν ὁ λόγος, τὰ αἰώνια καὶ μὴ σαλευόμενα·
μὴ ὄντα δε, τὸν ἐνταῦθα βίον καὶ τὴν τρυφὴν, καὶ τὴν ψευδομένην
εὐημερίαν· οἷς, ὦ βασιλεῦ, κακῶς φεῦ ἡ σὴ προσήλωται καρδία· κἀγὼ
δέ ποτε τούτων ἀντειχόμην· ἀλλ' ἡ τοῦ ῥήματος δύναμις, νύττουσά
μου τὴν ψυχὴν ἀδιαλείπτως, ἐξήγειρέ μου τὸν ἡγεμόνα νοῦν εἰς ἐκ-
λογὴν τοῦ κρείττονος· ὁ δὲ νόμος τῆς ἁμαρτίας ἀντιστρατευόμενος
τῷ νόμῳ τοῦ νοός μου, καὶ ὥς τισι σιδηροπέδαις δεσμῶν με τῇ προσ-
παθείᾳ τῶν παρόντων αἰχμάλωτον κατεῖχεν. Ὅτε δὲ εὐδόκησεν ἡ
χρηστότης καὶ ἀγαθωσύνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ ἐξελέσθαι με τῆς
χαλεπῆς ἐκείνης αἰχμαλωσίας, ἐνίσχυσέ μου τὸν νοῦν περιγενέσθαι
τοῦ νόμου τῆς ἁμαρτίας, καὶ διήνοιξέ μου τοὺς ὀφθαλμοὺς διακρίνειν
τὸ φαῦλον ἀπὸ τοῦ κρείττονος. Τότε δὴ τότε κατενόησα καὶ εἶδον, καὶ
ἰδοὺ πάντα τὰ παρόντα ματαιότης, καὶ προαίρεσις πνεύματος, καθά-
περ καὶ Σολομὼν ὁ Σοφώτατος ἐν τοῖς αὐτοῦ ἔφη συγγράμμασι.
«Ἐκκλ. α΄. 14» τότε περιῃρέθη τῆς καρδίας μου τὸ κάλυμμα τῆς ἁ-
μαρτίας, καὶ ἡ ἐκ τῆς σωματικῆς παχύτητος ἐπικειμένη τῇ ψυχῇ μου
ἀμαύρωσις διεσκεδάσθη, καὶ ἔγνων εἰς ὃ γέγονα, καὶ ὅτι δεῖ με πρὸς
τὸν δημιουργὸν ἀναβῆναι διὰ τῆς τῶν ἐντολῶν ἐργασίας. Ὅθεν πάντα
καταλιπὼν, αὐτῷ ἠκολούθησα, καὶ εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χρι-
στοῦ τοῦ Κυρίου ἡμῶν, ὅτι ἐῤῥύσατό με τοῦ πηλοῦ καὶ τῆς πλινθείας,



καὶ τοῦ ἀπηνοῦς καὶ τοῦ ὀλεθρίου ἄρχοντος τοῦ σκότους τοῦ αἰῶνος
τούτου, καὶ ἔδειξέ μοι ὁδὸν σύντομον καὶ ῥᾳδίαν, δι' ἧς δυνήσωμαι
ἐν τῷ ὀστρακίνῳ τούτῳ σώματι τὴν ἀγγελικὴν ἀσπάσασθαι πολιτείαν·
ἥνπερ φθάσας ζητῶν, τὴν στενὴν καὶ τεθλιμμένην εἱλόμην βαδίζειν
ὁδὸν, πάνυ καταγνοὺς τῆς τῶν παρόντων ματαιότητος, καὶ τῆς ἀ-
στάτου φορᾶς τούτων καὶ περιφορᾶς· καὶ μὴ πειθόμενος ἄλλο τι κα-
λὸν ὀνομάζειν, πρὸ τοῦ ὄντος καλοῦ, οὗπερ σὺ ἐλεεινῶς, ὦ βασιλεῦ,
διεῤῥάγης τε καὶ διέστης.

Ὅθεν καὶ ἡμεῖς διέστημέν σου, δια τὸ εἰς σαφῆ καὶ ὁμολογουμέ-
νην καταπίπτειν ἀσέβειαν, καὶ πρὸς τὸν ἶσον κατενεχθῆναι καὶ ἡμᾶς
κίνδυνον ἀναγκάζειν· ἕως μὲν γὰρ περὶ μόνην τὴν κοσμικὴν στρατείαν
ἐξηταζόμεθα, οὐδὲν τῶν δεόντων ἡμεῖς ἐνελείπομεν· μαρτυρήσεις μοι
καὶ αὐτὸς, ὅτι περ οὐδὲ ῥᾳθυμίαν τινὰ, οὐδὲ ἀμέλειάν ποτε κατεγνώ-
σθημεν· ἐπειδὴ δὲ καὶ αὐτὸ τῶν καλῶν τὸ κεφάλαιον ἀφελέσθαι ἐφι-
λονείκησας ἡμῶν, τὴν εὐσέβειαν, καὶ τὸν Θεὸν ζημιῶσαι τὴν ἐσχά-
την ταύτην ζημίαν, τιμῶν τε διὰ τοῦτο καὶ φιλοτιμίας ἀναμιμνήσκεις,
πῶς οὐκ ἀμαθῶς ἔχειν σε τοῦ καλοῦ δικαίως ἂν εἴποιμι, ὅτι καὶ πα-
ραβάλλεις ὅλως αὐτὰ πρὸς ἄλληλα, εὐσέβειάν φημι, πρὸς τὸν Θεὸν,
καὶ φιλίαν ἀνθρωπίνην, καὶ δόξαν τὴν ἶσα ἐαρινοῖς ἄνθεσι παραθέουσα
καὶ ὕδατι; πῶς δὲ καὶ κοινωνοὶ ἐσόμεθα ἐπὶ τούτῳ, καὶ οὐχὶ τοὐναν-
τίον, καὶ φιλίαν, καὶ τιμὴν, καὶ στοργὴν τέκνων, καὶ ἄλλο εἴτι μεῖ-
ζον ἦν ἀρνησόμεθα, ὁρῶντές σε μᾶλλον, ὦ βασιλεῦ, ἀγνωμονοῦντα
πρὸς τὸν Θεὸν, τὸν καὶ αὐτό σοι τὸ εἶναι. καὶ ἀναπνεῖν παρεχόμενον;
ὃς ἔστι Χριστὸς Ἰησοῦς, Κύριος τῶν ἁπάντων· ὃς ἄναρχος ὢν, καὶ
συναΐδιος τῷ Πατρὶ, καὶ τοὺς οὐρανοὺς τῷ λόγῳ καὶ τὴν γῆν ὑποστή-
σας, τὸν ἄνθρωπον χερσὶν οἰκείαις ἐδημιούργησε, καὶ ἀθανασίᾳ τοῦ-
τον ἐτίμησε, καὶ βασιλέα τῶν ἐπὶ γῆς κατέστησε, καθάπερ τινὰ βασί-
λεια, τὸ κάλλιστον ἁπάντων ὑποτάξας αὐτῷ τὸν παράδεισον. Ὁ δὲ,
φθόνῳ κλαπεὶς, καὶ ἡδονῇ φεῦ μοι! δελεασθεὶς, ἀθλίως τούτων ἐξέ-
πεσε πάντων· καὶ ὁ πρὶν ζηλωτὸς, ἐλεεινὸς ὡρᾶτο, καὶ δακρύων διὰ
τὴν συμφορὰν ἄξιος.

Ὁ πλάσας τοίνυν ἡμᾶς καὶ δημιουργήσας, φιλανθρώποις πάλιν
ἰδὼν ὀφθαλμοῖς τὸ τῶν οἰκείων χειρῶν ἔργον, τὸ Θεὸς εἶναι μὴ με-
ταβαλὼν, ὅπερ ἦν ἀπ' ἀρχῆς, ἐγένετο δι' ἡμᾶς ἀναμαρτήτως ὅπερ
ἡμεῖς· καὶ σταυρὸν ἑκουσίως καὶ θάνατον ὑπομείνας. τὸν ἄνωθεν τῷ
ἡμετέρῳ γένει βασκαίνοντα κατέβαλε πολέμιον· καὶ ἡμᾶς τῆς πικρᾶς
ἐκείνης αἰχμαλωσίας ἀνασωσάμενος, τὴν προτέραν ἀπέδωκε φιλαγάθῳ
εὐσπλαγχνίᾳ ἐλευθερίαν· καὶ ὅθεν διὰ τὴν παρακοὴν ἐκπεπτώκαμεν,

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

www.tezaurliturgic.ro



ἐκεῖ πάλιν διὰ φιλανθρωπίαν ἡμᾶς ἐπανήγαγε, μείζονος ἡμᾶς ἢ πρότερον τιμῆς ἀξιώσας. Τὸν δὴ τοιαῦτα δι' ἡμᾶς παθόντα, καὶ τοιούτων ἡμᾶς πάλιν καταξιώσαντα, τοῦτον αὐτὸς ἀθετῶν, καὶ εἰς τὸν ἐκείνου σταυρὸν ἀποσκώπτων, ὅλος δὲ τῇ τρυφῇ τοῦ σώματος καὶ τοῖς ὀλεθρίοις προσηλωμένος πάθεσι, θεοὺς ἀναγορεύων τὰ τῆς ἀτιμίας καὶ αἰσχύνης εἴδωλα, οὐ μόνον σεαυτὸν τῆς τῶν οὐρανίων ἀγαθῶν συναφείας ἠλλοτρίωσας, ἀλλὰ καὶ πάντας τοὺς πειθομένους τοῖς σοῖς προστάγμασι ταύτης ἀλλοτριῶν, ψυχικῷ κινδύνῳ παρέδωκας.

Ἴσθι τοίνυν ὡς ἔγωγε οὐ πεισθήσομαί σοι οὔτε μὴν κοινωνήσω σοι τῆς τοιαύτης εἰς τὸν Θεὸν ἀχαριστίας, οὐδὲ τὸν ἐμὸν εὐεργέτην καὶ σωτῆρα ἀρνήσομαι, εἰ καὶ θηρίοις ἀναλώσεις, εἰ καὶ ξίφει καὶ πυρὶ παραδώσεις με, ἃ τῆς σῆς ἐξουσίας ἐστίν· οὔτε γὰρ θάνατον δέδοικα, οὔτε ποθῶ τὰ παρόντα, πολλὴν αὐτῶν καταγνοὺς τὴν ἀσθένειάν τε καὶ ματαιότητα· τί γὰρ αὐτῶν χρήσιμον, ἢ μόνιμον, ἢ διαρκές; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ εἶναι, πολλὴ συνυπάρχει αὐτοῖς ἡ ταλαιπωρία· πολλὴ ἡ λύπη· πολλὴ καὶ ἀδιάπαυστος ἡ μέριμνα· τῇ γὰρ εὐφροσύνῃ αὐτῶν καὶ ἀπολαύσει, πᾶσα συνέζευκται κατήφεια καὶ ὀδύνη· ὁ πλοῦτος αὐτῶν πτωχεία ἐστί· καὶ τὸ ὕψος αὐτῶν ταπείνωσις ἐσχάτη· καὶ τίς ἐξαριθμήσει τὰ τούτων κακὰ, ἅπερ δι' ὀλίγων ῥημάτων ὑπέδειξεν ὁ ἐμὸς θεολόγος; φησί γαρ. «Ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται Α. Ἰωάν. Ε'. 19»· καί· μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, ἐκ τοῦ κόσμου ἐστί· καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, μένει εἰς τὸν Αἰῶνα.» Α. Ἰωάν. 6'. 15). Τοῦτο ἐγὼ ζητῶν τὸ ἀγαθὸν, ἀφῆκα πάντα, καὶ ἐκολλήθην τοῖς τὸν αὐτὸν κεκτημένοις πόθον, καὶ τὸν αὐτὸν ἐκζητοῦσι Θεὸν, ἐν οἷς οὐκ ἔστιν ἔρις, ἢ φθόνος, λῦπαι τε καὶ μέριμναι, ἀλλὰ πάντες τὸν ἴσον τρέχουσι δρόμον, ἵνα καταλάβωσι τὰς αἰωνίους μονὰς, ἃς ἡτοίμασεν ὁ Πατὴρ τῶν φώτων τοῖς ἀγαπῶσιν αὐτόν. Τούτους ἐγὼ γεννήτορας, τούτους ἀδελφοὺς, τούτους φίλους καὶ γνωστοὺς ἐκτησάμην· τῶν δέ ποτέ μου φίλων καὶ ἀδελφῶν ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ προσδεχόμενος τὸν Θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος.

Τούτων εὐκαίρως οὕτω καὶ ἡδέως τῷ τοῦ Θεοῦ ἀνθρώπῳ ὑπαγορευθέντων, ὁ βασιλεὺς ἐκινεῖτο μὲν ὑπὸ τοῦ θυμοῦ, καὶ πικρῶς αἰκίζειν τὸν ἅγιον ἐβουλεύετο, ὤκνει δὲ πάλιν, καὶ ἀνεβάλλετο τὴν ἐγχείρησιν, τὸ αἰδέσιμον αὐτοῦ καὶ περιφανὲς εὐλαβούμενος. Ὑπολαβὼν δὲ, ἔφη πρὸς αὐτόν· πανταχόθεν, ἄθλιε, τὴν σεαυτοῦ ἐκμελετήσας ἀπώλειαν, πρὸς



ταύτην ὑπ' αὐτῆς, ὡς ἔοικε, τῆς τύχης συνελαυνόμενος, ἠκόνησας τὸν νοῦν ἅμα καὶ τὴν γλῶτταν, καὶ τοσαύτην βαττολογίαν διεξῆλθες ἀσαφῆ τε καὶ ματαίαν· καὶ εἰμὴ κατ' ἀρχὰς τοῦ λόγου ἐπηγγειλάμην σοι ἐκ μέσου τοῦ συνεδρίου τὸν θυμὸν ποιήσασθαι, νῦν ἂν πυρί σου τὰς σάρκας παρέδωκα· ἐπεὶ δὲ προλαβὼν τοιούτοις μοι κατησφαλίσω τοῖς ῥήμασιν, ἀνέχομαί σου τοῦ θράσους, τῆς προτέρας ἕνεκα πρὸς σὲ φιλίας. Ἀναστὰς οὖν λοιπὸν, φεῦγε ἐξ ὀφθαλμῶν μου· μηκέτι σε ὄψομαι, καὶ κακῶς ἀπολέσω. Καὶ ἐξελθὼν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἀνεχώρησεν εἰς τὴν ἔρημον· λυπούμενος μὲν ὅτι μὴ μεμαρτύρηκε, μαρτυρῶν δὲ καθ' ἡμέραν τῇ συνειδήσει, καὶ ἀντιπαλαίων πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνεύματα τῆς πονηρίας, ὥς φησιν ὁ μακάριος Παῦλος. Ἐκείνου μὲν οὖν ἀποδημήσαντος, πλέον ὁ βασιλεὺς ὀργισθεὶς, διωγμὸν σφοδρότατον κατὰ τοῦ μοναχικοῦ ἐκμελετᾷ τάγματος· πλείονος δὲ τιμῆς τοὺς τῶν εἰδώλων ἠξίου θεραπευτάς τε καὶ νεωκόρους.

## Γέννησις τοῦ θείου Ἰωάσαφ.

Ἐν τοιαύτῃ δὲ δεινῇ πλάνῃ καὶ ἀπάτῃ ὄντος τοῦ βασιλέως, γεν-
νᾶται αὐτῷ παιδίον πάνυ ὡραιότατον, ὡς ἐξ αὐτῆς τῆς ἐπανθούσης
αὐτῷ φαιδρότητος, τὸ μέλλον προσημαίνειν· ἐλέγετο γὰρ μηδαμοῦ ἐν
τῇ γῇ ἐκείνῃ τοιοῦτόν ποτε παῖδα φανῆναι χαριέστατον. Χαρᾶς οὖν
μεγίστης ἐπὶ τῇ τοῦ παιδὸς γεννήσει πλησθεὶς, τοῦτον μὲν Ἰωάσαφ
ἐκάλεσεν, αὐτὸς δὲ πρὸς τοὺς εἰδωλικοὺς ναοὺς ἀνοήτως ἀπῄει, τοῖς
ἀνοητοτέροις αὐτοῦ θεοῖς θύσων, καὶ εὐχαριστηρίους ὕμνους ἀποδώ-
σων ἀγνοῶν τίς ὁ τῶν καλῶν ἁπάντων ἀληθῶς αἴτιος, πρὸς ὃν ἔδει
τὴν πνευματικὴν ἀναφέρειν θυσίαν. Ἐκεῖνος οὖν τοῖς ἀψύχοις καὶ κω-
φοῖς τὴν αἰτίαν τῆς τοῦ παιδὸς γεννήσεως ἀνατιθεὶς, πανταχοῦ διέ-
πεμπε συναγαγεῖν τὰ πλήθη εἰς τὰ τούτου γενέθλια. Καὶ ἦν ἰδεῖν πάν-
τας συῤῥέοντας τῷ φόβῳ τοῦ βασιλέως, ἐπαγομένους τὰ πρὸς τὴν
θυσίαν εὐπρεπισμένα, ὡς ἑκάστου ἡ χεὶρ εὐπόρει, καὶ ἡ πρὸς τὸν βα-
σιλέα εὔνοια εἶχε· μάλιστα δὲ αὐτοὺς ἠρέθιζε πρὸς φιλοτιμίαν αὐτὸς
ὁ βασιλεὺς ταύρους καταθῦσαι φέρων ὅτι πλείστους καὶ εὐμεγέθεις· καὶ
οὕτω πάνδημον ἑορτὴν τελέσας, πάντας ἐφιλοτιμεῖτο δώροις ὅσοι τε
τῆς βουλῆς ἦσαν καὶ τῶν ἐν τέλει, καὶ ὅσοι περὶ τὸ στρατιωτικὸν, ὅσοι
τε τῶν εὐτελῶν καὶ ἀσήμων.

Ἐν αὐτῇ δὲ τῇ τῶν γενεθλίων τοῦ παιδὸς ἑορτῇ συνῆλθον πρὸς τὸν βασιλέα ἐξ ἐπιλογῆς ἄνδρες ὡσεὶ πεντηκονταπέντε, περὶ τὴν ἀστρολογίαν, καὶ περὶ τὴν ἀστροθεάμονα τῶν Χαλδαίων ἐσχολακότες σοφίαν·

www.tezaurliturgic.ro



καὶ τούτοις ἐγγυτάτω παραστησάμενος ὁ βασιλεὺς, ἀνηρώτα ἐξειπεῖν ἕκαστον, τί μέλλει ἔσεσθαι τὸ γεννηθὲν αὐτῷ παιδίον. Οἱ δὲ πολλὰ διασκεψάμενοι, ἔλεγον μέγαν αὐτὸν ἔσεσθαι ἐν πλούτῳ καὶ δυναστείᾳ, καὶ ὑπερβάλλειν πάντας τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας. Εἷς δὲ τῶν ἀστρολόγων ὁ τῶν σὺν αὐτῷ πάντων διαφορώτατος, εἶπεν· ὡς ἐξ ὧν μὲ διδάσκουσιν οἱ τῶν ἀστέρων δρόμοι, ὦ βασιλεῦ, ἡ προκοπὴ τοῦ νυνὶ γεννηθέντος σοι παιδὸς, οὐκ ἐν τῇ σῇ ἔσται βασιλείᾳ ἀλλ᾽ ἐν ἑτέρᾳ κρείττονι, καὶ ἀσυγκρίτως ὑπερβαλλούσῃ· δοκῶ δὲ καὶ τῆς παρὰ σοῦ διωκομένης αὐτὸν ἐπιλαβέσθαι Χριστιανῶν θρησκείας· καὶ οὐκ ἔγωγε, οἶμαι, τοῦ σκοποῦ ἐκείνου καὶ τῆς ἐλπίδος ψευσθήσεσθαι. Ταῦτα μὲν εἶπεν ὁ ἀστρολόγος, ὥσπερ ὁ πάλαι Βαλαάμ· οὐ τῆς ἀστρολογίας ἀληθευούσης, ἀλλὰ τοῦ Θεοῦ διὰ τῶν ἐναντίων τὰ τῆς ἀληθείας παραδεικνύντος, ὥστε πᾶσαν τοῖς ἀσεβέσι πρόφασιν περιαιρεθῆναι.

Ὁ δὲ βασιλεὺς, ὡς ἤκουσε ταῦτα, βαρέως τὴν ἀγγελίαν ἐδέξατο· λύπη τε αὐτῷ τὴν εὐφροσύνην διέκοπτεν· ἐν πόλει δ᾽ ὅμως ἰδιαζούσῃ παλάτιον δειμάμενος περικαλλὲς, καὶ λαμπρὰς οἰκίας φιλοτεχνήσας, ἐκεῖ τὸν παῖδα ἔθετο κατοικεῖν, μετὰ τὴν συμπλήρωσιν τῆς πρώτης αὐτοῦ ἡλικίας· ἀπρόϊτόν τε εἶναι παρεκελεύσατο, παιδαγωγοὺς αὐτῷ, καὶ ὑπηρέτας καταστήσας, νέους τὴν ἡλικίαν, καὶ τῇ ὁράσει ὡραιοτάτους· ἐπισυνάψας αὐτοῖς μηδὲν τῶν τοῦ βίου ἀνιαρῶν κατάδηλον αὐτῷ ποιήσασθαι· μὴ θάνατον, μὴ γῆρας, μὴ νόσον, μὴ πενίαν, μὴ ἄλλο τι λυπηρὸν καὶ δυνάμενον τὴν εὐφροσύνην αὐτῷ διακόπτειν, ἀλλὰ πάντα τὰ τερπνὰ καὶ ἀπολαυστικὰ προτιθέναι· ἵνα τούτοις ὁ νοῦς αὐτοῦ τερπόμενος, καὶ ἐντρυφῶν, μηδὲν ὅλως περὶ τῶν μελλόντων διαλογίσασθαι ἰσχύσειεν, μήτε μέχρι ψιλοῦ ῥήματος τὰ περὶ τοῦ Χριστοῦ, καὶ τῶν αὐτοῦ δογμάτων ἀκούσειε· τοῦτο γὰρ μάλιστα πάντων αὐτῷ ἀποκρύψαι διενοεῖτο, τὴν τοῦ ἀστρολόγου προαγόρευσιν ὑφορώμενος. Εἴ τινα δὲ τῶν ὑπηρετούντων αὐτῷ νοσῆσαι συνέβη, τοῦτον μὲν θᾶττον ἐκβαλεῖν ἐκεῖθεν διεκελεύετο, ἕτερον δὲ ἀντ᾽ αὐτοῦ σφριγῶντα, καὶ εὐεκτοῦντα ἐδίδου ἵνα μηδὲν ὅλως ἀνώμαλον οἱ τοῦ παιδὸς ὀφθαλμοὶ θεάσωνται.

Ὁ μὲν οὖν βασιλεὺς οὕτω ταῦτα διενοεῖτό τε καὶ ἐποίει· βλέπων γὰρ, οὐχ ἑώρα, καὶ ἀκούων, οὐ συνίει. Μαθὼν δέ τινας τῶν μοναζόντων ἔτι περισώζεσθαι, ὧν μηδὲ ἴχνος ὑπολελεῖφθαι ἐδόκει, θυμοῦ ὑπερεμπίπλατο, καὶ ὀξύτατα κατ᾽ αὐτῶν ἐκινεῖτο· κήρυκάς τε ἀνὰ πᾶσαν τὴν πόλιν καὶ τὴν χώραν ἐκέλευε διαθέειν, ἐκβοῶντας, μηδαμοῦ τινα τὸ παράπαν μετὰ τρεῖς ἡμέρας τοῦ τῶν μοναζόντων τάγματος εὑρεθῆναι· εἰ δέ τινες εὑρεθεῖεν μετὰ τὰς διωρισμένας ἡμέρας, τῷ διὰ



πυρὸς καὶ ξίφους ὀλέθρῳ παραδοθήτωσαν· οὗτοι γάρ φησιν, ἀναπείθουσι τὸν λαὸν, ὡς Θεῷ προσέχειν τῷ ἐσταυρωμένῳ. Ἐν δὲ τῷ μεταξὺ συνέβη καί τι τοιοῦτον, ἐφ᾽ ᾧ ἐπιπλέον χαλεπαίνων ἦν ὁ βασιλεὺς, καὶ κατὰ τῶν μοναζόντων ὀργιζόμενος.

Ἀνὴρ γάρ τις τῶν ἐν τέλει, τὰ πρῶτα φέρων ἐν τοῖς βασιλείοις ἐτύγχανε τὸν μὲν βίον ἐπιεικὴς, εὐσεβὴς δὲ τὴν πίστιν, καὶ τὴν ἑαυτοῦ σωτηρίαν ὡς οἷόν τε ἐμπορευόμενος, λανθάνων δὲ ἦν διὰ τὸν φόβον τοῦ βασιλέως. Ὅθεν τινὲς τῆς εἰς τὸν βασιλέα παῤῥησίας καὶ τιμῆς τούτῳ βασκήσαντες, διαβάλλειν αὐτὸν ἐμελέτων· καὶ τοῦτο αὐτοῖς διὰ φροντίδος ἦν. Καὶ δή ποτε πρὸς θήραν ἐξελθόντι τῷ βασιλεῖ μετὰ τῆς συνήθους αὐτῷ δορυφορίας, εἷς ἦν τῶν συνθηρευτῶν καὶ ὁ ἀγαθὸς ἐκεῖνος ἀνήρ. Περιπατοῦντι δὲ αὐτῷ κατὰ μόνας (ἐκ θείας τοῦτο συμβὰν οἶμαι οἰκονομίας) εὑρίσκει ἄνθρωπον ἐν λόχμῃ τινὶ κατὰ γῆς ἐῤῥιμένον, καὶ δεινῶς τὸν πόδα ὑπὸ θηρίου συντετριμμένον. Ὃς ἰδὼν αὐτὸν παριόντα, ἐδυσώπει μὴ παραδραμεῖν, ἀλλ᾽ οἰκτεῖραι αὐτὸν τῆς συμφορᾶς, καὶ εἰς τὸν ἴδιον ἀπαγαγεῖν οἶκον· ἅμα δὲ καὶ τοῦτο προστιθεὶς, ὡς οὐκ ἀνόητός σοι καὶ παντελῶς ἀνενέργητός, φησιν, εὑρεθείην ἐγώ. Ὁ δὲ λαμπρὸς ἐκεῖνος ἀνὴρ, λέγει αὐτῷ· ἐγὼ μὲν διὰ τὴν τοῦ καλοῦ φύσιν προσλήψομαί σε, καὶ θεραπείας, ὅση μοι δύναμις, ἀξιώσω· ἀλλὰ τίς ἡ ὄνησις ἣν παρὰ σοῦ μοι ἔσεσθαι ἔφησας; ὁ δὲ πένης ἐκεῖνος καὶ ἀσθενὴς, ἐγὼ, φησὶν, ἄνθρωπός εἰμι, θεραπευτὴς ῥημάτων· εἰ γάρ ποτε ἐν ῥήμασιν, ἢ ὁμιλίαις πληγή τις, ἢ κάκωσις εὑρεθείη, καταλλήλοις φαρμάκοις ταῦτα θεραπεύσω, τοῦ μὴ περαιτέρω τὸ κακὸν χωρῆσαι.

Ὁ μὲν οὖν εὐσεβὴς ἐκεῖνος ἀνὴρ τὸ λεχθὲν ἀντ᾽ οὐδενὸς ἡγήσατο· ἐκεῖνον δὲ διὰ τὴν ἐντολὴν ἀπαγαγεῖν οἴκαδε παρεκελεύσατο, καὶ τῆς προσηκούσης ἐπιμελείας οὐκ ἀπεστέρησεν. Οἱ δὲ προμνημονευθέντες φθονεροὶ ἐκεῖνοι καὶ βάσκανοι, ἣν πάλαι ὤδινον κακίαν εἰς φῶς προενεγκόντες, διαβάλλουσι τὸν ἄνδρα πρὸς τὸν βασιλέα, ὡς οὐ μόνον τῆς αὐτοῦ φιλίας ἐπιλαθόμενος, ἠλόγησε τῆς πρὸς τοὺς θεοὺς θεραπείας, καὶ πρὸς χριστιανισμὸν ἀπέκλινεν, ἀλλὰ καὶ δεινὰ κατὰ τῆς αὐτοῦ μελετᾷ βασιλείας, τὸν ὄχλον διαστρέφων, καὶ ἑαυτῷ πάντας οἰκειούμενος· ἀλλ᾽ εἰ βούλει, ἔφασκον, βεβαιωθῆναι μηδὲν ἡμᾶς πεπλασμένον λέγειν, καλέσας αὐτὸν ἰδίως, εἰπὲ πειράζων, βούλεσθαί σε καταλιπόντα τὴν πάτριον θρησκείαν, καὶ τὴν δόξαν τῆς βασιλείας, χριστιανὸν γενέσθαι, καὶ τὸ μοναχικὸν περιβαλέσθαι σχῆμα, ὃ πάλαι ἐδίωξας, ὡς οὐ καλῶς τούτου δῆθεν γεγενημένου· οἱ γὰρ ταῦτα κατὰ τοῦ ἀνδρὸς δεινῶς σκεπτόμενοι, ᾔδεισαν τῆς αὐτοῦ γνώμης τὴν εὐ-

www.tezaurliturgic.ro



κατάνυκτον προαίρεσιν, ὡς, εἰ τοιαῦτα παρὰ τοῦ βασιλέως ἀκούσειεν, ἐκείνῳ μὲν τὰ κρείττονα βουλευσάμενος, γνώμην δώσει μὴ ἀναβαλέσθαι πρὸς τὰ καλῶς βεβουλευμένα, καὶ ἐκ τούτου ἀληθῆ λέγοντες ἐκεῖνοι εὑρεθεῖεν.

Ὁ δὲ βασιλεὺς τὴν τοῦ ἀνδρὸς εὔνοιαν πρὸς αὐτὸν ὁπόση μὴ ἀγνοῶν, ἀπίθανα ἡγεῖτο, καὶ ψευδῆ τὰ λεγόμενα· καὶ ὅτι μὴ ἀβασανίστως ταῦτα παραδέχεσθαι δεῖ, δοκιμάσαι τὸ πρᾶγμα καὶ τὴν διαβολὴν διεσκέψατο. Καὶ προσκαλεσάμενος αὐτὸν κατ᾿ ἰδίαν, ἔφη πειράζων· οἶδας ὦ φίλε, ὅσα ἐνεδειξάμην τοῖς τε λεγομένοις μονάζουσι, καὶ πᾶσι τοῖς χριστιανοῖς κακά· νυνὶ δὲ μετάμελος ἐπὶ τούτῳ γενόμενος καὶ καταγνοὺς τῶν παρόντων, ἐκείνων βούλομαι γενέσθαι τῶν ἐλπίδων, ὧν λεγόντων ἀκήκοα, ἀθανάτου τινὸς βασιλείας, εἰς ἄλλην βιοτήν, μελλούσης ἔσεσθαι· ἡ γὰρ παροῦσα θανάτῳ πάντως διακόπτεται· οὐκ ἂν ἄλλως δὲ τοῦτο κατορθωθῆναί μοι δοκῶ, καὶ μὴ ἁμαρτεῖν τοῦ σκοποῦ, εἰ μὴ χριστιανός τε γένωμαι, καὶ χαίρειν εἰπὼν τῇ δόξῃ τῆς ἐμῆς βασιλείας, καὶ τοῖς λοιποῖς ἤθεσι καὶ τερπνοῖς τοῦ βίου, τοὺς ἀσκητὰς ἐκείνους καὶ μονάζοντας ζητήσας, ὅπου ποτ᾿ ἂν εἴη, οὓς ἀδίκως ἀπήλασα, ἐκείνοις ἑαυτὸν ἐγκαταμίξω. Πρὸς ταῦτα τί φῂς αὐτός; καὶ ὁποίαν δίδεις βουλήν; εἰπὲ πρὸς αὐτῆς τῆς ἀληθείας· οἶδα γὰρ ἀληθῆ, καὶ εὐγνώμονα εἶναί σε ὑπὲρ πάντας.

Ὁ δὲ ἀγαθὸς ἐκεῖνος ἀνήρ, ὡς ταῦτα ἤκουσε, μηδόλως τὸν ἐγκεκρυμμένον ἐπιγνοὺς δόλον, κατενύγη τὴν ψυχήν, καὶ δάκρυσι συγκεχυμένος, ἁπλοϊκῶς ἀπεκρίνατο· βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· βουλὴν γὰρ ἀγαθὴν καὶ σωτήριον ἐβουλεύσω· ὅτι κἂν δυσεύρετος ἡ τῶν οὐρανῶν βασιλεία, ἀλλ᾿ ὅμως δεῖ ταύτην πάσῃ δυνάμει ζητεῖν· ὁ ζητῶν γάρ, φησίν, εὑρήσει αὐτήν· ἡ μὲν τῶν παρόντων ἀπόλαυσις, κἂν τῷ φαινομένῳ τέρπει καὶ ἡδύνει, ἀλλὰ καλὸν αὐτὴν ἀπώσασθαι· ἐν αὐτῷ γὰρ τῷ εἶναι, οὐκ ἔστι· καὶ οὓς εὐφραίνει ἑπταπλασίως αὖθις λυπεῖ· τά τε γὰρ ἀγαθὰ αὐτῆς, τά τε λυπηρά, σκιᾶς ἐστιν ἀσθενέστερα· καὶ ὡς ἴχνη νηὸς ποντοπορούσης, ἢ ὀρνέου τὸν ἀέρα διερχομένου, θᾶττον ἀφανίζονται· ἡ δὲ τῶν μελλόντων ἐλπίς, ἣν κηρύττουσιν οἱ χριστιανοί, βεβαία ἐστί, καὶ ἀσφαλεστάτη· θλῖψιν μὲν ἔχει ἐν τῷ κόσμῳ τούτῳ, χαρὰν δὲ ἐν τῷ μέλλοντι· ἀλλὰ τὰ μὲν ἡμέτερα νῦν ἡδέα, ὀλιγοχρόνια· ἐκεῖ δὲ ὅλως οὐδέν, ἢ κόλασιν μόνην προξενοῦντα, καὶ τιμωρίαν, εἰς αἰῶνας μὴ λυομένην· τὸ γὰρ ἡδὺ τούτων, πρόσκαιρον· τὸ δὲ ὀδυνηρόν, διηνεκές· τῶν δὲ χριστιανῶν, τὸ μὲν ἐπίπονον, πρόσκαιρον, τὸ δὲ ἡδὺ καὶ χρήσιμον, ἀθάνατον. Κατευθυνθείη οὖν ἡ



ἀγαθὴ τοῦ βασιλέως βουλή· καλὸν γάρ, καὶ σφόδρα καλόν, τῶν φθαρτῶν τὰ αἰώνια ἀνταλλάξασθαι.

Ἤκουσε ταῦτα ὁ βασιλεύς, καὶ λίαν ἐδυσχέρανε· κατέσχε δὲ ὅμως τὴν ὀργήν, καὶ οὐδὲν τέως τῷ ἀνδρὶ λελάληκεν. Ὁ δέ, συνετὸς ὤν, καὶ ἀγχίνους, ἐπέγνω βαρέως δέξασθαι τὸν βασιλέα τὰ ῥήματα αὐτοῦ· καὶ ὅτι δόλῳ ἦν αὐτῷ ἐκπειράζων· ὑποστρέψας δὲ οἴκαδε, ἠνιᾶτο, καὶ ἐδυσφόρει, ἀπορῶν τίνι τρόπῳ θεραπεύσει τὸν βασιλέα, καὶ ἐκφύγει τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον· ἀύπνῳ δὲ ὅλην τὴν νύκτα διατελοῦντι, ἐπὶ μνήμης ἦλθεν αὐτῷ ὁ τὸν πόδα συντετριμμένος· καὶ τοῦτον πρὸς ἑαυτὸν ἀγαγών, ἔφη· μέμνημαί σου εἰρηκότος, θεραπευτὴν ῥημάτων κεκακωμένων ὑπάρχειν σε. Ὁ δέ, ναί, φησί· καὶ εἰ χρῄζεις, ἐπιδείξομαι τὰ τῆς ἐπιστήμης. Ὑπολαβὼν δὲ ὁ συγκλητικός, ἀφηγήσατο αὐτῷ τήν τε ἐξ ἀρχῆς πρὸς τὸν βασιλέα εὔνοιαν αὐτοῦ, καὶ ἣν ἐκέκτητο παῤῥησίαν, καὶ τὴν ἔναγχος προστεθεῖσαν αὐτῷ δολερὰν ὁμιλίαν· καὶ ὅπως αὐτὸς μὲν ἀγαθὰ ἀπεκρίνατο, ἐκεῖνος δὲ δυσχερῶς δεξάμενος τὸν λόγον, τῇ τοῦ προσώπου ἀλλοιώσει, τὴν ἐνδομυχοῦσαν αὐτῷ ὀργὴν ἐνεδείξατο.

Ὁ δὲ πένης ἐκεῖνος, καὶ ἀσθενής, διασκεψάμενος, ἔφη· γνωστὸν ἔστω σοι, ἐνδοξότατε, πονηρὰν ἔχειν πρὸς σὲ ὑπόληψιν τὸν βασιλέα, ὡς ὅτι κατασχεῖν αὐτοῦ τὴν βασιλείαν ἐπιζητεῖς, καὶ πειράζων σε εἶπεν, ἅπερ εἶπεν. Ἀναστὰς οὖν, καὶ κείρας σου τὴν κόμην, καὶ ἐκβαλὼν τὰ λαμπρὰ ἱμάτια ταῦτα, τρίχινα δὲ ἀμφιασάμενος, ἅμα πρωῒ πρόσελθε τῷ βασιλεῖ· τοῦ δέ, πυνθανομένου, τί σοι τὸ σχῆμα τοῦτο βούλεται; ἀποκρίθητι· περὶ ὧν μοι χθὲς ὡμίλησας, ὦ βασιλεῦ, ἰδοὺ πάρειμι, ἕτοιμος ὢν ἀκολουθῆσαί σοι τὴν ὁδόν, ἣν προεθυμήθης ὁδεῦσαι· εἰ γὰρ καὶ ποθεινή ἐστι ἡ τρυφή, καὶ ἡδίστη, ἀλλὰ μή μοι γένοιτο μετὰ σὲ ταύτην ἀναδέξασθαι· ἡ δὲ τῆς ἀρετῆς ὁδός, ἣν μέλλεις βαδίζειν, κἂν δύσκολός ἐστι, καὶ τραχεῖα, ἀλλὰ μετὰ σοῦ ὄντι, ῥᾳδία μοι αὕτη, καὶ εὔκολος καὶ ποθεινή· ὡς γὰρ κοινωνόν με εἶχες τῶν ἐνταῦθα καλλῶν, οὕτω καὶ τῶν λυπηρῶν ἕξεις, ἵνα καὶ τῶν μελλόντων συγκοινωνήσω σοι. Ὁ δὲ λαμπρὸς ἐκεῖνος ἀνήρ, ἀποδεξάμενος τὰ ῥήματα τοῦ ἀσθενοῦς, ἐποίησε καθὰ δὴ καὶ αὐτῷ λελάληκεν· ὃν ἰδὼν ὁ βασιλεύς, καὶ ἀκούσας, ἥσθη μὲν ἐπὶ τούτῳ· καὶ ἀγάμενος λίαν τὴν εἰς αὐτὸν εὔνοιαν, ψευδῆ δὲ τὰ κατ᾿ αὐτοῦ λαληθέντα γνούς, πλείονος αὐτῷ τιμῆς, καὶ τῆς πρὸς αὐτὸν παῤῥησίας ἀπολαύειν πεποίηκε· κατὰ δὲ τῶν μοναζόντων ὀργῆς αὖθις ὑπερεμπίπλατο· ἐκείνων εἶναι ταῦτα τὰ διδάγματα λέγων, τὸ ἀπέχεσθαι τοὺς ἀνθρώπους τῶν τοῦ κόσμου ἡδέων, καὶ ἀδήλοις ὀνειρωπολεῖσθαι ἐλπίσιν.

www.tezaurliturgic.ro



## Ἄθλησις θεία θειοτάτων Πατέρων.

Ἐξερχόμενος δὲ αὖθις εἰς θήραν, ὁρᾷ δύο μοναχοὺς, κατὰ τὴν ἔρημον διερχομένους· οὓς κρατηθῆναι, καὶ τῷ αὐτοῦ προσαχθῆναι ὀχήματι κελεύσας, ὀργίλως τε αὐτοὺς ἐνιδὼν, καὶ πῦρ, τὸ τοῦ λόγου, πνεύσας, ἔφη· οὐκ ἠκούσατε, ὦ πλάνοι, καὶ ἀπατεῶνες, τῶν κηρύκων διαῤῥήδην βοώντων, μή τινα τῆς ὑμῶν κακοδαιμονίας μετὰ τρεῖς ἡμέρας ἐν πόλει, ἢ χώρᾳ τῆς ἐμῆς εὑρεθῆναι ἐξουσίας, ἢ πάντως πυρίκαυστος ἔσται; Οἱ δὲ μοναχοὶ, ἰδοὺ, φασί, καθὰ δὴ καὶ προσέταξας, ἐξερχόμεθά σου τῶν πόλεων, καὶ τῶν χωρῶν· μακρᾶς δὲ ἡμῖν τῆς ὁδοῦ προκειμένης τοῦ ἀπελθεῖν πρὸς τοὺς ἡμετέρους ἀδελφοὺς, ἐνδεῶς ἔχοντες τροφῆς, ταύτην ἐποριζόμεθα, τοῦ ἔχειν τὰ ἐφόδια, καὶ μὴ λιμοῦ παρανάλωμα γενέσθαι.

Ὁ δὲ βασιλεὺς ἔφη· ὁ θανάτου δεδοικὼς ἀπειλὴν, οὐκ ἀσχολεῖται εἰς πορισμὸν βρωμάτων· λέγουσιν οἱ μονασταί· καλῶς εἶπας, ὦ βασιλεῦ· οἱ θάνατον δεδοικότες, διὰ φροντίδος ἔχουσι, πῶς αὐτὸν ἐκφύγωσι· τίνες δέ εἰσιν οὗτοι, ἀλλ᾽ ἢ οἱ τοῖς ῥευστοῖς προστετηκότες, καὶ τούτοις ἐπτοημένοι; οἵτινες μηδὲν ἀγαθὸν ἐλπίζοντες εὑρεῖν ἐκεῖθεν, δυσαποσπάτως ἔχουσι τῶν παρόντων, καὶ διὰ τοῦτο δεδοίκασι θάνατον. Ἡμεῖς δὲ οἱ πάλαι μισήσαντες κόσμον, καὶ τὰ ἐν κόσμῳ, καὶ τὴν στενὴν καὶ τεθλιμμένην διὰ Χριστὸν βαδίζοντες ὁδὸν, οὔτε θάνατον δεδοίκαμεν, οὔτε τὰ παρόντα ποθοῦμεν, ἀλλὰ τῶν μελλόντων ἐφιέμεθα μόνον. Ἐπεὶ οὖν ὁ παρ᾽ ὑμῶν ἐπαγόμενος ἡμῖν θάνατος διαβατήριον γίνεται τῆς ἀϊδίου ζωῆς καὶ κρείττονος, ποθητὸς ἡμῖν μᾶλλον, ἢ φοβερός ἐστιν οὗτος.

Ἐφ᾽ οἷς ἐξ ἀγχινοίας δῆθεν ὁ βασιλεὺς ἐπιλαβέσθαι τῶν μοναχῶν βουλόμενος ἔφη· τί δαί; οὐ πρὸ μικρὸν εἴπατε ὑποχωρεῖν ὑμᾶς καθὰ δὴ καὶ προσέταξα; καὶ εἰ οὐ δεδοίκατε θάνατον, πῶς φυγῇ ἐχρήσασθε; ἰδοὺ καὶ ταῦτα μάτην κομπάζοντες διεψεύσασθε. Ἀπεκρίθησαν οἱ μοναχοί· οὐ τὸν παρὰ σοῦ ἀπειλούμενον θάνατον δεδοικότες φεύγομεν, ἀλλ᾽ ἐλεοῦντές σε, ἵνα μὴ περισσοτέρας κατακρίσεως αἴτιοί σοι γενώμεθα, προεθυμήθημεν ὑποχωρεῖν· ἐπεὶ τόγε εἰς ἡμᾶς ἧκον, οὐδόλως σου τὰς ἀπειλάς ποτε δειλιῶμεν. Πρὸς ταῦτα ὁ βασιλεὺς ὀργισθεὶς, ἐκέλευσεν αὐτοὺς πυρικαύστους γενέσθαι· καὶ ἐτελειώθησαν οἱ τοῦ Χριστοῦ θεράποντες διὰ πυρός, τῶν μαρτυρικῶν τυγχάνοντες στεφάνων· δόγμα τε ἐξέθετο, εἴπου τις εὑρεθῇ μονάζων, ἀνεξετάστως φονεύεσθαι· καὶ οὐδεὶς ὑπελείφθη ἐν ἐκείνῃ τῇ χώρᾳ τοῦ τοιούτου τάγματος, εἰμὴ



οἱ ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς ἑαυτοὺς κατακρύψαντες. Ταῦτα μὲν οὖν δὴ τοιαῦτα.

Ὁ δὲ τοῦ βασιλέως υἱός, περὶ οὗ ὁ λόγος ἀπ᾽ ἀρχῆς εἰπεῖν ὥρμηται, ἐν τῷ κατασκευασθέντι αὐτῷ παλατίῳ ἀπρόϊτος ὢν, τῆς ἐφήβου ἥψατο ἡλικίας, πᾶσαν τὴν Αἰθιόπων, καὶ Περσῶν, καὶ Ἑλλήνων μετελθὼν παιδείαν· οὐκ ἔλαττον τὴν ψυχήν, ἢ τὸ σῶμα, εὐφυὴς ὢν, καὶ ὡραῖος, νουνεχής τε καὶ φρόνιμος, καὶ πᾶσι διαλάμπων ἀγαθοῖς πλεονεκτήμασι· ζητήματά τε φυσικὰ πρὸς τοὺς διδάσκοντας αὐτὸν προβαλλόμενος, ὡς κἀκείνους θαυμάζειν ἐπὶ τῇ τοῦ παιδὸς ἀγχινοίᾳ, καὶ συνέσει· ἐκπλήττεσθαι δὲ καὶ τὸν βασιλέα τό τε χαριέστατον τοῦ προσώπου, καὶ τὸ τῆς ψυχῆς κατάστημα· ἐντολάς τε ἐδίδου τοῖς συνοῦσιν αὐτῷ μηδὲν τὸ παράπαν τῶν τοῦ βίου ἀνιαρῶν αὐτῷ γνώριμον θεῖναι· μηδ᾽ ὅτι ὅλως θάνατος τὰ παρόντα τερπνὰ διαδέχεται, καιναῖς δὲ ἐπερείδετο ἐλπίσι, καὶ τοῦτο δή, τὸ τοῦ λόγου, εἰς οὐρανὸν τοξεύειν ἐπιχειρῶν· πῶς γὰρ ἂν καὶ διέλαθεν ἀνθρωπίνῃ φύσει ὁ θάνατος; οὐ μέντοι οὐδὲ τῷ παιδὶ διέλαθε· πάσῃ γὰρ συνέσει κατάκομον ἔχων ἐκεῖνος τὸν λογισμὸν, ἐσκόπει καθ᾽ ἑαυτόν, τίνι λόγῳ αὐτόν τε ἀπρόϊτον εἶναι ὁ πατὴρ κατεδίκασε, καὶ παντὶ τῷ βουλομένῳ τὴν εἰς αὐτὸν οὐ συγχωρεῖ εἴσοδον· ἔγνω γὰρ καθ᾽ ἑαυτὸν μὴ ἄνευ τῆς τοῦ πατρὸς προσταγῆς τοῦτο εἶναι· ὅμως ἠδεῖτο ἐρωτῆσαι αὐτόν· τοῦτο μὲν ἀπίθανον γὰρ λέγων, μὴ τὰ συμφέροντα αὐτῷ τὸν πατέρα αὐτοῦ διανοεῖσθαι· τοῦτο δὲ, σκοπῶν ὡς, εἰ κατὰ γνώμην τοῦ πατρός ἐστι τὸ πρᾶγμα, κἂν ἐρωτήσῃ, οὐκ ἂν αὐτῷ τὰ τῆς ἀληθείας γνωριεῖ· ὅθεν παρ᾽ ἄλλων, καὶ μὴ παρὰ τοῦ πατρὸς ταῦτα μαθεῖν διέγνω. Ἕνα δὲ τῶν παιδαγωγῶν προσφιλέστατον, καὶ οἰκειότατον τῶν λοιπῶν κεκτημένος. ἐπιπλεῖον οἰκειωσάμενος, καὶ δωρεαῖς φιλοτίμως δεξιωσάμενος, ἐπυνθάνετο παρ᾽ αὐτοῦ, τί ἂν βούλοιτο τῷ πατρὶ ἡ ἐν τῷ τειχίσματι ἐκείνῳ τούτου κάθειρξις; καὶ ὡς, εἰ τοῦτο, φησί, σαφῶς διδάξεις με, πρόκριτος πάντων ἔσῃ μοι καὶ διαθήκην φιλίας διηνεκοῦς διαθήσομαί σοι.

Ὁ δὲ παιδαγωγὸς, ἐχέφρων καὶ αὐτὸς ὑπάρχων, καὶ εἰδὼς τὴν τοῦ παιδὸς συνετὴν καὶ τελείαν φρόνησιν, καὶ ὡς οὐκ ἂν αὐτῷ γένοιτο κινδύνου πρόξενος, πάντα αὐτῷ κατὰ μέρος διηγήσατο τὸν κατὰ τῶν χριστιανῶν τεθέντα παρὰ τοῦ βασιλέως διωγμόν, καὶ ἐξαιρέτως κατὰ τῶν ἀσκητῶν· ὅπως τε ἀπηλάθησαν, καὶ ἐξεβλήθησαν τῆς περιχώρου ἐκείνης· οἷά τε γεννηθέντος αὐτοῦ οἱ ἀστρολόγοι προηγόρευσαν. Ἵν᾽ οὖν, φησί, μὴ, ἀκούσας τῆς ἐκείνων διδαχῆς, ταύτην προκρίνῃς τῆς ἡμετέρας θρησκείας, μὴ προσομιλεῖν σοι πολλοὺς, ἀλλ᾽ εὐαριθμήτους

www.tezaurliturgic.ro



ὁ βασιλεὺς ἐπιτηδεύσατο, ἐντολὰς ἡμῖν δούς, μηδέν σοι τῶν τοῦ βίου ἀνιαρῶν γνωρίσαι. Ταῦτα ὡς ἤκουσεν ὁ νεανίας, οὐδὲν ἕτερον προσέθετο λαλῆσαι· ἥψατο δὲ τῆς καρδίας αὐτοῦ λόγος σωτήριος, καὶ ἡ τοῦ Παρακλήτου χάρις τοὺς νοητοὺς αὐτοῦ ὀφθαλμοὺς διανοίγειν ἐπεχείρησε, πρὸς τὸν ἀψευδῆ χειραγωγοῦσα Θεόν, ὡς προϊὼν ὁ λόγος δηλώσεις.

Συχνῶς οὖν τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως κατὰ θέαν τοῦ παιδὸς ἐρχομένου, (ἀγάπῃ γὰρ ὑπερβαλλούσῃ ἐφίλει αὐτὸν) ἐν μιᾷ λέγει τῷ πατρί· μαθεῖν τι ἐπεθύμησα παρὰ σοῦ, ὦ Δέσποτα, καὶ βασιλεῦ, ἐφ' ὃ λύπη διηνεκής, καὶ μέριμνα ἀδιάπαυστος κατεσθίει μου τὴν ψυχήν. Ὁ δὲ πατὴρ ἐξ αὐτῶν τῶν ῥημάτων ἀλγήσας τὰ σπλάγχνα, ἔφη· λέγε μοι, τέκνον ποθεινότατον, τίς ἡ συνέχουσά σε, λύπη, καὶ θᾶττον αὐτὴν εἰς χαρὰν μεταμεῖψαι σπουδάσω. Καί φησιν ὁ παῖς· τίς ὁ τρόπος τῆς ἐμῆς ἐνθάδε καθείρξεως, ὅτι ἐντὸς τειχέων, καὶ πυλῶν συνέκλεισάς με ἀπρόϊτον πάντῃ καὶ ἀθέατον πᾶσί με καταστήσας; Καὶ ὁ πατὴρ ἔφη· οὐ βούλομαί σε, ὦ τέκνον, ἰδεῖν τι τῶν ἀηδιζόντων τὴν καρδίαν σου, καὶ ἐγκοπτόντων σοι τὴν εὐφροσύνην· ἐν τρυφῇ γὰρ διηνεκεῖ, καὶ χαρᾷ πάσῃ, καὶ θυμηδίᾳ ζῆσαι σε τὸν ἅπαντα διανοοῦμαι αἰῶνα. Ἀλλ' εὖ ἴσθι, ὦ Δέσποτα, φησὶν ὁ υἱὸς τῷ πατρί, τῷ τρόπῳ τούτῳ οὐκ ἐν χαρᾷ καὶ θυμηδίᾳ ζῶ, ἀλλ' ἐν θλίψει μᾶλλον, καὶ στενοχωρίᾳ πολλῇ, ὡς καὶ αὐτὴν τὴν βρῶσίν τε καὶ πόσιν ἀηδῆ μοι καταφαίνεσθαι, καὶ πικράν· ποθῶ γὰρ ὁρᾷν πάντα τὰ ἔξωθεν τῶν πυλῶν τούτων. Εἰ οὖν βούλει ἀνωδύνως ζῆν με, κέλευσον προέρχεσθαι καθὼς βούλομαι, καὶ τέρπεσθαι τὴν ψυχὴν τῇ θέᾳ τῶν τέως ἀθεάτων μοι.

Ἐλυπήθη ὁ βασιλεὺς ὡς ἤκουσε ταῦτα, καὶ διεσκόπει, ὡς, εἰ κωλύσειε τῆς αἰτήσεως, πλείονος αὐτῷ ἀνίας, καὶ μερίμνης πρόξενος ἔσται· καὶ ἐγώ σου, τέκνον, εἰπών, τὰ καταθύμιά σοι ποιήσω, ἵππους αὐτίκα ἐκλεκτούς, καὶ δορυφορίαν τὴν βασιλεῖ πρέπουσαν εὐτρεπισθῆναι κελεύσας, προέρχεσθαι αὐτὸν ὅτε βούλοιτο διωρίσατο· ἐπισκήψας τοῖς συνοῦσιν αὐτῷ μηδὲν εἰς συνάντησιν αὐτῷ ἄγειν, ἀλλὰ πᾶν ὅ,τι καλόν, καὶ τέρψιν ἐμποιοῦν, τοῦτο ὑποδεικνύειν τῷ παιδί· χορούς τε συγκροτεῖν ἐν ταῖς ὁδοῖς παναρμονίους κροτούντων ᾠδάς, καὶ ποικίλα θέατρα συνιστώντων, ὥστε τὸν νοῦν αὐτοῦ ἀπασχολεῖσθαι, καὶ ἐνηδύνεσθαι.

Ἀμέλει οὕτω συχνάζων ταῖς προόδοις ὁ τοῦ βασιλέως υἱός, εἶδεν ἐν μιᾷ τῶν ἡμερῶν, κατὰ λήθην τῶν ὑπηρετῶν, ἄνδρας δύο, ὧν ὁ μὲν λελωβημένος, τυφλὸς δὲ ὁ ἕτερος ἦν· οὓς ἰδών, καὶ ἀηδισθεὶς τὴν ψυ-



χήν, λέγει τοῖς μετ' αὐτοῦ· τίνες οὗτοι; καὶ ποταπὴ ἡ δυσχερὴς αὐτῶν θέα; Οἱ δέ, μὴ δυνάμενοι τὸ εἰς ὅρασιν αὐτοῦ ἐλθὸν ἀποκρύψαι, ἔφησαν· πάθη ταῦτά εἰσιν ἀνθρώπινα, ἅτινα ἐξ ὕλης διεφθαρμένης καὶ σώματος κακοχύμου τοῖς βροτοῖς συμβαίνειν εἴωθε. Καί φησιν ὁ παῖς· πᾶσι τοῖς ἀνθρώποις ταῦτα εἴθισται συμβαίνειν; Λέγουσιν ἐκεῖνοι· οὐ πᾶσιν, ἀλλ' οἷς ἂν ἐκτραπείη τὸ ὑγιεινὸν εἰς τὸ νοσῶδες, ἐκ τῆς τῶν χυμῶν μοχθηρίας. Αὖθις οὖν ἐπυνθάνετο ὁ παῖς· εἰ οὐ πᾶσι, φησί, τοῦτο τοῖς ἀνθρώποις συμβαίνειν εἴωθεν, ἀλλά τισιν, ἆρα γνωστοὶ καθεστήκασιν, οὓς μέλλει ταῦτα καταλήψεσθαι τὰ δεινά, ἢ ἀδιορίστως καὶ ἀπροόπτως ὑφίστανται; Λέγουσιν ἐκεῖνοι· καὶ τίς τῶν ἀνθρώπων τὰ μέλλοντα συνιδεῖν δύναται, ἢ ἀκριβῶς ἐπιγνῶναι; κρεῖττον γὰρ ἀνθρωπίνης φύσεως τοῦτο, καὶ μόνοις ἀποκληρωθὲν τοῖς ἀθανάτοις θεοῖς· καὶ ἐπαύσατο μὲν ὁ τοῦ βασιλέως υἱὸς ἐπερωτῶν, ὠδυνήθη δὲ τὴν καρδίαν ἐπὶ τῷ ὁραθέντι, καὶ ἠλλοιώθη ἡ μορφὴ τοῦ προσώπου αὐτοῦ, τῷ ἀσυνήθει τοῦ πράγματος.

Μετ' οὐ πολλὰς δὲ ἡμέρας αὖθις διερχόμενος, ἐντυγχάνει γέροντι πεπαλαιωμένῳ ἐν ἡμέραις πολλαῖς, ἐρρικνωμένῳ μὲν τὸ πρόσωπον, παρειμένῳ δὲ τὰς κνήμας, συγκεκυφότι, καὶ ὅλῳ πεπολιωμένῳ, ἐστερημένῳ τε τοὺς ὀδόντας, καὶ ἐγκεκομμένα λαλοῦντι. Ἔκπληξις οὖν αὐτὸν λαμβάνει· καὶ δὴ πλησίον τοῦτον ἀγαγών, ἐπηρώτα μαθεῖν τὸ τῆς θέας παράδοξον. Οἱ δὲ συμπαρόντες εἶπον· οὗτος χρόνων ἤδη πλείστων ὑπάρχει, καὶ κατὰ μικρὸν μειουμένης αὐτῷ τῆς ἰσχύος, ἐξασθενούντων δὲ τῶν μελῶν, εἰς ἣν ὁρᾷς ἔφθασε ταλαιπωρίαν. Καὶ τί, φησὶ τούτου τὸ τέλος; Οἱ δὲ εἶπον αὐτῷ· οὐδὲν ἄλλο, ἢ θάνατος αὐτὸν διαδέξεται. Ἀλλὰ καὶ πᾶσιν, ἔφη, τοῖς ἀνθρώποις τοῦτο πρόκειται, ἢ καὶ τοῦτο ἐνίοις αὐτῶν συμβαίνει; Ἀπεκρίθησαν ἐκεῖνοι εἰ μὴ προλαβὼν ὁ θάνατος μεταστήσει τινὰ τῶν ἐντεῦθεν, ἀδύνατον τῶν χρόνων προβαινόντων, μὴ εἰς ταύτην ἐλθεῖν τὴν πεῖραν τῆς τάξεως. Καί φησιν ὁ παῖς· ἐν πόσοις οὖν ἔτεσι τοῦτο ἐπέρχεταί τινι; καὶ εἰ πάντως πρόκειται θάνατος, καὶ οὐκ ἔστι μέθοδος τοῦτον παραδραμεῖν, καὶ μηδὲ εἰς ταύτην ἐλθεῖν τὴν ταλαιπωρίαν; Λέγουσιν αὐτῷ· ἐν ὀγδοήκοντα μέν, ἢ καὶ ἑκατὸν ἔτεσιν, εἰς τοῦτο τὸ γῆρας καταντῶσιν οἱ ἄνθρωποι, εἶτα ἀποθνήσκουσι, μὴ ἄλλως ἐνδεχομένου· χρέος γὰρ φυσικὸν ὁ θάνατός ἐστιν, ἐξ ἀρχῆς ἐπιτεθὲν τοῖς ἀνθρώποις, καὶ ἀπαραίτητος ἡ τούτου ἐπέλευσις.

Ταῦτα πάντα ὡς εἶδε καὶ ἤκουσεν ὁ συνετὸς ἐκεῖνος καὶ φρόνιμος νεανίας, στενάξας ἐκ βάθους καρδίας, ἔφη· πικρὸς ὁ βίος οὗτος, καὶ πάσης ὀδύνης, καὶ ἀηδίας ἀνάπλεως, εἰ ταῦτα οὕτως ἔχει· καὶ πῶς

www.tezaurliturgic.ro



ἀμεριμνήσει τις τῇ προσδοκίᾳ τοῦ ἀδήλου θανάτου, οὗ ἡ ἔλευσις οὐ μόνον ἀπαραίτητος ἀλλὰ καὶ ἄδηλος, καθὼς εἴπατε, ὑπάρχει; καὶ ἀπῆλθε ταῦτα στρέφων ἐν ἑαυτῷ, καὶ ἀπαύστως διαλογιζόμενος, καὶ πυκνὰς ποιούμενος περὶ τοῦ θανάτου τὰς ὑπομνήσεις· πόνοις τε καὶ ἀθυμίαις ἐκ τούτου συζῶν, καὶ ἄπαυστον ἔχων τὴν λύπην· ἔλεγε γὰρ ἐν ἑαυτῷ· ἆρα πότε με θάνατος καταλήψεται; καὶ τίς ἔσται ὁ μνήμην μου ποιησόμενος μετὰ θάνατον, τοῦ χρόνου τῇ λήθῃ πάντα παραδιδόντος; καὶ εἰ ἀποθανὼν εἰς τὸ μὴ ὂν διαλυθήσομαι, ἢ ἔστι τις ἄλλη βιοτὴ, καὶ ἕτερος κόσμος;

Ταῦτα καὶ τὰ τούτοις ὅμοια ἀπαύστως διενθυμούμενος, ὠχριῶν κατετήκετο· κατ᾽ ὄψιν δὲ τοῦ πατρὸς, ὅτε συνέβη τοῦτον ἀφικέσθαι, προσεποιεῖτο τὸ ἱλαρὸν καὶ ἄλυπον, μὴ βουλόμενος εἰς γνῶσιν τῷ πατρὶ τὰ αὐτῷ μελετώμενα ἐλθεῖν. Ἐπόθει δὲ ἀκατασχέτῳ τινὶ πόθῳ, καὶ ἐγλίχετο ἐντυχεῖν τινὶ, τῷ δυναμένῳ τὴν αὐτοῦ πληροφορῆσαι καρδίαν, καὶ λόγον ἀγαθὸν ταῖς αὐτοῦ ἀκοαῖς ἐνηχῆσαι· τὸν προμνημονευθέντα δὲ παιδαγωγὸν αὖθις ἐπηρώτα, εἴπου τινὰ γινώσκει, δυνάμενον αὐτῷ συμβαλέσθαι πρὸς τὸ ποθούμενον, καὶ τὸν νοῦν αὐτοῦ βεβαιῶσαι, δεινῶς ἰλιγγιῶντα ἐν τοῖς διαλογισμοῖς, καὶ μὴ δυνάμενον ἀποβαλέσθαι τὴν περὶ τούτου φροντίδα. Ὁ δὲ, τῶν προειρημένων πάλιν ἐπιμνησθεὶς, ἔλεγεν· εἶπόν σοι καὶ πρότερον, ὅπως ὁ πατήρ σου τοὺς σοφοὺς ἐκείνους ἀσκητάς, ἀεὶ περὶ τῶν τοιούτων φιλοσοφοῦντας, οὓς μὲν ἀνεῖλεν, οὓς δὲ μετ᾽ ὀργῆς ἐδίωξε· καὶ οὐ γινώσκω νῦν τινὰ τοιοῦτον ἐν τῇ περιχώρῳ ταύτῃ. Πολλοῦ δ᾽ ἐπὶ τούτοις ἄχθους ἐκεῖνος πληρωθεὶς, καὶ τὴν ψυχὴν δεινῶς κατατρωθεὶς, ἐῴκει ἀνδρὶ θησαυρὸν ἀπολέσαντι μέγαν, καὶ εἰς τὴν αὐτοῦ ζήτησιν ὅλον τὸν νοῦν αὐτοῦ ἀσχολουμένῳ. Ἐντεῦθεν ἀγῶνι διηνεκεῖ, καὶ μερίμνῃ συνέζη, καὶ πάντα τὰ ἡδέα καὶ τερπνὰ τοῦ κόσμου ἦν ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς ἄγος τι, καὶ βδέλυγμα.

Οὕτως οὖν ἔχοντι τῷ νέῳ, καὶ ποτνιωμένῳ κατὰ ψυχὴν τὸ ἀγαθὸν εὑρεῖν, εἶδεν αὐτὸν ὁ πάντα βλέπων ὀφθαλμός, καὶ οὐ παρεῖδεν ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἀλλὰ τὴν συνήθη αὐτοῦ φιλανθρωπίαν καὶ ἐπὶ τούτῳ δείξας, ἐγνώρισεν ὁδὸν, ἣν ἔδει πορεύεσθαι, τρόπῳ τοιῷδε.[1] Ἐγένετο γὰρ κατ᾽ ἐκεῖνον τὸν καιρὸν μοναχός τις, σοφὸς τὰ θεῖα, βίῳ καὶ λόγῳ κοσμούμενος, καὶ εἰς ἄκρον πᾶσαν μοναχικὴν μετελθὼν πολιτείαν· ὅθεν μὲν ὁρμώμενος, καὶ ἐκ ποίου γένους, οὐκ ἔχω λέγειν· ἐν πανερήμῳ δέ τινι τῆς Σενααρίτιδος γῆς τὰς οἰκήσεις ποιούμενος, καὶ τῆς ἱερωσύνης τετελειωμένος τῇ χάριτι· Βαρλαὰμ ἦν ὄνομα τούτῳ τῷ γέροντι. Οὗτος οὖν ἀποκαλύψει τινὶ θεόθεν αὐτῷ γενομένῃ γνοὺς τὰ κατὰ τὸν υἱὸν τοῦ βασιλέως, ἐξελθὼν τῆς ἐρήμου, πρὸς τὴν οἰκουμένην κατῆλθε· καὶ ἀμείψας τὸ ἑαυτοῦ σχῆμα, ἱμάτιά τε κοσμικὰ ἀμφιασάμενος, καὶ νηὸς ἐπιβάς, ἀφίκετο εἰς τὰ τῶν Ἰνδῶν βασίλεια· καὶ ἐμπόρου ὑποδὺς προσωπεῖον, τὴν πόλιν καταλαμβάνει, ἔνθα δὴ ὁ τοῦ βασιλέως υἱὸς τὸ παλάτιον εἶχε· καὶ ἡμέρας διατρίψας πολλὰς ἐκεῖσε, ἠκροβολογήσατο τὰ κατ᾽ αὐτὸν, καὶ τίνες οἱ τούτῳ πλησιάζοντες.

Μαθὼν οὖν τὸν ἀνωτέρω ῥηθέντα παιδαγωγὸν πάντων αὐτῷ μᾶλλον οἰκειότατον εἶναι, προσελθὼν αὐτῷ κατ᾽ ἰδίαν ἔφη·[1] γινώσκειν σε βούλομαι, κύριέ μου, ὅτι ἔμπορός εἰμι ἐγὼ, καὶ ἐκ μακρᾶς ἐλήλυθα χώρας· καὶ ὑπάρχει μοι λίθος τίμιος, ᾧ παρόμοιος πώποτε οὐχ εὑρέθη· καὶ οὐδενὶ μέχρι τοῦ νῦν τοῦτον ἐφανέρωσα· σοὶ δὲ κατάδηλον ἤδη ποιῶ, συνετόν τε καὶ νουνεχῆ βλέπων ἄνδρα, ὡς ἂν εἰσαγάγῃς με πρὸς τὸν τοῦ βασιλέως υἱὸν, καὶ ἐπιδώσω τοῦτον αὐτῷ· πάντων γὰρ τῶν καλῶν ἀσυγκρίτως ὑπερέχει· δύναται καὶ τυφλοῖς τῇ καρδίᾳ φῶς δωρεῖσθαι σοφίας· κωφῶν δὲ ὦτα ἀνοίγειν· ἀλάλοις τε φωνὴν διδόναι· καὶ ῥῶσιν τοῖς νοσοῦσι παρέχειν· τοὺς ἄφρονας σοφίζει· δαίμονας διώκει· καὶ πᾶν ὅ,τι καλὸν καὶ ἐράσμιον ἀφθόνως χορηγεῖ τῷ κεκτημένῳ αὐτόν. Λέγει πρὸς αὐτὸν ὁ παιδαγωγός· ὁρῶ σε ἄνθρωπον σταθεροῦ καὶ βεβηκότος φρονήματος, τὰ δὲ ῥήματά σου ἄμετρά σε καυχᾶσθαι ἐμφαίνουσι· λίθους γὰρ καὶ μαργαρίτας πολυτελεῖς, καὶ πολυτίμους, πῶς ἄν σε διηγησαίμην, ὅσους ἑώρακα· ἔχοντας δὲ τοιαύτας, οἵας εἴρηκας δυνάμεις, οὔτε εἶδον, οὔτε ἤκουσα· ὅμως ὑπόδειξόν μοι αὐτὸν, καὶ εἴ ἐστι κατὰ τὸ ῥῆμά σου, θᾶττον εἰσαγάγω τοῦτον πρὸς τὸν τοῦ βασιλέως υἱὸν, καὶ τιμὰς ὅτι μεγίστας, καὶ δωρεὰς λήψῃ παρ᾽ αὐτοῦ· πρὶν ἢ δὲ βεβαιωθῆναί με τῇ ἀψευδεῖ τῶν ὀφθαλμῶν ὁράσει, ἀδύνατόν μοι τῷ ἐμῷ δεσπότῃ καὶ βασιλεῖ περὶ πράγματος ἀφανοῦς ταῦτα δὴ τὰ ὑπέρογκα ἀπαγγεῖλαι.

Ὁ δὲ Βαρλαὰμ ἔφη· καλῶς εἶπας μήτε ἑωρακέναι πώποτε, μήτε ἀκηκοέναι τοιαύτας δυνάμεις καὶ ἐνεργείας· ὁ γὰρ πρός σέ μου λόγος, οὐ περὶ τοῦ τυχόντος ἐστὶ πράγματος, ἀλλὰ θαυμαστοῦ τινος, καὶ μεγάλου· ὅτι δὲ ἐζήτησας τοῦτον θεάσασθαι, ἄκουσον τῶν ἐμῶν ῥημάτων. Ὁ λίθος οὗτος ὁ πολύτιμος, μετὰ τῶν προειρημένων ἐνεργειῶν, καὶ δυνάμεων, ἔτι καὶ ταύτην κέκτηται τὴν ἰσχύν· οὐ δύναται θεάσα-

[1] Ἔναρξις τῶν κατὰ τὸν θειότατον Βαρλαάμ.

[1] Ἀστειότατον σόφισμα τοῦ σοφοῦ τὰ πάντα Βαρλαάμ.

www.tezaurliturgic.ro



σθαι αὐτὸν ἐκ τοῦ προχείρου, ὁ μὴ ἔχων ἐῤῥωμένην μὲν τὴν ὅρασιν, καὶ ὑγιαίνουσαν, ἁγνὸν δὲ τὸ σῶμα, καὶ πάντῃ ἀμόλυντον· εἰ γάρ τις μὴ τὰ δύο ταῦτα καλῶς ἔχων, προπετῶς ἐμβλέψειε τῷ τιμίῳ λίθῳ τούτῳ, καὶ αὐτὴν δήπου ἣν ἔχει ὀπτικὴν δύναμιν, καὶ τὰς φρένας προσαπολέσειεν· ἐγὼ δὲ οὐκ ἀμύητος τῆς ἰατρικῆς ἐπιστήμης ὑπάρχων καθορῶ σου τοὺς ὀφθαλμοὺς μὴ ὑγιῶς ἔχοντας· καὶ δέδοικα, μὴ καὶ ἧς ἔχεις ὁράσεως στέρησιν προξενήσω· ἀλλὰ τὸν υἱὸν τοῦ βασιλέως ἀκήκοα βίον μὲν ἔχειν σώφρονα, τοὺς ὀφθαλμοὺς δὲ ὡραίους, καὶ ὑγιῶς ὁρῶντας· τούτου χάριν ἐκείνῳ ὑποδεῖξαι τὸν θησαυρὸν τοῦτον τεθάῤῥηκα. Σὺ οὖν μὴ ἀμελῶς περὶ τούτου διατεθῇς· μηδὲ πράγματος τοιούτου τὸν κύριόν σου ἀποστερήσῃς. Ὁ δὲ πρὸς αὐτόν· καὶ εἰ ταῦτα, φησίν, οὕτως ἔχει, μή μοι τὸν λίθον ὑποδείξῃς· ἐν ἁμαρτίαις γὰρ πολλαῖς ὁ βίος μου ῥερύπωται, οὐχ ὑγιῶς δὲ καὶ τὴν ὅρασιν, καθὼς εἶπας, κέκτημαι· ἀλλ᾽ ἐγὼ τοῖς σοῖς πεισθεὶς ῥήμασι, γνωρίσαι ταῦτα τῷ Κυρίῳ μου καὶ βασιλεῖ οὐκ ὀκνήσω· εἶπε ταῦτα· καὶ εἰσελθών, κατὰ μέρος πάντα τῷ υἱῷ τοῦ βασιλέως ἀπήγγειλεν. Ἐκεῖνος δέ, ὡς ἤκουσε τὰ τοῦ παιδαγωγοῦ ῥήματα, χαρᾶς τινος καὶ θυμηδίας πνευματικῆς ᾔσθετο τῇ αὐτοῦ ἐμπνευσάσης καρδίᾳ· καὶ ἔνθους ὥσπερ γενόμενος τὴν ψυχήν, ἐκέλευσε θᾶττον εἰσαγαγεῖν τὸν ἄνδρα.

### Εἰσέλευσις τοῦ θείου Βαρλαὰμ πρὸς Ἰωάσαφ· καὶ ἔναρξις τῆς θεοσόφου διδασκαλίας αὐτοῦ.

Ὡς οὖν εἰσῆλθεν ὁ Βαρλαάμ, καὶ δέδωκεν αὐτῷ τὴν πρέπουσαν εἰρήνην, ἐπέτρεψεν αὐτὸν καθεσθῆναι· καὶ τοῦ παιδαγωγοῦ ὑποχωρήσαντος, λέγει ὁ Ἰωάσαφ τῷ γέροντι· ὑπόδειξόν μοι τὸν πολύτιμον λίθον, περὶ οὗ μεγάλα τινά, καὶ θαυμαστὰ λέγειν σε ὁ ἐμὸς παιδαγωγὸς διηγήσατο. Ὁ δὲ Βαρλαὰμ οὕτως ἀπήρξατο τῆς πρὸς αὐτὸν διαλέξεως· οὐ δίκαιόν ἐστιν, ὦ βασιλεῦ, ψευδῶς τι, καὶ ἀπερισκέπτως πρὸς τὸ ὑπερέχον τῆς σῆς δόξης λέγειν με· πάντα γὰρ τὰ δηλωθέντα σοι περὶ ἐμοῦ, ἀληθῆ εἰσι καὶ ἀναμφίλεκτα· ἀλλ᾽ εἰ μὴ πρότερον δοκιμὴν λάβω τῆς σῆς φρονήσεως, οὐ θέμις τὸ μυστήριον φανερῶσαί σοι· φησὶ γὰρ ὁ ἐμὸς Δεσπότης. Ματθ. ιγ΄. Β. Μάρκ. δ΄. «Ἐξῆλθεν «ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. Καὶ ἐν τῷ σπείρειν αὐτόν, «ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ ἦλθε τὰ πετεινά, καὶ κατέφαγεν «αὐτά. Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλήν· καὶ «εὐθέως ἐβλάστησε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς. Ἡλίου δὲ ἀνατείλαν«τος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη. Ἄλλα δὲ «ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, καὶ ἀπέπνιξαν αὐτά.



«Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλήν, καὶ ἐδίδου καρπὸν ἑκατο«στεύοντα.» Εἰ μὲν οὖν γῆν εὕρω ἐν τῇ καρδίᾳ σου καρποφόρον, καὶ ἀγαθήν, οὐκ ὀκνήσω τὸν θεῖον σπόρον ἐμφυτεῦσαί σοι, καὶ φανερῶσαί σε τὸ μέγα μυστήριον· εἰ δὲ πετρώδης αὕτη, καὶ ἀκανθώδης ἐστι, καὶ ὁδὸς πατουμένη τῷ βουλομένῳ παντί, κρεῖττον μηδόλως τοῦτον δὴ τὸν σωτήριον καταβαλεῖν σπόρον, καὶ εἰς ἁρπαγὴν αὐτὸν θεῖναι τοῖς πετεινοῖς, καὶ θηρίοις, ὧν ἔμπροσθεν μὴ βαλεῖν τοὺς μαργαρίτας ἐντέταλμαι. ἀλλὰ πέπεισμαι περὶ σοῦ τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, ὅτι καὶ τὸν λίθον ὄψει τὸν ἀτίμητον, καὶ τῇ αἴγλῃ τοῦ φωτὸς αὐτοῦ φῶς καὶ αὐτὸς ἀξιωθήσῃ γενέσθαι, καὶ καρπὸν ἐνέγκῃς ἑκατοστεύοντα· διὰ σὲ γὰρ ἔργον, ἐθέμην καὶ μακρὰν διήνυσα ὁδόν, τοῦ ὑποδεῖξαί σοι, ἃ οὐχ ἑώρακας πώποτε, καὶ διδάξαι, ἃ οὐκ ἀκήκοας.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰωάσαφ· ἐγὼ μέν, πρεσβῦτα τίμιε, πόθῳ τινί, καὶ ἔρωτι ἀκατασχέτῳ ζητῶ λόγον ἀκοῦσαι καινόν τινα, καὶ ἀγαθόν, καὶ πῦρ ἔνδον ἐν τῇ καρδίᾳ μου ἐκκέκαυται, δεινῶς φλέγον με, καὶ παρορμῶν μαθεῖν ἀναγκαίας τινὰς ζητήσεις· οὐκ ἔτυχον δὲ μέχρι τοῦ νῦν ἀνθρώπου, δυναμένου πληροφορῆσαί με περὶ τούτων· εἰ δὲ τύχω σοφοῦ τινος, καὶ ἐπιστήμονος, καὶ ἀκούσω λόγον σωτηρίας, οὔτε πετεινοῖς, ὡς οἶμαι, τοῦτον ἐκδώσοιμι, οὔτε θηρίοις· οὔτε μὴν πετρώδης, καὶ ἀκανθώδης φανείην, ὡς ἔφης· ἀλλὰ καὶ εὐγνωμόνως δέξομαι, καὶ ἐπιστημόνως τηρήσω· σὺ δὲ εἰ τοιοῦτόν τι ἐπίστασαι, μὴ δὴ κρύψῃς ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἀνάγγειλόν μοι· ὡς γὰρ ἤκουσα ἐκ μακρᾶς ἀφικέσθαι σε γῆς, ἥσθη μου ἡ ψυχή, καὶ εὔελπις ἐγενόμην, διὰ σοῦ τοῦ ποθουμένου τυχεῖν· διὰ τοῦτο θᾶττον εἰσήγαγόν σε πρός με, καὶ προσηνῶς ἐδεξάμην, ὥσπερ τινὰ τῶν συνήθων μοι, καὶ ἡλικιωτῶν, εἴπερ οὐ ψευσθήσομαι τῆς ἐλπίδος.

Καὶ ὁ Βαρλαὰμ ἔφη· καλῶς ἐποίησας τοῦτο, καὶ ἀξίως τῆς σῆς βασιλικῆς μεγαλοπρεπείας· ὅτι μὴ τῇ φαινομένῃ προσέσχες εὐτελείᾳ, ἀλλὰ τῆς κεκρυμμένης ἐγένου ἐλπίδος.[1] Ἦν γάρ τις βασιλεὺς μέγας, καὶ ἔνδοξος· καὶ ἐγένετο διερχομένου αὐτοῦ ἐφ᾽ ἅρματος χρυσοκολλήτου, καὶ τῆς βασιλεῖ πρεπούσης δορυφορίας, ὑπαντῆσαι δύο ἄνδρας, διεῤῥωγότα μὲν ἠμφιεσμένους, καὶ ῥερυπωμένα, ἐκτετηκότας δὲ τὰ πρόσωπα, καὶ λίαν κατωχριωμένους· ἦν δὲ γινώσκων τούτους ὁ βασιλεύς, τῷ ὑποπιασμῷ τοῦ σώματος, καὶ τοῖς τῆς ἀσκήσεως ἱδρῶσι τὸ σαρκίον ἐκδεδαπανηκότας. Ὡς οὖν εἶδεν αὐτούς, καταπηδήσας εὐθὺς τοῦ ἅρματος, καὶ ἐπὶ τὴν γῆν πεσών, προσεκύνησε, καὶ ἀναστάς,

[1] Ἱστορία, ἢ παραβολὴ ἀξιάγαστος.

www.tezaurliturgic.ro



προσεπλάκη αὐτοῖς, προσφιλέστατα κατασπαζόμενος. Οἱ δὲ μεγιστᾶνες αὐτοῦ, καὶ ἄρχοντες ἐδυσχέραναν ἐπὶ τοῦτο, ἀνάξια τῆς βασιλικῆς δόξης πεποιηκέναι αὐτὸν νομίζοντες· μὴ τολμῶντες δὲ κατὰ πρόσωπον ἐλέγχειν, τῷ γνησίῳ αὐτοῦ ἔλεγον ἀδελφῷ λαλῆσαι τῷ βασιλεῖ, μὴ τὸ ὕψος τοῦ διαδήματος οὑτωσὶ καθυβρίζειν. Τοῦ δὲ, εἰπόντος ταῦτα τῷ ἀδελφῷ, καὶ καταμεμφομένου τὴν ἄκαιρον αὐτοῦ μικρολογίαν, δέδωκεν αὐτῷ ἀπόκρισιν ὁ βασιλεὺς, ἣν οὐ συνῆκεν ὁ ἀδελφὸς αὐτοῦ.

Ἔθος δὲ ἦν ἐκείνῳ τῷ βασιλεῖ, ὅταν ἀπόφασιν θανάτου κατά τινος ἐδίδου, κήρυκας εἰς τὴν αὐτοῦ θύραν ἀποστέλλειν μετὰ σάλπιγγος τεταγμένης εἰς τοῦτο, ἧς τῇ φωνῇ ᾔσθοντο πάντες θανάτου ἔνοχον ἐκεῖνον ὑπάρχειν. Ἑσπέρας οὖν καταλαβούσης, ἀπέστειλεν ὁ βασιλεὺς τὴν σάλπιγγα τοῦ θανάτου σαλπίζειν ἐπὶ τῇ θύρᾳ τοῦ οἴκου τοῦ ἀδελφοῦ αὐτοῦ. Ὡς οὖν ἤκουσεν ἐκεῖνος τὴν σάλπιγγα τοῦ θανάτου, ἀπέγνω τῆς ἑαυτοῦ σωτηρίας, καὶ διέθετο τὰ κατ' αὐτοῦ ὅλην τὴν νύκτα· ἅμα δὲ πρωῒ, ἀμφιασάμενος μελανὰ καὶ πενθήρη, μετὰ γυναικὸς καὶ τέκνων ἀπέρχεται εἰς τὴν θύραν τοῦ παλατίου κλαίων καὶ ὀδυρόμενος. Εἰσαγαγὼν δὲ αὐτὸν ὁ βασιλεὺς, καὶ οὕτως ἰδὼν ὀλοφυρόμενον, ἔφη· ὢ ἀσύνετε, καὶ ἄφρον, εἰ σὺ οὕτως ἐδειλίασας τὸν κήρυκα τοῦ ὁμογενοῦς, καὶ ὁμοτίμου σου ἀδελφοῦ, πρὸς ὃν οὐδὲν ὅλως ἑαυτὸν ἡμαρτηκέναι γινώσκεις, πῶς ἐμοὶ μέμψιν ἐπήγαγες, ἐν ταπεινώσει ἀσπασαμένῳ τοὺς κήρυκας τοῦ Θεοῦ μου, τοὺς εὐηχέστερον σάλπιγγος μηνύοντάς μοι τὸν θάνατον, καὶ τὴν φοβερὰν τοῦ Δεσπότου ὑπάντησιν, ᾧ πολλὰ, καὶ μεγάλα ἐμαυτὸν ἡμαρτηκέναι ἐπίσταμαι; Ἰδοὺ τοίνυν τὴν σὴν ἐλέγχων ἄνοιαν, τούτῳ δὴ τῷ τρόπῳ ἐχρησάμην· ὥσπερ οὖν καὶ τοὺς ὑποτιθεμένους σοι τὴν κατ' ἐμοῦ μέμψιν, θᾶττον ἀνοηταίνειν ἐλέγξω. Καὶ οὕτω θεραπεύσας τὸν ἀδελφὸν αὐτοῦ, καὶ ὠφελήσας, οἴκαδε ἀπέστειλε.

Ἐκέλευσε δὲ γενέσθαι ἐκ ξύλων βαλάντια τέσσαρα· καὶ τὰ μὲν δύο περικαλύψας πάντοθεν χρυσίῳ, ὀστᾶ νεκρῶν ὀδωδότα βαλὼν ἐν αὐτοῖς, χρυσαῖς περόναις κατησφαλίσατο· τὰ δὲ ἄλλα πίσσῃ καταχρίσας, καὶ ἀσφάλτῳ, ἐπλήρωσε λίθων τιμίων, καὶ μαργάρων πολυτίμων, καὶ πάσης μυρεψικῆς εὐωδίας· σχοινίοις τε τριχίνοις ταῦτα περισφίγξας, ἐκάλεσε τοὺς μεμψαμένους αὐτὸν μεγιστᾶνας ἐπὶ τῇ τῶν ἀνδρῶν ἐκείνων ἀπαντήσει, καὶ προέθετο αὐτοῖς τὰ τέσσαρα βαλάντια, τοῦ ἀποτιμήσασθαι πόσου μὲν ταῦτα, πόσου δὲ ἐκεῖνα τιμήματός εἰσιν ἄξια. Οἱ δὲ, τὰ μὲν δύο τὰ κεχρυσωμένα, τιμῆς ὅτι πλείστης εἶναι διωρίζοντο· ἔξεστι γὰρ, φασίν, ἐν αὐτοῖς διαδήματα βασιλικὰ, καὶ ζώνας



ἀποκεῖσθαι· τὰ δὲ τῇ πίσσῃ κατακεχρισμένα, καὶ ἀσφάλτῳ, εὐτελοῦς τινος καὶ οἰκτροῦ τιμήματός εἰσιν ἄξια ἔλεγον. Ὁ δὲ βασιλεὺς ἔφη πρὸς αὐτούς· οἶδα κἀγὼ τοιαῦτα λέγειν ὑμᾶς· τοῖς αἰσθητοῖς γὰρ ὀφθαλμοῖς τὴν αἰσθητὴν ὄψιν κατανοεῖτε· καὶ μὴν οὐχ οὕτω δεῖ ποιεῖν, ἀλλὰ τοῖς ἔνδον ὄμμασι τὴν ἐντὸς ἀποκειμένην χρὴ βλέπειν εἴτε τιμὴν, εἴτε ἀτιμίαν· καὶ ἐκέλευσεν ἀνοιγῆναι τὰ κεχρυσωμένα βαλάντια· διανοιχθέντων δὲ, δεινή τις ἔπνευσε δυσωδία, καὶ ἀηδεστάτη ὡράθη θέα. Φησὶν οὖν ὁ βασιλεύς· οὕτως ὁ τύπος τῶν λαμπρὰ μὲν, καὶ ἔνδοξα ἠμφιεσμένων, πολλῇ δὲ δόξῃ, καὶ δυναστείᾳ σοβαρευομένων, καὶ ἔσωθεν νεκρῶν ἀποζόντων, καὶ πονηρῶν ἔργων.

Εἶτα καὶ τὰ πεπισσωμένα, καὶ κατασφαλτωμένα κελεύσας ἀνοιγῆναι, πάντας εὔφρανε τοὺς παρόντας, τῇ τῶν ἐν αὐτοῖς ἀποκειμένων φαιδρότητι, καὶ εὐωδίᾳ. Ἔφη δὲ πρὸς αὐτούς· οἴδατε τίνι ὅμοια ταῦτα; τοῖς ταπεινοῖς ἐκείνοις, καὶ εὐτελῆ περικειμένοις ἐνδύματα· ὧν ὑμεῖς τὸ ἐκτὸς ὁρῶντες σχῆμα, ὕβριν ἡγήσασθαι τὴν ἐμὴν κατὰ πρόσωπον αὐτῶν ἐπὶ γῆς προσκύνησιν· ἐγὼ δὲ τοῖς νοεροῖς ὄμμασι τὸ τίμιον αὐτῶν, καὶ περικαλλὲς κατανοήσας τῶν ψυχῶν, ἐνεδοξάσθην μὲν τῇ τούτων προσψαύσει, παντὸς δὲ στεφάνου, καὶ πάσης βασιλικῆς ἁλουργίδος τιμιωτέρους αὐτοὺς ἡγησάμην. Οὕτως οὖν αὐτοὺς αἰσχύνας, ἐδίδαξε μὴ τοῖς φαινομένοις πλανᾶσθαι, ἀλλὰ τοῖς νοουμένοις προσέχειν. Κατ' ἐκεῖνον τοίνυν τὸν εὐσεβῆ, καὶ σοφὸν βασιλέα, καὶ σὺ πεποίηκας, τῇ ἀγαθῇ ἐλπίδι προσδεξάμενός με, ἧς οὐ ψευσθήσῃ, ὡς ἔγωγε οἶμαι.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰωάσαφ· ταῦτα μὲν δὴ πάντα καλῶς εἶπας, καὶ εὐαρμόστως· ἀλλ' ἐκεῖνο θέλω μαθεῖν· τίς ἐστιν ὁ σὸς Δεσπότης, ὃν κατ' ἀρχὰς τοῦ λόγου περὶ τοῦ σπορέως ἐκείνου εἰρηκέναι ἔλεγες; Αὖθις οὖν ἀναλαβὼν τὸν λόγον ὁ Βαρλαὰμ, εἶπεν· εἰ τὸν ἐμὸν βούλει Δεσπότην μαθεῖν, ὁ Κύριός ἐστιν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ· ὁ μακάριος καὶ μόνος Δυνάστης· ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι δοξαζόμενος· οὐκ εἰμὶ γὰρ ἐγὼ τῶν τοὺς πολλοὺς καὶ ἀτάκτους ἀναγορευόντων θεοὺς, καὶ τὰ ἄψυχα ταῦτα καὶ κωφὰ σεβομένων εἴδωλα· ἀλλ' ἕνα Θεὸν γινώσκω, καὶ ὁμολογῶ, ἐν τρισὶν ὑποστάσεσι δοξαζόμενον, Πατρὶ, φημὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, ἐν μιᾷ φύσει καὶ οὐσίᾳ, ἐν μιᾷ δόξῃ καὶ βασιλείᾳ, μὴ μεριζομένῃ.

Οὗτος οὖν ὁ ἐν τρισὶν ὑποστάσεσιν εἷς Θεὸς, ἄναρχός ἐστι, καὶ ἀτελεύτητος, αἰώνιός τε καὶ ἀΐδιος· ἄκτιστος· ἄτρεπτος· ἀσώματος·

www.tezaurliturgic.ro



ἀόρατος· ἀπερίγραπτος· ἀπερινόητος· ἀγαθὸς καὶ δίκαιος μόνος· ὁ τὰ πάντα ἐκ μὴ ὄντων ὑποστησάμενος, τά τε ὁρατὰ καὶ ἀόρατα [1] Πρῶτον μὲν τὰς ἀοράτους δυνάμεις καὶ οὐρανίους, ἀναρίθμητά τινα πλήθη, ἄϋλά τε καὶ ἀσώματα, λειτουργικὰ πνεύματα τῆς τοῦ Θεοῦ μεγαλειότητος· ἔπειτα τὸν ὁρώμενον κόσμον τοῦτον, οὐρανόν τε καὶ γῆν, καὶ τὴν θάλασσαν· ὅνπερ καὶ φωτὶ φαιδρύνας κατεκόσμησεν· οὐρανὸν μὲν, ἡλίῳ, καὶ σελήνῃ, καὶ τοῖς ἄστροις· γῆν δὲ, παντοίοις βλαστήμασι, καὶ διαφόροις ζῴοις· τήν τε θάλασσαν πάλιν, τῷ παμπληθεῖ τῶν ἰχθύων γένει. Ταῦτα πάντα αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Εἶτα δημιουργεῖ τὸν ἄνθρωπον χερσὶν ἰδίαις, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, εἰς διάπλασιν τοῦ σώματος· τὴν δὲ ψυχὴν, λογικὴν, καὶ νοερὰν διὰ τοῦ οἰκείου ἐμφυσήματος αὐτῷ δούς· ἥτις κατ' εἰκόνα Θεοῦ, καὶ ὁμοίωσιν δεδημιουργεῖσθαι γέγραπται· κατ' εἰκόνα μὲν, διὰ τὸ νοερὸν, καὶ αὐτεξούσιον, καθ' ὁμοίωσιν δὲ, διὰ τὴν τῆς ἀρετῆς κατὰ τὸ δυνατὸν ὁμοίωσιν. Τοῦτον τὸν ἄνθρωπον αὐτεξουσιότητι, καὶ ἀθανασίᾳ τιμήσας, βασιλέα τῶν ἐπὶ τῆς γῆς κατέστησεν· ἐποίησε δὲ ἐξ αὐτοῦ τὸ θῆλυ βοηθὸν αὐτῷ κατ' αὐτόν· καὶ ἐμφυτεύσας παράδεισον ἐν Ἐδὲμ κατ' ἀνατολὰς, εὐφροσύνης, καὶ θυμηδίας ἁπάσης πεπληρωμένον, ἔθετο ἐν αὐτῷ τὸν ἄνθρωπον, ὃν ἔπλασε, πάντων μὲν τῶν ἐκεῖσε θείων φυτῶν κελεύσας ἀκωλύτως μετέχειν, ἑνὸς δὲ μόνου θέμενος ἐντολὴν ὅλως μὴ γεύσασθαι, ὅπερ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν κέκληται, οὕτως εἰπών· «Ἧ δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. Γεν. β'. 18»

Εἷς δὲ τῶν Ἀγγελικῶν δυνάμεων, μιᾶς στρατιᾶς πρωτοστάτην, οὐδόλως ἐν ἑαυτῷ παρὰ τοῦ δημιουργοῦ κακίας φυσικῆς ἐσχηκὼς ἴχνος, ἀλλ' ἐπ' ἀγαθῷ γενόμενος, αὐτεξουσίῳ προαιρέσει ἐτράπη ἐκ τοῦ καλοῦ εἰς τὸ κακὸν, καὶ ἐπήρθη τῇ ἀπονοίᾳ, ἀντᾶραι βουληθεὶς τῷ Δεσπότῃ καὶ Θεῷ.[2] Διὸ ἀπεβλήθη τῆς τάξεως αὐτοῦ, καὶ τῆς ἀξίας· καὶ ἀντὶ τῆς μακαρίας δόξης ἐκείνης, καὶ ἀγγελικῆς ὀνομασίας, διάβολος κέκληται, καὶ σατανᾶς προσωνόμασται· ἔρριψε γὰρ αὐτὸν ὁ Θεὸς, ὡς ἀνάξιον τῆς ἄνωθεν δόξης· συναπεσπάσθη δὲ αὐτῷ, καὶ συναπεβλήθη καὶ πλῆθος πολὺ τοῦ ὑπ' αὐτὸν τάγματος τῶν Ἀγγέλων,

[1] Ὅρα πῶς καὶ οὗτος ὁ θεῖος πατὴρ συνᾴδει τῷ Θεολόγῳ Γρηγορίῳ περὶ τῆς τῶν Ἀγγέλων γενέσεως, πρότερον λέγων τοῦ Οὐρανοῦ τούτους γενέσθαι

[2] «Μιᾶς φησι στρατιᾶς ὁ σοφὸς οὗτος πατὴρ ἦν ὁ ποτὲ ἑωσφόρος, πρωτοστάτης καὶ ἀρχηγὸς, καθὰ φησιν ὅ,τε θειότατος Πέτρος ὁ Δαμασκηνὸς, καὶ ὁ ἱερὸς Συμεὼν ὁ Θεσσαλονίκης. Ἆρα οὐ κορυφαῖος τῶν Σεραφεὶμ ὡς ἄλλοι τινὲς λέγουσιν.



οἵτινες κακοὶ γεγονότες τὴν προαίρεσιν, καὶ ἀντὶ τοῦ ἀγαθοῦ, τῇ ἀποστασίᾳ ἐξακολουθήσαντες τοῦ ἄρχοντος αὐτῶν, δαίμονες ὠνομάσθησαν, ὡς πλάνοι καὶ ἀπατεῶνες.

Ἀρνησάμενος οὖν πάντῃ τὸ ἀγαθὸν ὁ διάβολος, καὶ πονηρὰν προσλαβόμενος φύσιν, φθόνον ἐνεδείξατο πρὸς τὸν ἄνθρωπον, ὁρῶν ἑαυτὸν μὲν ἐκ τηλικαύτης ἀποῤῥιφθέντα δόξης, ἐκεῖνον δὲ πρὸς τοιαύτην τιμὴν ἀναγόμενον, καὶ ἐμηχανᾶτο ἐκβαλεῖν αὐτὸν τῆς μακαρίας ἐκείνης διαγωγῆς. Τὸν ὄφιν οὖν ἐργαστήριον τῆς ἰδίας πλάνης λαβόμενος, δι' αὐτοῦ δὲ ὡμιλήσας τῇ γυναικὶ, καὶ πείσας αὐτὴν φαγεῖν ἐκ τοῦ ἀπηγορευμένου ξύλου ἐκείνου, ἐλπίδι θεώσεως, δι' αὐτῆς ἠπάτησε καὶ τὸν Ἀδὰμ, οὕτω τοῦ πρωτοπλάστου κληθέντος· καὶ φαγὼν ὁ πρῶτος ἄνθρωπος ἐκ τοῦ φυτοῦ τῆς παρακοῆς, ἐξόριστος γίνεται τοῦ παραδείσου τῆς τρυφῆς ὑπὸ τοῦ δημιουργοῦ· καὶ ἀντὶ τῆς μακαρίας ζωῆς ἐκείνης, καὶ ἀνωλέθρου διαγωγῆς, εἰς τὴν ἀθλίαν ταύτην καὶ ταλαίπωρον (φεῦ μοι) βιοτὴν ἐμπίπτει, καὶ θανάτῳ τὸ τελευταῖον καταδικάζεται. Ἐντεῦθεν ἰσχὺν ὁ διάβολος λαβὼν, καὶ τῇ νίκῃ ἐγκαυχώμενος, πληθυνθέντος τοῦ γένους τῶν ἀνθρώπων, πᾶσαν κακίας ὁδὸν αὐτοῖς ὑπέθετο. Διακόψαι δὲ τὴν πολλὴν τῆς ἁμαρτίας φορὰν βουλόμενος ὁ Θεὸς, κατακλυσμὸν ἐπήγαγε τῇ γῇ, ἀπολέσας πᾶσαν ψυχὴν ζῶσαν· ἕνα δὲ μόνον εὑρὼν δίκαιον ἐν τῇ γενεᾷ ἐκείνῃ, τοῦτον σὺν γυναικὶ καὶ τέκνοις ἐν κιβωτῷ τινι περισώσας, μονώτατον εἰς τὴν γῆν κατέστησεν.

Ἡνίκα δὲ ἤρξαντο πάλιν εἰς πλῆθος τὸ τῶν ἀνθρώπων γένος χωρεῖν, ἐπελάθοντο τοῦ Θεοῦ, καὶ εἰς χείρονα προέκυψαν δυσέβειαν, διαφόροις δουλωθέντες ἁμαρτήμασι, καὶ δεινοῖς καταφθαρέντες ἀτοπήμασι, καὶ εἰς πολυσχεδῆ πλάνην διαμερισθέντες· οἱ μὲν γὰρ, αὐτομάτως φέρεσθαι τὸ πᾶν ἐνόμισαν, καὶ ἀπρονόητα ἐδογμάτισαν, ὡς μηδενὸς ἐφεστηκότος δεσπότου ἄλλοι, εἱμαρμένην εἰσηγήσαντο, τῇ γενέσει τὸ πᾶν ἐπιτρέψαντες· ἄλλοι, πολλοὺς θεοὺς, κακοὺς καὶ πολυπαθεῖς ἐσεβάσθησαν, τοῦ ἔχειν αὐτοὺς τῶν ἰδίων παθῶν, καὶ δεινῶν πράξεων συνηγόρους· ὧν καὶ μορφώματα τυπώσαντες, ἀνεστήλωσαν ξόανα κωφὰ, καὶ ἀναίσθητα εἴδωλα, καὶ συνκλείσαντες ἐν ναοῖς, προσεκύνησαν, λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα· οἱ μὲν, τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ, καὶ τοῖς ἄστροις, ἃ ἔθετο ὁ Θεὸς πρὸς τὸ φαῦσιν παρέχειν τῷ περιγείῳ τούτῳ κόσμῳ, ἄψυχά τε ὄντα, καὶ ἀναίσθητα, τῇ προνοίᾳ τοῦ δημιουργοῦ φωτιζόμενα, καὶ διακρατούμενα, οὐ μὴν δὲ οἴκοθέν τι δυνάμενα. Οἱ δὲ, τῷ πυρὶ, καὶ τοῖς ὕδασι, καὶ τοῖς λοιποῖς στοιχείοις τῆς γῆς, ἀψύχοις, καὶ ἀναισθήτοις οὖσι· καὶ οὐχ ἡ-

www.tezaurliturgic.ro



καὶ λογικοὶ τὰ τοιαῦτα σέβεσθαι· ἄλλοι, θη-
σχύνθησαν οἱ ἔμψυχοι, καὶ κτήνεσι τετραπόδοις τὸ σέβας ἀπένειμον, κτη-
ρίοις, καὶ ἑρπετοῖς, καὶ
νωδεστέρους τῶν σεβομένων ἑαυτοὺς ἀποδεικνύοντες· οἱ δὲ, ἀνθρώπων
τινων αἰσχρῶν, καὶ εὐτελῶν μορφώματα ἀνετυπώσαντο, καὶ τούτους
θεοὺς ἐκάλεσαν· καὶ τοὺς μὲν αὐτῶν, ἄῤῥενας· τινὰς δὲ, θηλείας ὠ-
νόμασαν· οὓς ἐκεῖνοι αὐτοὶ ἐξέθεντο μοιχοὺς εἶναι, καὶ φονεῖς, ὀργί-
λους, καὶ ζηλωτὰς, καὶ ἅρπαγας, καὶ θυμαντικούς· πατροκτόνους,
καὶ ἀδελφοκτόνους, καὶ κλέπτας, χωλοὺς, καὶ κυλλοὺς, καὶ φαρμακοὺς.
καὶ μαινομένους· καὶ τούτων τινὰς μὲν τετελευτηκότας, τινὰς δὲ κε-
κεραυνομένους, καὶ δεδουλευκότας ἀνθρώπους, καὶ φυγάδας γενομέ-
νους, καὶ κοπτωμένοος, καὶ θρηνουμένους, καὶ εἰς ζῶα μεταμορφω-
μένους, ἐπὶ πονηραῖς καὶ αἰσχραῖς πράξεσεν.

Ὅθεν λαμβάνοντες οἱ ἄνθρωποι ἀφορμὰς ἀπὸ τῶν Θεῶν αὐτῶν, ἀ-
δεῶς κατεμιαίνοντο πάσῃ ἀκαθαρσίᾳ, καὶ δεινὴ κατεῖχε σκότωσις τὸ
γένος ἡμῶν ἐν ἐκείνοις τοῖς χρόνοις· καὶ οὐκ ἦν ὁ συνιὼν, οὐκ ἦν ὁ
ἐκζητῶν τὸν Θεόν. Ἀβραὰμ δέ τις ἐν ἐκείνῃ τῇ γενεᾷ μόνος εὑρέθη
τὰς αἰσθήσεις τῆς ψυχῆς ἐῤῥωμένας ἔχων· ὃς τῇ θεωρίᾳ τῶν κτισμά-
των ἐπέγνω τὸν δημιουργόν· κατανοήσας γὰρ οὐρανὸν, καὶ γῆν, καὶ
θάλασσαν, ἥλιον, καὶ σελήνην, καὶ τὰ λοιπὰ, ἐθαύμασε τὴν ἐναρμό-
νιον διακόσμησιν ταύτην· ἰδὼν δὲ τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ πάντα,
οὐκ αὐτομάτως γεγενῆσθαι, καὶ συντηρεῖσθαι ἐνόμισεν, οὔτε μὴν τοῖς
στοιχείοις τῆς γῆς, ἢ τοῖς ἀψύχοις εἰδώλοις τὴν αἰτίαν τῆς τοιαύτης
διακοσμήσεως προσανέθετο· ἀλλὰ τὸν ἀληθῆ Θεὸν διὰ τούτων ἐπέγνω,
καὶ αὐτὸν εἶναι δημιουργὸν τοῦ παντός, καὶ συνοχέα συνῆκεν. Ἀπο-
δεξάμενος δὲ τοῦτον τῆς εὐγνωμοσύνης, καὶ ὀρθῆς κρίσεως ὁ Θεὸς,
ἐνεφάνησεν αὐτῷ ἑαυτὸν, οὐ καθὼς ἔχει φύσεως, (Θεὸν γὰρ ἰδεῖν γεν-
νητὴ φύσις ἀδύνατον,) ἀλλ' οἰκονομικαῖς τισι θεοφανείαις, ὡς οἶδεν
αὐτός· καὶ τελεωτέραν γνῶσιν ἐνθεὶς αὐτοῦ τῇ ψυχῇ, ἐδόξασε, καὶ οἰ-
κεῖον ἔθετο θεράποντα· ὅς, κατὰ διαδοχὴν τοῖς ἐξ αὐτοῦ παραπέμψας
τὴν εὐσέβειαν, τὸν ἀληθῆ γνωρίζειν Θεὸν ἐδίδαξε.

Διὸ καὶ εἰς πλῆθος ἄπειρον τὸ σπέρμα αὐτοῦ ἐλθεῖν ὁ Δεσπότης εὐ-
δόκησε, καὶ λαὸν περιούσιον αὐτὸ ὠνόμασε· καὶ δουλωθέντας αὐτοὺς
ἔθνει αἰγυπτίῳ, καὶ Φαραῷ τινι τυράννῳ, σημείοις καὶ τέρασι φρικτοῖς,
καὶ ἐξαισίοις, ἐξήγαγεν ἐκεῖθεν διὰ Μωσέως, καὶ Ἀαρὼν, ἁγίων, καὶ
χάριτι προφητείας δοξασθέντων· δι' ὧν καὶ τοὺς Αἰγυπτίους ἐκόλασεν
ἀξίως τῆς αὐτῶν πονηρίας, καὶ τοὺς Ἰσραηλίτας (οὕτω γὰρ ὁ λαὸς
ἐκεῖνος ὁ τοῦ Ἀβραὰμ ἀπόγονος ἐκέκλητο) διὰ ξηρᾶς τὴν ἐρυθρὰν θά-
λασσαν διήγαγε, διασχισθέντων τῶν ὑδάτων, καὶ τεῖχος ἐκ δεξιῶν,



καὶ τεῖχος ἐξ εὐωνύμων γεγενημένων· τοῦ δὲ Φαραὼ, καὶ τῶν Αἰγυ-
πτίων κατ' ἴχνος αὐτῶν εἰσελθόντων, ἐπαναστραφέντα τὰ ὕδατα, ἄρ-
δην αὐτοὺς ἀπώλεσεν. Εἶτα θαύμασι μεγίστοις, καὶ θεοφανείαις ἐπὶ
χρόνοις τεσσαράκοντα διαγαγὼν τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, καὶ ἄρτῳ
οὐρανίῳ διατρέφων, νόμον δέδωκε, πλαξὶ λιθίναις θεόθεν γεγραμμένον,
ὅνπερ ἐνεχείρισε τῷ Μωϋσῇ ἐπὶ τοῦ ὄρους, τύπον ὄντα, καὶ σκιαγρα-
φίαν τῶν μελλόντων· τῶν μὲν εἰδώλων, καὶ πάντων τῶν πονηρῶν πρά-
ξεων ἀπάγοντα, μόνον δὲ διδάσκοντα τὸν ὄντως ὄντα Θεὸν σέβεσθαι,
καὶ τῶν ἀγαθῶν ἔργων ἀντέχεσθαι. Τοιαύταις οὖν τερατουργίαις εἰσή-
γαγεν αὐτοὺς εἰς ἀγαθήν τινα γῆν, ἥνπερ πάλαι τῷ Πατριάρχῃ ἐκείνῳ
Ἀβραὰμ ἐπηγγείλατο δώσειν αὐτοῦ τῷ σπέρματι· καὶ μακρὸν ἂν εἴη
διηγεῖσθαι ὅσα καὶ εἰς αὐτοὺς ἐνεδείξατο μεγάλα καὶ θαυμαστὰ, ἔν-
δοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· δι' ὧν πάντων τοῦτο ἦν τὸ
σπουδαζόμενον, πάσης ἀθέσμου λατρείας τε καὶ πράξεως τὸ τῶν ἀν-
θρώπων ἀποσπάσαι γένος, καὶ εἰς τὴν ἀρχαίαν ἐπαναγαγεῖν κατά-
στασιν· ἀλλὰ καὶ ἔτι τῇ αὐτονομίᾳ τῆς πλάνης ἐδουλοῦτο ἡ φύσις ἡ-
μῶν, καὶ ἐβασίλευε τῶν ἀνθρώπων ὁ θάνατος, τῇ τυραννίδι τοῦ δια-
βόλου, καὶ τῇ καταδίκῃ τοῦ ᾅδου πάντας παραπέμπων.

Εἰς τοιαύτην οὖν συμφορὰν καὶ ταλαιπωρίαν ἐλθόντας ἡμᾶς, οὐ
παρεῖδεν ὁ πλάσας, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών. Οὐδὲ
ἀφῆκεν εἰς τέλος ἀπολέσθαι τὸ τῶν χειρῶν αὐτοῦ ἔργον, ἀλλ' εὐδο-
κίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ὁ
ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ὁμοούσιος τῷ Πατρί, και τῷ ἁγίῳ
Πνεύματι, ὁ προαιώνιος, ὁ ἄναρχος, ὁ ἐν ἀρχῇ ὢν, καὶ πρὸς τὸν Θεὸν
και Πατέρα ὢν, καὶ Θεὸς ὢν, συγκαταβαίνει τοῖς αὐτοῦ δούλοις συγ-
κατάβασιν ἄφραστον, καὶ ἀκατάληπτον, καὶ Θεὸς ὢν τέλειος, ἄνθρω-
πος τέλειος γίνεται, ἐκ Πνεύματος ἁγίου, καὶ Μαρίας τῆς ἁγίας παρ-
θένου καὶ Θεοτόκου· οὐκ ἐκ σπέρματος ἀνδρός, ἢ θελήματος, ἢ συνα-
φείας ἐν τῇ ἀχράντῳ μήτρᾳ τῆς Παρθένου συλληφθείς, ἀλλ' ἐκ Πνεύ-
ματος ἁγίου, καθὼς καὶ πρὸ τῆς συλλήψεως εἷς τῶν Ἀρχαγγέλων
ἀπεστάλη μηνύων τῇ παρθένῳ τὴν ξένην σύλληψιν ἐκείνην, καὶ τὸν
ἄφραστον τόκον· ἀσπόρως γὰρ συνελήφθη ὁ Υἱὸς τοῦ Θεοῦ, ἐκ Πνεύ-
ματος ἁγίου· καὶ συμπήξας ἑαυτῷ ἐν τῇ μήτρᾳ τῆς Παρθένου σάρκα
ἐμψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, προῆλθεν ἐν μιᾷ ὑποστά-
σει, δύο δὲ ταῖς φύσεσι· τέλειος Θεός, καὶ τέλειος ἄνθρωπος, ἄφθορον
τὴν παρθενίαν τῆς τεκούσης καὶ μετὰ τὸν τόκον φυλάξας· καὶ ἐν πᾶ-
σιν ὁμοιοπαθὴς ἡμῖν γενόμενος χωρὶς ἁμαρτίας, τὰς ἀσθενείας ἡμῶν
ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασεν· ἐπεὶ γὰρ δι' ἁμαρτίας ὁ θάνατος

www.tezaurliturgic.ro



εἰσῆλθεν εἰς τὸν κόσμον, ἔδει τὸν λυτροῦσθαι μέλλοντα ἀναμάρτητον εἶναι, καὶ μὴ τῷ θανάτῳ διὰ τῆς ἁμαρτίας ὑπεύθυνον.

Ἐπὶ τριάκοντα δὲ χρόνοις τοῖς ἀνθρώποις συναναστραφείς, ἐβαπτίσθη ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπὸ Ἰωάννου, ἀνδρὸς ἁγίου, καὶ πάντων τῶν προφητῶν ὑπερκειμένου. Βαπτισθέντος δὲ αὐτοῦ, φωνὴ ἠνέχθη οὐρανόθεν ἐκ τοῦ Θεοῦ καὶ Πατρός, λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατῆλθεν ἐπ' αὐτόν. Καὶ ἀπὸ τότε ἤρξατο σημεῖα ποιεῖν μεγάλα καὶ θαυμαστά· νεκροὺς ἀνιστῶν, τυφλοὺς φωτίζων, δαίμονας ἀπελαύνων, κωφοὺς καὶ κυλλοὺς θεραπεύων, λεπροὺς καθαρίζων, καὶ πανταχόθεν ἀνακαινίζων τὴν παλαιωθεῖσαν ἡμῶν φύσιν· ἔργῳ τε παιδεύων καὶ διδάσκων τὴν τῆς ἀρετῆς ὁδόν, τῆς μὲν φθορᾶς ἀπάγων, πρὸς δὲ τὴν ζωὴν ποδηγῶν τὴν αἰώνιον. Ὅθεν καὶ μαθητὰς ἐξελέξατο δώδεκα, οὓς Ἀποστόλους ἐκάλεσε, καὶ κηρύττειν πᾶσιν ἐπέτρεψε τὴν οὐράνιον πολιτείαν, ἣν ἦλθεν ἐπὶ γῆς ἐνδείξασθαι, καὶ οὐρανίους τοὺς ταπεινοὺς ἡμᾶς καὶ ἐπιγείους τῇ αὐτοῦ οἰκονομίᾳ τελέσαι.

Φθόνῳ δὲ τῆς θαυμαστῆς αὐτοῦ, καὶ θεοπρεποῦς πολιτείας, καὶ τῶν ἀπείρων θαυμάτων, οἱ ἀρχιερεῖς καὶ ἀρχηγοὶ τῶν Ἰουδαίων, ἔνθα δὴ καὶ τὰς διατριβὰς ἐποίει, μανέντες, οἷς περ τὰ προειρημένα θαυμαστὰ σημεῖα καὶ τέρατα ἐπεποιήκει, ἀμνημονήσαντες πάντων, θανάτῳ αὐτὸν κατεδίκασαν, ἕνα τῶν μαθητῶν αὐτοῦ εἰς προδοσίαν συναρπάσαντες· καὶ κρατήσαντες αὐτόν, τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν τῶν ἁπάντων ἐποιήσαντο, ἑκουσίᾳ βουλῇ ταῦτα καταδεξαμένου αὐτοῦ. ἦλθε γὰρ δι' ἡμᾶς πάντα παθεῖν, ἵνα ἡμᾶς τῶν παθῶν ἐλευθερώσῃ. Πολλὰ δὲ εἰς αὐτὸν ἐνδειξάμενοι, σταυρῷ τὸ τελευταῖον κατεδίκασαν· καὶ πάντα ὑπέμεινε τῇ φύσει τῆς σαρκός, ἧς ἐξ ἡμῶν ἀνελάβετο, τῆς θείας αὐτοῦ φύσεως ἀπαθοῦς μεινάσης· δύο γὰρ φύσεων ὑπάρχων, τῆς τε θείας, καὶ ἧς ἐξ ἡμῶν προσελάβετο, ἡ μὲν ἀνθρωπεία φύσις ἔπαθεν, ἡ δὲ θεότης ἀπαθὴς ἦν, καὶ ἀθάνατος.

Ἐσταυρώθη οὖν τῇ σαρκὶ ὁ ἀναμάρτητος Κύριος Ἰησοῦς Χριστός. «Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ Ἡσαΐας νγ΄. 10»· καὶ οὐχ ὑπέκειτο τῷ θανάτῳ· (διὰ τῆς ἁμαρτίας γάρ, ὡς καὶ προεῖπον, ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον ά. Πέτρ. β΄. 23)· ἀλλὰ δι' ἡμᾶς ἀπέθανε σαρκί, ἵνα ἡμᾶς τῆς τοῦ θανάτου λυτρώσηται τυραννίδος· κατῆλθεν εἰς ᾅδου, καὶ τοῦτον συντρίψας, τὰς ἀπ' αἰῶνος ἐγκεκλεισμένας ἐκεῖσε ψυχὰς ἠλευθέρωσε· τεθεὶς ἐν τάφῳ, τῇ τρίτῃ ἡμέρᾳ ἐξανέστη, νικήσας τὸν θάνατον, καὶ ἡμῖν τὴν νίκην δωρησάμενος κατ' αὐτοῦ· καὶ ἀφθαρτίσας τὴν σάρκα ὁ τῆς ἀ-



φθαρσίας πάροχος, ὤφθη τοῖς μαθηταῖς, εἰρήνην αὐτοῖς δωρησάμενος, καὶ δι' αὐτῶν παντὶ τῷ γένει τῶν ἀνθρώπων· μεθ' ἡμέρας δὲ τεσσαράκοντα εἰς οὐρανοὺς ἀνεφοίτησε, καὶ οὕτως ἐν δεξιᾷ τοῦ Πατρὸς καθέζεται· ὃς καὶ μέλλει πάλιν ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· μετὰ δὲ τὴν ἔνδοξον εἰς οὐρανοὺς ἀνάληψιν, ἀπέστειλε τὸ πανάγιον Πνεῦμα αὐτοῦ ἐπὶ τοὺς ἁγίους αὐτοῦ Μαθητὰς ἐν εἴδει πυρός, καὶ ἤρξαντο ξέναις γλώσσαις λαλεῖν, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.

Ἐντεῦθεν οὖν ἡ χάρις τοῦ Πνεύματος ἐν τοῖς Μαθηταῖς ἐνῴκησε, καὶ διεσπάρησαν οὗτοι εἰς πάντα τὰ ἔθνη, καὶ ἐκήρυξαν τὴν ὀρθόδοξον πίστιν, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ διδάσκοντες τηρεῖν πάσας τὰς ἐντολὰς τοῦ Σωτῆρος. Ἐφώτισαν οὖν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ τὴν δεισιδαίμονα πλάνην τῶν εἰδώλων κατήργησαν· κἂν μὴ φέρων ὁ ἐχθρὸς τὴν ἧτταν, πολέμους καὶ νῦν καθ' ἡμῶν τῶν πιστῶν ἐγείρει, πείθων τοὺς ἄφρονας καὶ ἀσυνέτους ἔτι τῆς εἰδωλολατρείας ἀντέχεσθαι· ἀλλ' ἀσθενὴς ἡ δύναμις αὐτοῦ γέγονε, καὶ αἱ ῥομφαῖαι εἰς τὸ τέλος ἐξέλιπον τῇ τοῦ Χριστοῦ δυνάμει. Ἰδού σοι τὸν ἐμὸν Δεσπότην, καὶ Θεόν, καὶ Σωτῆρα δι' ὀλίγων ῥημάτων ἐγνώρισα· τελεώτερον δὲ γνωρίσεις, εἰ τὴν χάριν αὐτοῦ δέξῃ ἐν τῇ ψυχῇ σου, καὶ δοῦλος αὐτοῦ καταξιωθῇς γενέσθαι.

Τούτων οὖν τῶν ῥημάτων ὡς ἤκουσεν ὁ τοῦ βασιλέως υἱός, φῶς αὐτοῦ περιήστραψε τῇ ψυχῇ· καὶ ἐξαναστὰς τοῦ θρόνου ἐκ περιχαρείας, καὶ περιπλακεὶς τῷ Βαρλαάμ, ἔφη· τάχα οὗτός ἐστιν, ὡς ἐγὼ εἰκάζω, τιμιώτατε τῶν ἀνθρώπων, ὁ λίθος ἐκεῖνος ὁ ἀτίμητος, ὃν ἐν μυστηρίῳ εἰκότως κατέχεις, μὴ παντὶ τῷ βουλομένῳ τοῦτον δεικνύων, ἀλλ' οἷς ἔρρωται τὰ τῆς ψυχῆς αἰσθητήρια· ἰδοὺ γὰρ ὡς ταῦτα τὰ ῥήματα ἐδεξάμην ταῖς ἀκοαῖς, φῶς γλυκύτατον εἰσέδυ μου τῇ καρδίᾳ, καὶ τὸ βαρὺ ἐκεῖνο τῆς λύπης κάλυμμα, τὸ πολὺν ἤδη χρόνον περικείμενον τῇ διανοίᾳ μου, θᾶττον περιῃρέθη. Εἰ οὖν καλῶς εἰκάζω, ἀνάγγειλόν μοι· εἰ δὲ καὶ κρεῖττόν τι τῶν εἰρημένων γινώσκεις, μὴ ἀναβάλλου ἐξ αὐτῆς φανερῶσαί μοι.

Αὖθις οὖν ὁ Βαρλαὰμ ἀπεκρίνατο· ναὶ δή, κύριέ μου, καὶ βασιλεῦ, τοῦτό ἐστι τὸ μέγα μυστήριον, τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων φανερωθὲν τῷ γένει τῶν ἀνθρώπων· οὗ τὴν φανέρωσιν πάλαι προήγγειλαν πολλοὶ Προφῆται, καὶ δίκαιοι, τῇ τοῦ θείου Πνεύματος χάριτι πολυμερῶς καὶ πολυτρόπως μυηθέντες, καὶ μεγαλοφώνως καταγγείλαντες· καὶ πάντες

www.tezaurliturgic.ro



τὴν ἐσομένην σωτηρίαν προορῶντες, ἐπόθουν θεάσασθαι ταύτην, καὶ οὐκ ἐθεάσαντο· ἀλλ' ἡ ἐσχάτη γενεὰ αὕτη. ἠξιώθη τὸ σωτήριον δέξασθαι. «Ὁ πιστεύσας οὖν καὶ βαπτισθείς, σωθήσεται, ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Μάρκ. ις'. 16». Ὁ δὲ Ἰωάσαφ ἔφη· πάντα τὰ εἰρημένα σοι ἀνενδοιάστως πιστεύω, καὶ ὃν καταγγέλεις δοξάζω Θεόν· μόνον ἀπλανῶς μοι ταῦτα σαφήνισον, καὶ τί με δεῖ ποιεῖν, ἀκριβῶς δίδαξον· ἀλλὰ καὶ τὸ βάπτισμα τί ἐστιν, ὃ τοὺς πιστεύοντας δέξασθαι ἔφης, κατ' ἀκολουθίαν γνώρισον.

Ἐκεῖνος δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· τῆς ἁγίας ταύτης καὶ ἀμωμήτου τῶν χριστιανῶν πίστεως ῥίζα ὥσπερ καὶ ἀσφαλὴς ὑποβάθρα, ἡ τοῦ βαπτίσματος ὑπάρχει χάρις, πάντων τῶν ἀπὸ γενέσεως ἁμαρτημάτων τὴν κάθαρσιν ἔχουσα, καὶ παντελῆ ῥύψιν τῶν ἀπὸ κακίας ἐπεισελθόντων μολυσμάτων· οὕτω γὰρ ὁ Σωτὴρ ἐνετείλατο, δι' ὕδατος ἀναγεννᾶσθαι καὶ Πνεύματος, καὶ εἰς τὸ ἀρχαῖον ἐπανέρχεσθαι ἀξίωμα· δι' ἐντεύξεως δηλαδή, καὶ τῆς σωτηρίου ἐπικλήσεως, ἐπιφοιτῶντος τῷ ὕδατι τοῦ ἁγίου Πνεύματος. Βαπτιζόμεθα τοίνυν, κατὰ τὸν λόγον τοῦ Κυρίου, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ οὕτως ἐνοικεῖ ἡ τοῦ Πνεύματος χάρις τῇ τοῦ βαπτισθέντος ψυχῇ, λαμπρύνουσα αὐτήν, καὶ θεοειδῆ ἀπεργαζομένη, καὶ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτῇ ἀνακαινίζουσα· καὶ λοιπὸν πάντα τὰ παλαιὰ τῆς κακίας ἔργα ἀποῤῥίψαντες, συνθήκην πρὸς Θεὸν δευτέρου βίου, καὶ ἀρχὴν καθαρωτέρας πολιτείας ποιούμεθα, ὡς ἂν καὶ συγκληρονόμοι ἐσόμεθα τῶν πρὸς ἀφθαρσίαν ἀναγεννηθέντων, καὶ τῆς αἰωνίου σωτηρίας ἐπιλαβομένων· χωρὶς δὲ βαπτίσματος, οὐκ ἔστι τῆς ἀγαθῆς ἐκείνης ἐλπίδος ἐπιτυχεῖν, κἂν πάντων τῶν εὐσεβῶν εὐσεβέστερός τις γένηται· οὕτω γὰρ ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν ἐνανθρωπήσας Θεὸς Λόγος εἶπεν· «Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ἀναγεννηθῆτε δι' ὕδατος καὶ Πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἰωάν. γ'. 5».

Διὸ πρὸ πάντων ἀξιῶ σε τῇ μὲν ψυχῇ δέξασθαι τὴν πίστιν, προσελθεῖν δὲ εὐθὺς καὶ τῷ βαπτίσματι πόθῳ θερμοτάτῳ, καὶ μηδόλως ἐπὶ τούτῳ ἀναβαλέσθαι· ἐπικίνδυνος γὰρ ἡ ἀναβολή, διὰ τὸ ἄδηλον εἶναι τοῦ θανάτου τὴν προθεσμίαν. Ὁ δὲ Ἰωάσαφ πρὸς αὐτὸν εἶπε· καὶ τίς ἡ ἀγαθὴ ἐλπὶς ἐκείνη, ἧς ἔφης χωρὶς βαπτίσματος μὴ ἐπιτυγχάνειν; τίς δέ ἐστιν, ἥνπερ βασιλείαν τῶν οὐρανῶν ἀποκαλεῖς; πόθεν δὲ τὰ τοῦ ἐνανθρωπήσαντος Θεοῦ ῥήματα σὺ ἀκήκοας; τίς δὲ ἡ τοῦ θανάτου ἄδηλος προθεσμία, περὶ ἧς μοι μέριμνα πολλὴ τῇ καρδίᾳ μου ἐνσκήψασα, ἐν λύπαις, καὶ ὀδύναις δαπανᾷ μοι τὰς σάρκας, καὶ αὐτῶν



δὴ τῶν ὀστέων τὴν ἰσχὺν κατεσθίει; καὶ εἰ τεθνηξόμενοι, εἰς τὸ μὴ ὂν διαλυόμεθα οἱ ἄνθρωποι, ἢ ἔστιν ἄλλη τις βιωτὴ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν; ταῦτα καὶ τὰ τούτοις ἑπόμενα μαθεῖν ἐπεθύμουν.

Ὁ δὲ Βαρλαὰμ τοιαύτας τούτῳ τὰς ἀποκρίσεις ἐδίδου. Ἡ μὲν ἀγαθὴ ἐλπίς, ἣν εἴρηκα, τῆς βασιλείας ἐστὶ τῶν οὐρανῶν· αὕτη δὲ γλώσσῃ βροτείᾳ τὸ παράπαν ὑπάρχει ἀνέκφραστος· φησὶ γὰρ ἡ γραφή· «Ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Α'. Κορινθ. β'. 9». Ὅταν δὲ ἀξιωθῶμεν τὸ παχὺ τοῦτο ἀποθέμενοι σαρκίον, τῆς μακαριότητος ἐκείνης ἐπιτυχεῖν, τότε αὐτὸς ὁ καταξιώσας μὴ διαμαρτεῖν τῆς ἐλπίδος, διδάξει, καὶ γνωριεῖ τῶν ἀγαθῶν ἐκείνων τὴν πάντα νοῦν ὑπερέχουσαν δόξαν, τὸ ἄφραστον φῶς, τὴν μὴ διακοπτομένην ζωήν, τὴν μετὰ Ἀγγέλων διαγωγήν. Εἰ γὰρ ἀξιωθῶμεν Θεῷ συγγενέσθαι, καθ' ὅσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, πάντα εἰσόμεθα παρ' αὐτοῦ, ἃ νῦν οὐκ ἴσμεν· τοῦτο γὰρ ἐγὼ ἐκ τῆς τῶν θεοπνεύστων γραφῶν μεμυημένος διδαχῆς, πάντων μάλιστα βασιλείαν οὐρανῶν τίθεμαι, τὸ πλησίον γενέσθαι τῇ θεωρίᾳ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος, καὶ τῷ ἀπροσίτῳ φωτὶ αὐτῆς ἐλλαμφθῆναι τρανώτερόν τε καὶ καθαρώτερον, καὶ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν ἄῤῥητον αὐτῆς δόξαν κατοπτρίζεσθαι· εἰ δὲ μὴ δυνατὸν τὴν δόξαν ἐκείνην, καὶ τὸ φῶς, καὶ τὰ ἀπόῤῥητα ἀγαθὰ παραστῆσαι λόγῳ, θαυμαστὸν οὐδέν· οὐκ ἂν γὰρ ἦσαν μεγάλα, καὶ ἐξαίρετα, εἴγε ἡμῖν τοῖς ἐπιγείοις, καὶ φθαρτοῖς, καὶ τὸ βαρὺ τοῦτο καὶ ἐμπαθὲς σαρκίον περικειμένοις, τῷ λογισμῷ τε κατελαμβάνοντο, καὶ τῷ λόγῳ παριστῶντο.

Οὕτω μὲν οὖν δὴ περὶ τούτων εἰδώς, τῇ πίστει μόνῃ δέχου ἀνενδοιάστως μηδὲν πεπλασμένον ἔχειν, καὶ δι' ἔργων ἀγαθῶν ἐπείχθητι τῆς ἀθανάτου βασιλείας ἐκείνης ἐπιλαβέσθαι· ἧσπερ ὅταν ἐπιτύχῃς, τότε μαθήσει τὸ τέλειον. Περὶ ὧν δὲ ἠρώτησας, πῶς ἡμεῖς τοὺς λόγους τοῦ σαρκωθέντος Θεοῦ ἀκηκόαμεν, διὰ τῶν ἱερῶν εὐαγγελίων ἴσθι πάντα τὰ τῆς θεανδρικῆς οἰκονομίας ἡμᾶς μεμαθηκέναι. Οὕτω γὰρ ἡ ἁγία δέλτος ἐκείνη κέκληται, ὡς ἅτε ἀθανασίαν, καὶ ἀφθαρσίαν καὶ ζωὴν αἰώνιον, καὶ ἁμαρτιῶν ἄφεσιν, καὶ βασιλείαν οὐρανῶν τοῖς θνητοῖς ἡμῖν, καὶ φθαρτοῖς, καὶ ἐπιγείοις εὐαγγελιζομένης· ἥνπερ γεγράφασιν οἱ αὐτόπται καὶ ὑπηρέται τοῦ Λόγου, οὓς ἀνωτέρω εἴρηκα ὅτι μαθητὰς καὶ Ἀποστόλους ὁ Σωτὴρ ἡμῶν Χριστὸς ἐξελέξατο· καὶ παρέδωκαν ἡμῖν ἐγγράφως μετὰ τὴν ἔνδοξον τοῦ Δεσπότου εἰς οὐρανοὺς ἄνοδον, τῆς ἐπὶ γῆς αὐτοῦ πολιτείας τάς τε διδασκαλίας αὐτοῦ καὶ τὰ θαύματα, κατὰ τὸ ἐγχωροῦν γραφῇ παραδοῦναι· οὕτω γὰρ

πρὸς τῷ τέλει τοῦ λόγου ὁ ἐξαίρετος τῶν θείων ἐκείνων εὐαγγελιστῶν εἴρηκεν· «Ἔστι φησί, καὶ ἄλλα πολλά, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἰωάν. κά. 25».

Ἐν τούτῳ οὖν τῷ θειοτάτῳ Εὐαγγελίῳ ἐμφέρεται τῆς τε σαρκώσεως, τῆς τε ἀναδείξεως, τῶν τε θαυμάτων, τῶν τε πραγμάτων αὐτοῦ ἡ ἱστορία, Πνεύματι Θεοῦ γεγραμμένη· ἔπειτα καὶ περὶ τοῦ ἀχράντου πάθους, οὗπερ ὑπέμεινε δι᾽ ἡμᾶς ὁ Κύριος, τῆς τε ἁγίας καὶ τριημέρου ἐγέρσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου· πρὸς δὲ καὶ τῆς ἐνδόξου καὶ φοβερᾶς αὐτοῦ παρουσίας· μέλλει γὰρ πάλιν ὁ Υἱὸς τοῦ Θεοῦ ἐλθεῖν μετὰ δόξης ἀῤῥήτου, καὶ πλήθους τῆς οὐρανίου στρατιᾶς, κρῖναι τὸ γένος ἡμῶν, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τὸν γὰρ ἄνθρωπον ἐξ ἀρχῆς ὁ Θεὸς ἐκ γῆς διαπλάσας, καθὰ δὴ καὶ προλαβὼν εἶπόν σοι, ἐνεφύσησεν αὐτῷ πνοὴν ζωῆς, ἥτις ψυχὴ λογική τε καὶ νοερὰ προσαγορεύεται· ἐπεὶ δὲ θάνατον κατεκρίθημεν, ἀποθνήσκομεν πάντες· καὶ οὐκ ἔστι τὸ ποτήριον τοῦτό τινα τῶν ἀνθρώπων παραδραμεῖν· ἔστι δὲ ὁ θάνατος χωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος.

Ἐκεῖνο μὲν οὖν τὸ ἐκ τῆς γῆς διαπλασθὲν σῶμα, χωρισθὲν τῆς ψυχῆς, εἰς γῆν ὑποστρέφει, ἐξ ἧς περ καὶ ἐλήφθη, καὶ φθειρόμενον, διαλύεται· ἡ δὲ ψυχή, ἀθάνατος οὖσα, πορεύεται ἔνθα κελεύει ὁ δημιουργός· μᾶλλον δὲ καθὼς αὐτὴ προητοίμασεν ἑαυτῇ κατάλυμα, ἔτι τῷ σαρκίῳ συνοῦσα· καθὼς γάρ τις πολιτεύσηται ἐνταῦθα, μέλλει ἀπολαμβάνειν ἐκεῖθεν. Εἶτα μετὰ πλείστους χρόνους ἐλεύσεται Χριστὸς ὁ Θεὸς ἡμῶν κρῖναι τὸν κόσμον, ἐν δόξῃ φοβερᾷ, καὶ ἀνεκδιηγήτῳ, οὗ τῷ φόβῳ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ πᾶσαι αἱ στρατιαὶ τῶν Ἀγγέλων τρόμῳ παρίστανται ἐνώπιον αὐτοῦ· τότε ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ ἀναστήσονται οἱ νεκροί, καὶ παραστήσονται τῷ φοβερῷ αὐτοῦ θρόνῳ· ἔστι δὲ ἡ ἀνάστασις, συνάφεια πάλιν ψυχῆς τε καὶ σώματος.

Αὐτὸ οὖν τὸ σῶμα τὸ φθειρόμενον, καὶ διαλυόμενον, αὐτὸ ἀναστήσεται ἄφθαρτον· καὶ μηδαμῶς σοι λογισμὸς ἀπιστίας περὶ τούτου ἔλθοι· οὐκ ἀδυνατεῖ γὰρ τῷ ἐξ ἀρχῆς ἐκ γῆς διαπλάσαντι αὐτό, πάλιν ἀποστραφὲν εἰς γῆν, ἐξ ἧς ἐλήφθη, κατὰ τὴν τοῦ δημιουργοῦ ἀπόφασιν, αὖθις ἀναστήσεσθαι· εἰ γὰρ ἐννοήσεις πόσα ἐξ οὐκ ὄντων ἐποίησεν ὁ Θεός, ἱκανή σοι ἔστιν αὕτη ἀπόδειξις· καὶ γὰρ γῆν λαβών, ἐποίησεν ἄνθρωπον· γῆν, οὐκ οὖσαν πρότερον· πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὕτη οὐκ οὖσα, παρήγετο; ποίαν δὲ ὑποβάθραν ἔχει; πῶς δὲ ἐξ αὐτῆς παρήχθησαν τὰ τῶν ἀλόγων ἄπειρα γένη; τὰ τῶν



σπερμάτων; τὰ τῶν φυτῶν; ἀλλὰ καὶ νῦν κατανόησον ἐπὶ τῆς γεννήσεως τῆς ἡμετέρας· οὐ σπέρμα βραχὺ ἐνίεται εἰς τὴν ὑποδεχομένην μήτραν αὐτό; πόθεν οὖν ἡ τοσαύτη τοῦ ζώου διάπλασις;

Τῷ οὖν τὰ πάντα δημιουργήσαντι ἐκ μὴ ὄντων, καὶ εἰσέτι δημιουργοῦντι, οὐκ ἀδύνατον ἐκ γῆς τὰ νενεκρωμένα, καὶ διαφθαρέντα σώματα ἀναστῆσαι, ἵνα ἕκαστος ἀπολάβῃ κατὰ τὰ ἔργα αὐτοῦ· ἐργασίας γάρ, φησίν, ὁ παρὼν καιρός, ὁ δὲ μέλλων ἀνταποδόσεως· ἐπεὶ ποῦ τὸ δίκαιον τοῦ Θεοῦ, εἰμὴ ἀνάστασις ἦν; πολλοὶ γὰρ δίκαιοι ὄντες, πολλὰ ἐν τῷ παρόντι βίῳ κακουχηθέντες, βιαίως ἀνῃρέθησαν· ἔνιοι δὲ ἀσεβεῖς ὄντες, καὶ παράνομοι, ἐν τρυφῇ, καὶ εὐημερίᾳ τὴν παροῦσαν ζωὴν ἀνάλωσαν· ὁ δὲ Θεός, ἐπεὶ ἀγαθός ἐστι, καὶ δίκαιος, ὥρισεν ἡμέραν ἀναστάσεως, καὶ ἐτάσεως, ἵνα ἀπολαβοῦσα ἑκάστη ψυχὴ τὸ ἴδιον σῶμα, ὁ μὲν κακός, ἐνταῦθα τὰ ἀγαθὰ ἀπολαβών, ἐκεῖ περὶ ὧν ἥμαρτε κολασθῇ, ὁ δὲ ἀγαθός, ἐνταῦθα τιμωρηθεὶς περὶ ὧν ἥμαρτεν, ἐκεῖ τῶν ἀγαθῶν κληρονόμος γένηται. «Ἀκούσονται γάρ, φησιν ὁ Κύριος, οἱ ἐν τοῖς μνημείοις τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Ἰωάν. ἐ. 28». Ἡνίκα καὶ θρόνοι τεθήσονται, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν, καὶ πάντων δημιουργὸς προκαθήσει, καὶ βίβλοι ἀνοιγήσονται, πάντων ἡμῶν τὰς πράξεις, τοὺς λόγους, τὰς ἐνθυμήσεις ἐγγεγραμμένας ἔχουσαι, καὶ ποταμὸς πυρὸς ἕλκει, καὶ πάντα τὰ κεκρυμμένα ἀνακαλύπτονται.

Οὐδεὶς ἐκεῖ συνήγορος, ἢ πιθανότης ῥημάτων, ἢ ψευδὴς ἀπολογία, ἢ πλούτου δυναστεία, ἢ ἀξιωμάτων ὄγκος, ἢ δώρων ἄφθονος δόσις, κλέψαι τὴν ὀρθὴν κρίσιν ἰσχύουσιν· ἀλλ᾽ ὁ ἀδέκαστος κριτὴς ἐκεῖνος, καὶ ἀληθινὸς δικαστής, ζυγοῖς δικαιοσύνης πάντα διακρινεῖ, καὶ πρᾶξιν, καὶ λόγον, καὶ διανόημα· καὶ πορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ζωὴν αἰώνιον, εἰς τὸ φῶς τὸ ἀνέκφραστον, μετὰ Ἀγγέλων εὐφραινόμενοι, τῶν ἀποῤῥήτων ἀγαθῶν ἀπολαύοντες, καὶ τῇ ἁγίᾳ Τριάδι καθαρῶς παριστάμενοι· οἱ δὲ τὰ φαῦλα πράξαντες, καὶ πάντες οἱ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ εἰς κόλασιν αἰώνιον· ἥτις γέεννα λέγεται, καὶ σκότος ἐξώτερον, καὶ σκώληξ ἀκοίμητος, καὶ βρυγμὸς ὀδόντων, καὶ ἄλλα μυρία κολαστήρια· μᾶλλον δὲ τὸ πάντων χαλεπώτατον, τὸ ἀλλοτριωθῆναι Θεοῦ, καὶ ἀπεῤῥίφθαι τοῦ γλυκυτάτου προσώπου αὐτοῦ, καὶ τῆς δόξης ἐκείνης στερηθῆναι τῆς ἀνεκδιηγήτου, καὶ τὸ παραδειγματισθῆναι ἐπὶ πάσης τῆς κτίσεως, καὶ τὸ αἰσχυνθῆναι αἰσχύνην, πέρας οὐκ ἔχουσαν· μετὰ γὰρ τὸ δοθῆναι τὴν φρικτὴν ἐκείνην ἀπόφασιν, πάντα ἄτρεπτα μένουσι, καὶ ἀναλλοίωτα· μήτε τῆς τῶν

www.tezaurliturgic.ro



δικαίων φαιδρᾶς διαγωγῆς ἐχούσης τέλος, μήτε τῆς τῶν ἁμαρτωλῶν
ταλαιπωρίας καὶ κολάσεως λαμβανούσης πέρας· οὔτε κριτὴς μετ' ἐ-
κεῖνον ὑψηλότερος, οὔτε ἀπολογία ἔργων δευτέρων· οὐ προθεσμία με-
ταποιήσεως· οὐκ ἄλλη τις μέθοδος τοῖς κολαζομένοις, συνδιαιωνιζού-
σης αὐτοῖς τῆς τιμωρίας.

Τούτων οὕτως ἐχόντων, ποταποὺς δεῖ ὑπάρχειν ἡμᾶς ἐν ἁγίαις ἀ-
ναστροφαῖς, καὶ εὐσεβέσι πολιτείαις, ἵνα καταξιωθῶμεν ἐκφυγεῖν τὴν
μέλλουσαν ἀπειλήν, καὶ σταθῆναι ἐκ δεξιῶν τοῦ Υἱοῦ τοῦ Θεοῦ; Αὕτη
γὰρ ἡ στάσις τῶν δικαίων· τοῖς δὲ ἁμαρτωλοῖς, ἡ ἐξ εὐωνύμων ἀπο-
κεκλήρωται παναθλία μερίς. Ἐκεῖθεν δὲ τοὺς μὲν δικαίους, εὐλογη-
μένους τοῦ Πατρὸς ἀποκαλῶν ὁ Δεσπότης, εἰς τὴν ἀτελεύτητον βα-
σιλείαν εἰσάγει· τοὺς δὲ ἁμαρτωλούς, μετ' ὀργῆς καὶ ἀρᾶς ἐκβαλὼν
τοῦ προσώπου αὐτοῦ, τοῦ ἡμέρου, καὶ γαληνοῦ, τὸ πάντων πικρότα-
τον ἅμα καὶ χαλεπώτατον, εἰς κόλασιν ἐκπέμπει αἰώνιον. Ὁ δὲ Ἰωά-
σαφ πρὸς αὐτὸν ἔφη· μεγάλα τινά, καὶ θαυμαστὰ πράγματα λέγεις
μοι, ἄνθρωπε, καὶ φόβου πολλοῦ, καὶ τρόμου ἄξια, εἰ ταῦτά γε οὕτως
ἔχει, καὶ ἔστι πάλιν μετὰ τὸ ἀποθανεῖν, καὶ εἰς τέφραν καὶ κόνιν δια-
λυθῆναι, ἀνάστασις, καὶ παλιγγενεσία, ἀμοιβαί τε καὶ εὐθύναι τῶν
βεβιωμένων. Ἀλλὰ τίς ἡ τούτων ἀπόδειξις; καὶ πῶς τὸ τέως μὴ
θεαθὲν μαθόντες, οὕτως ἀραρότως, καὶ ἀναμφιλέκτως ἐπιστεύσατε;
τὰ μὲν γὰρ ἤδη πραχθέντα, καὶ ἔργοις φανερωθέντα, κἂν αὐτοὶ οὐκ
οἴδατε, ἀλλὰ τῶν ἱστορησάντων ἠκούσατε· πῶς δὲ περὶ τῶν μελλόν-
των τοιαῦτα μεγάλα καὶ ὑπέρογκα κηρύττοντες, ἀσφαλῆ τὴν περὶ
αὐτῶν κέκτησθε πληροφορίαν;

## Διδασκαλία ἀρίστη, καὶ ἀναμφίλεκτος, περὶ τῆς φρικτῆς τοῦ Χριστοῦ παρουσίας.

Καί φησιν ὁ Βαρλαάμ· ἐκ τῶν ἤδη πραχθέντων, ἐκτησάμην καὶ τῶν μελλόντων τὴν πληροφορίαν· οἱ γὰρ ταῦτα κηρύξαντες, ἐν μηδενὶ τῆς ἀληθείας διαμαρτῶντες, ἀλλὰ σημείοις, καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι τὰ λεχθέντα ἐμπεδωσάμενοι, αὐτοὶ καὶ περὶ τῶν μελλόντων εἰσηγήσαντο. Ὥσπερ οὖν ἐνταῦθα οὐδὲν σκαιόν, καὶ πεπλασμένον ἐδίδαξαν, ἀλλὰ πάντα φαιδρότερον ἡλίου ἔλαμψαν, ὅσα τε εἶπον, καὶ ἐποίησαν, οὕτω κἀκεῖ ἀληθινὰ ἐδογμάτισαν· ἅτινα καὶ αὐτὸς ὁ Κύριος ἡμῶν καὶ Δεσπότης Ἰησοῦς Χριστός, λόγῳ τε καὶ ἔργῳ ἐπιστώσατο. «Ἀμὴν γάρ, φησι, λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες



ζήσονται. Ἰωάν. έ. 25». Καὶ αὖθις. «Ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ· καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Αὐτόθι». Καὶ πάλιν φησί. «Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ, λέγοντος· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ· οὐκ ἔστιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Ματθ. κβ'. 31». Καὶ πάλιν· «ὥσπερ γὰρ συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. Ἀποστελεῖ ὁ Υἱὸς τοῦ Θεοῦ τοὺς Ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσι πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν· ταῦτα εἰπών, προσέθετο· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ματθ. ιγ'. 40».

Τοιούτοις μὲν λόγοις, καὶ ἑτέροις πλείοσι τὴν τῶν σωμάτων ἀνάστασιν ὁ Κύριος ἐφανέρωσεν· ἔργῳ δὲ τοὺς λόγους ἐπιστώσατο, πολλοὺς ἐγείρας νεκρούς. Πρὸς δὲ τῷ τέλει τῆς ἐπὶ γῆς αὐτοῦ πολιτείας, καὶ τεταρταῖον, ἤδη καταφθαρέντα, καὶ ὀδωδότα, Λάζαρόν τινα φίλον ἑαυτοῦ, ἐκ τοῦ μνήματος καλέσας, ζῶντα τὸν ἄπνουν παρέστησεν. Ἐπὶ τούτοις δέ, καὶ αὐτὸς ὁ Κύριος ἀπαρχὴ τῆς τελείας, καὶ μηκέτι θανάτῳ ὑποπιπτούσης ἀναστάσεως γέγονε, σαρκὶ τοῦ θανάτου γευσάμενος· ἀναστὰς δὲ τριήμερος, καὶ τῶν νεκρῶν πρωτότοκος γενόμενος· ἠγέρθησαν μὲν γὰρ καὶ ἄλλοι ἐκ τῶν νεκρῶν, ἀλλ' αὖθις ἀπέθανον, καὶ οὐκ ἔφθασαν εἰκόνα τῆς μελλούσης ἀληθινῆς ἀναστάσεως παραστῆσαι· μόνος δὲ αὐτὸς τῆς ἀναστάσεως ἐκείνης ἀρχηγὸς ἐγένετο, πρῶτος τὴν ἀθάνατον ὑποδείξας ἀνάστασιν. Ταῦτα καὶ οἱ
ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ Λόγου γενόμενοι, ἐκήρυξαν·
Φησὶ γάρ ὁ μακάριος Παῦλος, οὗ ἡ κλῆσις οὐκ ἐξ ἀνθρώπων ἀλλ' οὐ-
ρανόθεν γέγονε. «Γνωρίζω ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον, ὃ εὐηγγελι-
»σάμην ὑμῖν. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι
»Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, καὶ
»ὅτι ἐτάφη κατὰ τὰς Γραφάς. Α'. Κορινθ. ιέ. 1, 3, 4, 14, . . 53. Εἰ
»δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες,
»ὅτι ἀνάστασις οὐκ ἔστιν; εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χρι-
»στὸς ἐγήγερται, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑ-
»μῶν· ἔτι ἐστὲ ἐν ταῖς ἀνομίαις ὑμῶν. Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες
»ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. Νυνὶ
»δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων γενό-

www.tezaurliturgic.ro



»μενος. Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνά»στασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσι, οὕτω »καὶ ἐν Χριστῷ πάντες ζωοποιηθήσονται». Καὶ μετ' ὀλίγα· δεῖ γὰρ τὸ »φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσα»σθαι ἀθανασίαν. Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν »καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε πληρωθήσεται ὁ λό»γος ὁ γεγραμμένος. «Κατεπόθη ὁ θάνατος εἰς νῖκος. Ποῦ σου, θά»νατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; Ὠσηὲ ιγ'. 14». Καταργεῖται γὰρ τέλεον ἡ τοῦ θανάτου δύναμις τότε, καὶ ἀφανίζεται, μηκέτι ὅλως ἐνεργοῦσα· ἀλλ' ἀθανασία λοιπόν, καὶ ἀφθαρσία δίδοται τοῖς ἀνθρώποις αἰώνιος.

Ἔσται οὖν, ἔσται ἀναμφιλέκτως ἡ τῶν νεκρῶν ἀνάστασις, καὶ τοῦτο ἀνενδοιάστως πιστεύομεν· ἀλλὰ καὶ ἀμοιβάς, καὶ εὐθύνας τῶν βεβιωμένων γινώσκομεν, ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς παρουσίας Χριστοῦ· «δι' ἧς οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται, ὥς φησί τις τῶν θεηγόρων. Ἡσαϊ. ξέ. 17»· καινὸν δὲ οὐρανόν, καὶ καινὴν γῆν, κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν. Β'. Πέτρ. γ'. 13. Ὅτι γὰρ ἀμοιβαί, καὶ εὐθύναι εἰσὶ τῶν ἔργων ἐκεῖ, καὶ οὐδὲν ὅλως τῶν ἀγαθῶν, ἢ τῶν πονηρῶν παροφθήσεται, ἀλλὰ καὶ ῥημάτων, καὶ ἐνθυμήσεων ἀνταπόδοσις ἀπόκειται, φησὶν ὁ Κύριος· «ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον ὕδατος, εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Ματθ. ί. 42». Καὶ πάλιν λέγει· «ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι Ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνον δόξης αὐτοῦ. Καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Ματθ. κέ. 31». Τί τοῦτο λέγων; τὰς γενομένας παρ' ἡμῶν εἰς τοὺς δεομένους εὐποιΐας ἑαυτῷ οἰκειούμενος καὶ ἐν ἑτέρῳ λέγει. «Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ματθ. ί. 32».

Ἰδοὺ διὰ πάντων τούτων, καὶ ἄλλων πλειόνων, ἐδήλωσε βεβαίας



εἶναι, καὶ ἀσφαλεῖς τὰς ἀμοιβὰς τῶν ἀγαθῶν ἔργων· ἀλλὰ καὶ τῶν ἐναντίων εὐθύνας ἀποκεῖσθαι προκατήγγειλε διὰ παραβολῶν, καὶ θαυμάτων ἐξαισίων, ἃς ἡ πηγὴ τῆς σοφίας πανσόφως ἐξηγήσατο· «ποτὲ μέν, πλούσιόν τινα παρεισάγων, πορφύραν, καὶ βύσσον ἐνδεδυμένον, καὶ εὐφραινόμενον καθ' ἡμέραν λαμπρῶς, ἀμετάδοτον δέ, καὶ ἀνηλεῆ πρὸς τοὺς δεομένους ὑπάρχοντα, ὡς καὶ πτωχόν τινα, Λάζαρον ὀνόματι, πρὸς τὸν πυλῶνα αὐτοῦ βεβλημένον, παραβλέπειν, καὶ οὐδὲ αὐτῶν τῶν τῆς τραπέζης ψιχίων ἐπιδιδόναι αὐτῷ. Ἀποθανόντων οὖν ἀμφοτέρων, ὁ μὲν πένης ἐκεῖνος, καὶ ἡλκωμένος, ἀπηνέχθη, φησίν, εἰς τὸν κόλπον Ἀβραάμ, τὴν τῶν δικαίων συναυλίαν οὕτω δηλώσας· ὁ δὲ πλούσιος παρεδόθη φλογὶ πικρᾶς βασάνου, ἐν τῷ ᾅδῃ· πρὸς ὃν καὶ ὁ Ἀβραὰμ ἔλεγεν, ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ οὗτος μὲν παρακαλεῖται ὧδε, σὺ δὲ ὀδυνᾶσαι. Λουκ. ις'. 19». Ἑτέρωθι δὲ παρεικάζων τὴν τῶν οὐρανῶν βασιλείαν, λέγει· «ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ. Ματθ. κβ'. 2». τὴν μέλλουσαν εὐφροσύνην καὶ λαμπρότητα οὕτω δηλῶν· πρὸς ἀνθρώπους γὰρ ταπεινούς, καὶ τὰ ἐπίγεια φρονοῦντας τὸν λόγον ποιούμενος, ἐκ τῶν συνήθων αὐτοῖς, καὶ γνωρίμων ἐδίδου τὰς παραβολάς· οὐ μέντοι γε γάμους, καὶ τραπέζας ὑπάρχειν ἐν ἐκείνῳ τῷ αἰῶνι παρεδήλου· ἀλλὰ τῇ αὐτῶν συγκαταβαίνων παχύτητι, τοιούτοις ὀνόμασι κέχρηται, γνωρίσαι αὐτοῖς τὰ μέλλοντα βουλόμενος.

Πάντας μὲν οὖν συνεκάλεσεν ὁ βασιλεὺς ὑψηλῷ κηρύγματι συνελθεῖν εἰς τοὺς γάμους, καὶ ἐμφορηθῆναι τῶν ἀποῤῥήτων ἀγαθῶν ἐκείνων· πολλοὶ δὲ τῶν κεκλημένων ἀμελήσαντες, οὐκ ἀπῆλθον· ἀλλ' ἀπασχολήσαντες ἑαυτοὺς οἱ μὲν εἰς ἀγρούς, οἱ δὲ εἰς ἐμπορίας, οἱ δὲ εἰς νεονύμφους γυναῖκας, ἀπεστέρησαν ἑαυτοὺς τῆς λαμπρότητος τοῦ νυμφῶνος. Ἐκείνων δὲ ἐθελοντὶ ἀλλοτριωθέντων τῆς τερπνῆς εὐφροσύνης, ἄλλοι προσεκλήθησαν, καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. «Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον, οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη. Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἄρατε αὐτόν, καὶ βάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ματθ. κβ'. 11». Οἱ μὲν οὖν παραιτησάμενοι, καὶ μηδόλως ὑπακούσαντες, εἰσὶν οἱ μὴ προσδραμόντες τῇ τοῦ Χριστοῦ πίστει, ἀλλ' εἴτε τῇ εἰδωλολατρίᾳ, εἴτε αἱρέσει τινὶ ἐμμείναντες. Ὁ δὲ μὴ ἔχων τὸ τοῦ γάμου ἔνδυμά ἐστιν, ὁ πιστεύσας μέν, πράξεσι

www.tezaurliturgic.ro



δὲ ῥυπαραῖς τὸ νοητὸν ἔνδυμα κηλιδώσας· ὃς καὶ δικαίως ἐξεβλήθη τῆς χαρᾶς τοῦ νυμφῶνος.

Καὶ ἄλλην δὲ παραβολήν, ταύτῃ συνᾴδουσαν, παρέθηκε, «δέκα τινὰς παρθένας τυπώσας, ὧν αἱ μὲν πέντε ἦσαν φρόνιμοι, αἱ δὲ πέντε μωραί· αἵτινες μωραί, λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον»· διὰ τοῦ ἐλαίου, τὴν τῶν ἀγαθῶν ἔργων κτῆσιν σημαίνων· «Μέσης δὲ τῆς νυκτός, φησι, κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ»· διὰ τοῦ μεσονυκτίου, τὸ ἄδηλον τῆς ἡμέρας ἐκείνης παραστήσας. «Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι· αἱ μὲν οὖν ἕτοιμοι ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου, καὶ εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Αἱ δὲ ἀνέτοιμοι, ἃς εἰκότως μωρὰς ἐκάλεσε, σβεννυμένας τὰς λαμπάδας ἑαυτῶν ὁρῶσαι, ἀπῆλθον ἀγοράσαι ἔλαιον· παραγενομένων δέ, κλεισθείσης ἤδη τῆς θύρας, ἔκραζον, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· ὁ δέ, φησίν, ἀποκριθείς, εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ἡμᾶς, Ματθ. κέ. 1». Διὰ τούτων οὖν ἁπάντων δῆλόν ἐστιν, ἀνταπόδοσιν εἶναι τῶν ἐναντίων πράξεων, ἀλλὰ καὶ ῥημάτων, καὶ αὐτῶν τῶν ἐνθυμήσεων. Εἶπε γὰρ ὁ Σωτήρ· «λέγω ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργόν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσωσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Ματθ. ιϐ΄. 36». Καὶ αὖθις «ὑμῶν δέ, φησι, καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσί. Ματθ. ί. 30». Διὰ τῶν τριχῶν, τὰ λεπτότατα τῶν λογισμῶν καὶ ἐνθυμήσεων παραδηλώσας. Συνῳδὰ δὲ τούτοις καὶ ὁ μακάριος διδάσκει Παῦλος· «Ζῶν γάρ, φησίν, ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. Ἑϐρ. δ΄. 12». Ταῦτα καὶ οἱ προφῆται πρὸ χρόνων πολλῶν τῇ τοῦ Πνεύματος λαμπόμενοι χάριτι, ἀριδηλότατα κατήγγειλαν. Φησὶ γὰρ ὁ Ἡσαΐας· «ἐγὼ τὰ ἔργα αὐτῶν ἐπίσταμαι, καὶ ἀνταποδώσω αὐτοῖς· ἰδοὺ συναγαγεῖν ἔρχομαι πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσι, καὶ ὄψονται τὴν δόξαν μου. Καὶ ἔσται ὁ οὐρανὸς καινός, καὶ ἡ γῆ καινή, ἃ ἐγὼ ποιῶ μένειν ἐνώπιόν μου. Καὶ ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιόν μου, λέγει ὁ Κύριος. Καὶ ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραϐεϐηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σϐεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. Ἡσαΐ. ξϛ΄. 18, 22». Καὶ αὖθις περὶ τῆς ἡμέ-



ρας ἐκείνης λέγει. «Καὶ εἱλίσεται ὁ οὐρανὸς ὡς βιϐλίον, καὶ πάντα τὰ ἄστρα πεσοῦνται ὡς φύλλα ἐξ ἀμπέλου. Ἡσαΐ. λδ΄. 4». Ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς θεῖναι τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. Οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ, καὶ ὁ ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς αὐτῶν οὐ δώσουσι· καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος. καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς· καὶ ἀπολῶ ὕϐριν ἀνόμων καὶ ὕϐριν ὑπερηφάνων ταπεινώσω. Ἡσ. ιγ΄. 9». Καὶ πάλιν λέγει· «οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας. Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν, οἱ τιθέντες τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ. Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ δυνάσται, οἱ κιρνῶντες τὸ σίκερα· οἱ δικαιοῦντες τὸν ἀσεϐῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. Ἡσαΐ. έ. 18». Οἱ ἐκκλίνοντες κρίσιν πτωχῶν, καὶ ἁρπάζοντες κρίμα πενήτων, ὥστε εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγήν, καὶ ὀρφανὸν εἰς προνομήν. Καὶ τί ποιήσουσι τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; καὶ πρὸς τίνα καταφεύξονται τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλείψουσι τὴν δόξαν αὐτῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν; Ἡσαΐ. ί. 2. ὃν τρόπον γὰρ καυθήσεται καλάμη ὑπ᾽ ἄνθρακος πυρός, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναϐήσεται· οὐ γὰρ ἠθέλησαν τὸ ὄνομα Κυρίου Σαϐαώθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν. Ἡσ. έ. 24».

Τούτῳ συνᾴδων καὶ ἕτερος προφήτης, φησίν· «Ἐγγὺς ἡ ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχινὴ σφόδρα· φωνὴ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρὰ τέτακται· δυνατὴ ἡμέρα ὀργῆς, ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ταλαιπωρίας καὶ ἀφανισμοῦ, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης, ἡμέρα σάλπιγγος καὶ κραυγῆς. Καὶ ἐκθλίψω τοὺς πονηρούς, καὶ πορεύσονται ὡς τυφλοί. ὅτι τῷ Κυρίῳ ἐξήμαρτον· καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον οὐ μὴ δύναται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς Κυρίου· ἐν πυρὶ γὰρ ζήλου αὐτοῦ, καταναλωθήσεται πᾶσα ἡ γῆ· διότι συντέλειαν ποιήσει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Σοφ. ά. 14». Πρὸς τούτοις καὶ Δαϐὶδ ὁ προφήτης καὶ βασιλεύς, βοᾷ. «Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. Ψαλμ. μθ΄. 3». Καὶ αὖθις· «Ἀνάστα, φησίν, ὁ Θεὸς κρῖνον τὴν γῆν· ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι· καὶ σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ψαλμ.

www.tezaurliturgic.ro



πά. 8, οέ. 11, ξά. 13». Πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα ὅ,τε Ψαλμῳδός,
καὶ πάντες οἱ προφῆται τῷ θείῳ Πνεύματι μυηθέντες, περὶ τῆς μελ-
λούσης κρίσεως καὶ ἀνταποδόσεως ἐκήρυξαν· ὧν τοὺς λόγους καὶ ὁ
Σωτὴρ ἀσφαλέστατα βεβαιώσας, ἐδίδαξεν ἡμᾶς πιστεύειν ἀνάστασιν
νεκρῶν καὶ ἀνταπόδοσιν τῶν βεβιωμένων, καὶ ζωὴν ἀτελεύτητον τοῦ
μέλλοντος αἰῶνος.

Ὁ δὲ Ἰωάσαφ, κατανύξεως πολλῆς τὴν ψυχὴν πλησθεὶς ἐπὶ τού-
τοις, σύνδακρυς ὅλος ἦν· καί φησι πρὸς τὸν γέροντα· πάντα μοι σα-
φῶς ἐγνώρισας, καὶ ἀσφαλῶς διεξῆλθες τὴν φρικτὴν ταύτην καὶ θαυ-
μαστὴν διήγησιν. Τούτων οὖν προκειμένων ἡμῖν, τί χρὴ ποιεῖν τοῦ
ἐκφυγεῖν τὰς ἡτοιμασμένας τοῖς ἁμαρτωλοῖς κολάσεις, καὶ ἀξιωθῆ-
ναι τῆς χαρᾶς τῶν δικαίων; Ὁ δὲ Βαρλαὰμ ἀπεκρίνατο· γέγραπται,
ὅτι διδάσκοντός ποτε τοῦ Πέτρου τὸν λαόν, ὃς καὶ κορυφαῖος ἐκλήθη
τῶν Ἀποστόλων, κατενύγησαν τῇ καρδίᾳ καθάπερ δὴ καὶ σὺ σήμερον·
καὶ εἰπόντων αὐτῶν τί ποιήσωμεν, ὁ Πέτρος εἶπε πρὸς αὐτούς· «Με-
τανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ
λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος· ὑμῖν γάρ ἐστιν ἡ ἐπαγ-
γελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακράν, ὅσους ἂν
προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. Πράξ. Ἀποστ. β'. 38». Ἰδοὺ οὖν
καὶ ἐπὶ σὲ ἐξέχεε τὸ πλούσιον ἔλεος αὐτοῦ, καὶ προσεκαλέσατό σε τὸν
μακρὰν αὐτοῦ ὑπάρχοντα τῇ γνώμῃ, καὶ ἀλλοτρίοις λατρεύοντα οὐ
θεοῖς, ἀλλὰ δαίμοσιν ὀλεθρίοις, καὶ ξοάνοις κωφοῖς καὶ ἀναισθήτοις·
Διὸ πρὸ πάντων πρόσελθε τῷ κεκληκότι, παρ' οὗ λήψῃ τῶν ὁρω-
μένων καὶ τῶν ἀοράτων τὴν γνῶσιν· εἰ δὲ καὶ μετὰ τὸ κληθῆναι οὐ
θέλεις, ἢ βραδύνεις, δικαίᾳ Θεοῦ κρίσει ἀπόκληρος ἔσῃ, τῷ μὴ θελῆ-
σαι μὴ θεληθείς· οὕτω γὰρ καὶ ὁ αὐτὸς Ἀπόστολος Πέτρος πρός τινα
τῶν μαθητῶν λελάληκεν· ἐγὼ δὲ πιστεύω, ὅτι καὶ ὑπήκουσας τῆς κλή-
σεως, καὶ ἔτι τρανώτερον ὑπακούσας, ἀρεῖς τὸν σταυρόν, καὶ ἀκολου-
θήσεις τῷ καλοῦντί σε Θεῷ καὶ Δεσπότῃ, ὃς προσκαλεῖταί σε ἀπὸ
θανάτου πρὸς ζωήν, καὶ ἀπὸ σκότους εἰς φῶς· τῷ ὄντι γὰρ ἡ τοῦ
Θεοῦ ἄγνοια σκότος ἐστί, καὶ θάνατος ψυχῆς· καὶ τὸ δουλεύειν εἰδώ-
λοις ἐπ' ὀλέθρῳ τῆς φύσεως, πάσης μοι δοκεῖ εἶναι ἀναισθησίας καὶ
ἀφροσύνης ἐπέκεινα· οὓς τίνι ὁμοιώσω; καὶ ποταπήν σοι εἰκόνα τῆς
τούτων ἀβελτηρίας παραστήσω;

Ἀλλά σοι ὑπόδειγμα παραθήσω, παρά τινος ἀνδρὸς σοφωτάτου λε-
χθὲν πρός με· ἔλεγε γάρ, ὅτι ὅμοιοί εἰσιν οἱ τῶν εἰδώλων προσκυνη-
ταὶ ἰξευτῇ, ὃς κατέσχεν ἓν τῶν σμικροτάτων στρουθίων, ἀηδόνα
τοῦτο καλοῦσι· λαβὼν δὲ μάχαιραν τοῦ σφάξαι αὐτὸ καὶ φαγεῖν, ἐ-



δόθη τῇ ἀηδόνι φωνὴ ἔναρθρος, καί φησι πρὸς τὸν ἰξευτήν· τί σοι ὄ-
φελος, ἄνθρωπε, τῆς ἐμῆς σφαγῆς; οὐ δυνήσει γὰρ δι' ἐμοῦ τὴν σὴν
ἐμπλῆσαι γαστέρα· ἀλλ' εἰ με τῶν δεσμῶν ἐλευθερώσεις, δώσω σοι
ἐντολὰς τρεῖς, ἃς φυλάττων, μεγάλα παρ' ὅλην σου τὴν ζωὴν ὠφε-
ληθήσει. Ὁ δὲ θαμβηθεὶς τῇ ταύτης λαλιᾷ, ἐπηγγείλατο, εἰ καινόν
τι παρ' αὐτῆς ἀκούσειε, θᾶττον ἐλευθερῶσαι τῆς κατοχῆς. Ἐπιστρα-
φεῖσα δὲ ἡ ἀηδὼν λέγει τῷ ἀνθρώπῳ· μηδέποτέ τινος τῶν ἀνεφίκτων
ἐπιχειρήσῃς ἐφικέσθαι· καὶ μὴ μεταμελοῦ ἐπὶ πράγματι παρελθόντι·
καὶ ἄπιστον ῥῆμα μή ποτε πιστεύσῃς· ταύτας δὲ τὰς τρεῖς ἐντολὰς
φύλαττε, καὶ εὖ σοι γένηται. Ἀγάμενος δὲ ὁ ἀνὴρ τὸ εὐσύνοπτον καὶ
συνετὸν τῶν ῥημάτων, λύσας αὐτὴν τοῦ δεσμοῦ, κατὰ τοῦ ἀέρος ἐξα-
πέστειλεν. Ἡ οὖν ἀηδὼν, θέλουσα μαθεῖν, εἰ ἐπέγνω ὁ ἀνὴρ τῶν λε-
χθέντων αὐτῷ ῥημάτων, τὴν δύναμιν, καὶ εἰ ἐκαρπώσατό τινα ἐξ αὐ-
τῶν ὠφέλειαν, λέγει πρὸς αὐτὸν ἱπταμένη ἐν τῷ ἀέρι· φεῦ σου τῆς
ἀβουλίας, ἄνθρωπε! ὁποῖον θησαυρὸν σήμερον ἀπώλεσας! ὑπάρχει
γὰρ ἐν τοῖς ἐγκάτοις μου μαργαρίτης, ὑπερέχων τῷ μεγέθει στραθο-
καμήλου ὠόν.

Ὡς οὖν ἤκουσε ταῦτα ὁ ἰξευτής, συνεχύθη τῇ λύπῃ, μεταμελού-
μενος ὅτι ἐξέφυγεν ἡ ἀηδὼν ἐκείνη τὰς χεῖρας αὐτοῦ· καὶ πειρώμενος
αὖθις κατασχεῖν, εἶπε· δεῦρο ἐν τῷ οἴκῳ μου, καὶ φιλοφρονησάμενός
σε καλῶς, ἐντίμως ἐξαποστείλω. Ἡ δὲ ἀηδὼν ἔφη αὐτῷ· νῦν ἔγνων
ἰσχυρῶς ἀνοηταίνειν σε· δεξάμενος γὰρ τὰ λεχθέντα σοι, προθύμως καὶ
ἡδέως ἀκούσας, οὐδεμίαν ἐξ αὐτῶν ὠφέλειαν ἐπεκτήσω· εἶπόν σοι μὴ
μεταμελεῖσθαι ἐπὶ πράγματι παρελθόντι, καὶ ἰδοὺ συνεχύθης τῇ λύπῃ,
ὅτι σου τὰς χεῖρας ἐξέφυγον, μεταμελούμενος ἐπὶ πράγματι παρελ-
θόντι· ἐνετειλάμην σοι μὴ ἐπιχειρεῖν τῶν ἀνεφίκτων ἐφικέσθαι, καὶ
πειρᾷ κατασχεῖν με, μὴ δυνάμενος τῆς ἐμῆς ἐφικέσθαι πορείας· πρὸς
τούτοις δέ, καὶ ἄπιστον ῥῆμα μὴ πιστεύειν σε διεστειλάμην, ἀλλ' ἰδοὺ
ἐπίστευσας ὑπάρχειν ἐν τοῖς ἐγκάτοις μου μαργαρίτην, ὑπερβαίνοντα
τὸ μέτρον τῆς ἡλικίας μου, καὶ οὐκ ἐφρόνησας συνιέναι, ὅτι ὅλη ἐγὼ
οὐκ ἐφικνοῦμαι τῷ μεγέθει τῶν τοῦ στρουθοκαμήλου ὠῶν· καὶ πῶς
μαργαρίτην τοιοῦτον ἐχώρησα ἐν ἐμοί;

Οὕτως ἀνοηταίνουσι καὶ οἱ πεποιθότες ἐπὶ τοῖς εἰδώλοις· εἰργά-
σαντο ταῦτα ταῖς χερσὶν αὐτῶν, καὶ προσκυνοῦσιν ἃ ἐποίησαν οἱ δά-
κτυλοι αὐτῶν, λέγοντες· οὗτοι οἱ πλαστουργοὶ ἡμῶν· πῶς οὖν πλα-
στουργούς, τοὺς ὑπ' αὐτῶν δημιουργηθέντας καὶ διαπλασθέντας νο-
μίζουσιν; ἀλλὰ καὶ τηροῦντες αὐτὰ ἐν ἀσφαλείᾳ, τοῦ μὴ ὑπὸ κλε-
πτῶν συληθῆναι, φύλακας ἀποκαλοῦνται τῆς σφῶν σωτηρίας· καίτοι

www.tezaurliturgic.ro



γε πόσης ταῦτα ἀφροσύνης, τὸ μὴ γινώσκειν, ὅτι οὐκ ἐξαρκοῦντες ἑαυτοῖς βοηθεῖν, καὶ φυλάττειν, πῶς ἄλλοις γένοιντο φύλακες; «τί γάρ, φησίν, ἐκζητήσουσι περὶ τῶν ζώντων τοὺς νεκρούς; κατακενοῦσι χρήματα στήλας τοῖς δαίμοσι, καὶ ἀγάλματα ἐγεῖραι, καὶ φληναφοῦσιν ἀγαθῶν παρόχους αὐτοὺς ὑπάρχειν, αἰτοῦντες παρ᾽ αὐτῶν λαβεῖν, ἅπερ οὔτε πώποτε ἐκτήσαντο, οὔτε μὴν κτήσονται. Ἡσ. ή. 19». Διὸ γέγραπται· «ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς. Ψαλμ. ρλδ΄. 18». «οἵτινες, φησί, μισθωσάμενοι χρυσοχόον, ἐποίησαν χειροποίητα, καὶ κύψαντες προσκυνοῦσιν αὐτοῖς. Αἴρουσιν αὐτὰ ἐπὶ τῶν ὤμων, καὶ πορεύονται· ἐὰν δὲ θῶσιν αὐτὰ ἐπὶ τοῦ τόπου, μενεῖ ἐν αὐτῷ, οὐ μὴ κινηθῇ· καὶ ὅσα ἂν βοήσῃ πρὸς αὐτά, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν οὐ μὴ σώσῃ αὐτόν. Ἡσ. μς΄. 6. Διὸ αἰσχυνθήτωσαν αἰσχύνην οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς, ὑμεῖς ἐστε θεοὶ ἡμῶν· Ἡσ. μϐ΄. 17· ἔθυσαν γάρ, φησί, δαιμονίοις, καὶ οὐ Θεῷ, θεοῖς, οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ πρόσφατοι ἥκασιν· ὅτι γενεὰ ἐξεστραμμένη ἐστί, καὶ οὐκ ἔστι πίστις ἐν αὐτῇ. Δευτ. λϐ΄. 17.

Ἐκ ταύτης οὖν τῆς πονηρᾶς γενεᾶς καὶ ἀπίστου προσκαλεῖταί σε Κύριος, λέγων σοι· «Ἔξελθε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητι, καὶ ἀκαθάρτου μὴ ἅψῃ. Ἡσ. νϐ΄. 11. ἀλλὰ σώθητι ἀπὸ τῆς γενεᾶς ταύτης τῆς σκολιᾶς· Πράξ. Ἀποστ. β΄. 40· ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις. Μιχ. β΄. 10»· ἡ γὰρ πολυαρχία τῶν παρ᾽ ὑμῖν θεῶν καὶ ἄτακτον, καὶ στασιῶδες, καὶ παντελῶς ἀνύπαρκτον· ἡμῖν δὲ οὐχὶ οὕτως ἐστίν, οὐδὲ πολλοὶ θεοὶ καὶ κύριοι· ἀλλ᾽ εἷς Θεὸς ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι᾽ οὗ τὰ πάντα, καὶ ἡμεῖς δι᾽ αὐτοῦ· ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος ἁπάσης τῆς κτίσεως, καὶ πάντων τῶν αἰώνων· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς· τὰ ὁρατά, καὶ τὰ ἀόρατα· εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ πάντα δι᾽ αὐτοῦ ἐγένοντο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονε· καὶ ἓν Πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα· τὸ κύριον, καὶ ζωοποιόν· Θεός, καὶ θεοποιοῦν. Πνεῦμα ἀγαθόν. Πνεῦμα εὐθές. Πνεῦμα παράκλητον. Πνεῦμα υἱοθεσίας. Τούτων, Θεὸς μὲν ἕκαστον καθ᾽ ἑαυτὸ θεωρούμενον· ὡς ὁ Πατήρ, καὶ ὁ Υἱός· καὶ ὡς ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· εἷς δὲ Θεὸς ἐν τρισί· μία φύσις, μία βασιλεία, μία δύναμις, μία δόξα, μία οὐσία, διαιρετὴ ταῖς ὑποστάσεσι καὶ μόνον· εἷς γὰρ ὁ Πατήρ, ᾧ καὶ ἴδιον ἡ ἀγεννησία· εἷς δὲ ὁ μονογενὴς Υἱός, καὶ ἴδιον αὐτῷ ἡ γέννησις· ἓν δὲ τὸ ἅγιον Πνεῦμα, καὶ ἴδιον



αὐτῷ ἡ ἐκπόρευσις· οὕτω γὰρ ἡμεῖς ἐκ φωτὸς τοῦ Πατρός, φῶς εἰδότες τὸν Υἱόν, ἐν φωτὶ τῷ ἁγίῳ Πνεύματι ἁγιαζόμεθα· ἐν τρισὶν ὑποστάσεσι, μίαν δοξάζοντες θεότητα· καὶ αὐτός ἐστιν ἀληθὴς καὶ μόνος Θεός, ὁ ἐν Τριάδι γινωσκόμενος· ὅτι ἐξ αὐτοῦ, καὶ δι᾽ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα.

Τούτου τῇ χάριτι κἀγὼ τὰ κατὰ σὲ γνούς, ἀπεστάλην διδάξαι σε ἃ μεμάθηκα, καὶ τετήρηκα ἐξ ἀρχῆς εἰς τήνδε τὴν πολιάν· εἰ οὖν πιστεύσεις, καὶ βαπτισθῇς σωθήσῃ· εἰ δὲ ἀπιστήσεις, κατακριθήσῃ· ταῦτα γὰρ ἃ σήμερον ὁρᾷς, καὶ οἷς σεμνύνῃ, ἥ τε δόξα, καὶ ἡ τρυφή, καὶ ὁ πλοῦτος, καὶ πᾶσα ἡ τοῦ βίου ἀπάτη, ὅσον οὔπω παρέρχεται· ἐκβαλοῦσι δέ σε, καὶ μὴ βουλόμενον, ἐντεῦθεν· καὶ τὸ μὲν σῶμα κατακλεισθήσεται σμικροτάτῳ μνήματι, μονώτατον καταλειφθέν, πάσης τε ἀποστερηθὲν φίλων τε καὶ συγγενῶν ἑταιρείας, οἰχήσεται, τὰ δὲ τερπνὰ τοῦ κόσμου πολλὴ ἀηδία, καὶ δυσώδης φθορά, ἀντὶ τῆς νυνὶ καλλονῆς, καὶ εὐοσμίας, περιχυθήσεται· τὴν δὲ ψυχήν σου βαλοῦσιν ἐν τοῖς καταχθονίοις τῆς γῆς, ἐν τῇ καταδίκῃ τοῦ ᾅδου, ἕως τῆς τελευταίας ἀναστάσεως· ἡνίκα πάλιν ἀπολαβοῦσα ἡ ψυχὴ τὸ ἑαυτῆς σῶμα, ἐκριφήσεται ἀπὸ προσώπου Κυρίου, καὶ παραδοθήσεται πυρὶ γεέννης, ἀτελεύτητα φλογιζούσης. Ταῦτά σοι συμβήσεται, καὶ πολλῷ τούτων χείρονα, εἰ ἐμμείνῃς τῇ ἀπιστίᾳ· εἰ δὲ προθύμως ὑπακούσεις τῷ καλοῦντί σε εἰς σωτηρίαν, καὶ προσδραμὼν αὐτῷ πόθῳ, καὶ χαρᾷ, τῷ φωτὶ αὐτοῦ σημειωθήσῃ, καὶ ἀμεταστρεπτὶ αὐτῷ ἀκολουθήσεις, πάντα μὲν ἀπαρνησάμενος, αὐτῷ δὲ μόνῳ κεκολλημένος, ὁποίας τεύξῃ ἀσφαλείας, καὶ εὐφροσύνης, ἄκουσον· «ἐὰν κάθῃ, ἄφοβος ἔσῃ, ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις· καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσάν σοι, οὐδὲ ὁρμὰς τῶν ἀσεβῶν δαιμόνων ἐπερχομένας (Παρ. γ΄. 25)· ἀλλὰ πορεύσῃ πεποιθὼς ὡς λέων, καὶ ζήσῃ μετ᾽ εὐφροσύνης καὶ ἀγαλλιάματος αἰωνίου (Παρ. κή. 1)· ἐπὶ γὰρ τῆς κεφαλῆς σου ἀγαλλίασις, καὶ αἴνεσις, καὶ εὐφροσύνη καταλήψεταί σε, ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός (Ἡσ νά. 11)· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰσακούσεταί σου, ἔτι γὰρ λαλοῦντός σου, ἐρεῖ· ἰδοὺ πάρειμι (Ἡσ. νή. 8)· ἐγὼ γάρ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι. Σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν· λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι σου ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα» (Ἡσ. μγ΄. 25 ά. 18).

www.tezaurliturgic.ro



Λέγει πρὸς αὐτὸν ὁ Ἰωάσαφ· πάντα σου τὰ ῥήματα καλὰ καὶ θαυμαστά εἰσι· κἀγὼ ἐπίστευσα καὶ πιστεύω, πᾶσαν εἰδωλολατρείαν ἀπὸ καρδίας μισήσας· καὶ πρὸ τοῦ εἰσελθεῖν γάρ σε πρός με, πλαγίως πως, καὶ διστάζουσα πρὸς ταῦτα διέκειτό μου ἡ ψυχή· νυνὶ δὲ τέλειον μῖσος ἐμίσησα, μαθὼν παρὰ σοῦ τὴν ματαιότητα τούτων, καὶ τὴν ἀφροσύνην τῶν αὐτοῖς λατρευόντων· ποθῶ δὲ τοῦ ἀληθινοῦ Θεοῦ δοῦλος γενέσθαι, εἴπερ οὐκ ἀπώσεταί με τὸν ἀνάξιον διὰ τὰς ἐμὰς ἀνομίας, ἀλλὰ συγχωρήσει μοι πάντα, φιλάνθρωπος ὤν, καὶ εὔσπλαγχνος, καθὰ διδάσκεις. Ἤδη οὖν ἑτοίμως ἔχω καὶ τὸ βάπτισμα δέξασθαι, καὶ πάντα ὅσα εἴπῃς μοι, φυλάξαι. Τί δὲ χρή με ποιεῖν μετὰ τὸ βαπτισθῆναι, καὶ εἰ ἀρκεῖ τοῦτο μόνον πρὸς σωτηρίαν τὸ πιστεῦσαι καὶ βαπτισθῆναι, ἢ καὶ ἄλλα τινὰ δεῖ προστιθέναι; Καί φησι πρὸς αὐτὸν ὁ Βαρλαάμ· ἄκουσον τί δεῖ ποιεῖν μετὰ τὸ βάπτισμα· πάσης μὲν ἁμαρτίας, καὶ παντὸς πάθους ἀπέχεσθαι, ἐποικοδομεῖν δὲ ἐπὶ τῷ θεμελίῳ τῆς ὀρθοδόξου πίστεως τὴν τῶν ἀρετῶν ἐργασίαν· ἐπειδὴ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν, ὥσπερ καὶ ἔργα δίχα πίστεως· φησὶ γὰρ ὁ Ἀπόστολος· «ἐν Πνεύματι Θεοῦ περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, φιλαργυρίαι, λοιδορίαι, φιληδονίαι, μέθαι, κῶμοι, ὑπερηφανεῖαι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν· ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια» (Γαλ. έ. 15)· ἁγιασμὸς ψυχῆς τε καὶ σώματος, ταπείνωσις καρδίας, καὶ συντριβή, ἐλεημοσύνη, ἀμνησικακία, φιλανθρωπία, ἀγρυπνία, μετάνοια ἀκριβὴς πάντων τῶν γεγονότων πταισμάτων, δάκρυον κατανύξεως, πένθος ὑπέρ τε τῶν ἰδίων ἁμαρτημάτων, καὶ τῶν τοῦ πλησίον, καὶ τὰ τούτοις ὅμοια· ἅτινα ὥσπερ τινὲς βαθμίδες καὶ κλίμακες ἀλλήλων ἐχόμεναι, καὶ ὑπ' ἀλλήλων συγκροτούμεναι, εἰς οὐρανὸν τὴν ψυχὴν ἀναφέρουσιν.

Ἰδοὺ τούτων ἐντετάλμεθα μετὰ τὸ βάπτισμα λίαν ἀντέχεσθαι, καὶ τηρεῖν, τῶν δὲ ἐναντίων ἀπέχεσθαι· εἰ δὲ μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, τῶν προτέρων αὖθις ἐπιληψόμεθα νεκρῶν ἔργων, καὶ ὡς κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέψομεν, συμβήσεται ἡμῖν τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· «ὅταν γάρ, φησί, τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου (τῇ χάριτι δηλ. τοῦ βαπτίσματος), διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει· μὴ φέρον δὲ ἐπὶ πολὺ ἄοικον καὶ ἀνέστιον περιπλανᾶσθαι, λέγει· ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. Καὶ ἐλθόν, εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον» (Ματθ ιβ'. 43)· κενὸν δὲ καὶ σχολάζοντα, μὴ ὑποδεξάμενον τὴν ἐργασίαν τῆς χάριτος, μηδὲ πληρώσαντα ἑαυτὸν τῷ πλούτῳ τῶν ἀρετῶν. «Τότε πορεύεται καὶ λαμβάνει μεθ' ἑαυτοῦ ἕτερα ἑπτὰ πνεύματα, πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων» (Ματθ. ιβ'. 45)· τὸ γὰρ βάπτισμα, τῶν μὲν προημαρτημένων πάντων τὰ χειρόγραφα τῷ ὕδατι ἐνθάπτον, παντελεῖ ἀφανισμῷ παραδίδωσι· καὶ εἰς τὸ ἑξῆς δὲ τεῖχος ἡμῖν ἐστὶν ἀσφαλές, καὶ προπύργιον, καὶ ὅπλον κραταιὸν εἰς τὴν τοῦ ἐχθροῦ παράταξιν· οὐ μὴν δὲ ἀναιρεῖ τὸ αὐτεξούσιον, οὔτε τῶν μετὰ τὸ βάπτισμα ἁμαρτανομένων ἔχει συγχώρησιν, οὔτε δευτέρας κολυμβήθρας κατάδυσιν· ἓν γὰρ ὁμολογοῦμεν βάπτισμα· καὶ χρὴ πάσῃ φυλακῇ τηρεῖν ἑαυτοὺς μὴ δευτέροις ἐμπεσεῖν μολυσμοῖς, ἀλλὰ τῶν ἐντολῶν ἐπιλαβέσθαι τοῦ Κυρίου· εἰπὼν γὰρ πρὸς τοὺς Ἀποστόλους· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν» (Ματθ. κή. 19)· ἐνετείλατο πτωχοὺς εἶναι τῷ πνεύματι, οὓς καὶ μακαρίζει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξίους ἀποκαλεῖται.[1]

Εἶτα πενθεῖν ἐν τῷ παρόντι ὑποτίθεται βίῳ, ἵνα τῆς μελλούσης παρακλήσεως ἀξιωθῶσι· πραεῖς τε εἶναι, καὶ ἀεὶ πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην· ἐλεήμονάς τε καὶ εὐμεταδότους· οἰκτίρμονάς τε καὶ συμπαθεῖς· καθαροὺς τῇ καρδίᾳ, ἀπεχομένους ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· εἰρηνοποιοὺς πρός τε τοὺς πλησίον, καὶ πρὸς τὴν ἑαυτῶν ψυχήν· ὑποτάξαντας δηλονότι τὸ χεῖρον τῷ κρείττονι, καὶ τὸν μεταξὺ αὐτῶν διηνεκῆ πόλεμον ὀρθῇ κρίσει εἰρηνοποιήσαντας· ὑπομένειν τε πάντα διωγμόν, καὶ πᾶσαν θλίψιν, καὶ ὀνειδισμὸν ἕνεκεν δικαιοσύνης, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἡμῖν ἐπαγόμενον, ἵνα τῆς αἰωνίου χαρᾶς ἐν τῇ λαμπρᾷ διανομῇ τῶν δώρων ἀξιωθῶμεν· Ἀλλὰ καὶ ἐν τῷ κόσμῳ οὕτω παρακελεύεται «λάμπειν τὸ φῶς ἡμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι, φησί, τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς» (Ματθ. έ. 16)· ὁ μὲν γὰρ τοῦ Μωϋσέως νόμος, ὁ πάλαι δοθεὶς τοῖς Ἰσραηλίταις, «οὐ φο-

[1] Τοὺς ἐννέα μακαρισμοὺς τοῦ Κυρίου καταλέγει ἐνταῦθα ὁ Πατήρ.

www.tezaurliturgic.ro



νεύσεις, λέγει, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις» (Ἔ-
ξοδ. κ΄. 13)· ὁ δὲ Χριστός φησιν, «ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ
αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται
εἰς τὴν γέενναν τοῦ πυρός». Καὶ ὅτι· «Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ
τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ,
ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν
διαλλάγηθι τῷ ἀδελφῷ σου» (Ματθ. ἐ. 22). Καὶ ὅτι· «Πᾶς ὁ ἐμβλέ
ψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ
αὐτοῦ» (Ματθ. ἐ. 28). Τὸν μολυσμὸν τῆς ψυχῆς, καὶ τὴν τοῦ πάθους
συγκατάθεσιν, μοιχείαν καλέσας.

Ἀλλὰ καὶ τοῦ νόμου τὴν ἐπιορκίαν κωλύοντος, ὁ Χριστὸς οὐδὲ ὅ-
λως ὀμνύειν, πλὴν τοῦ ναί, καὶ τοῦ οὔ, ἐνετείλατο «Ὀφθαλμὸν ἀντὶ
ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκεῖ», ἐνταῦθα δέ, «Ὅστις σε ῥα-
πίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ, φησί, καὶ τὴν ἄλλην·
καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ
καὶ τὸ ἱμάτιον. Καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ
δύο. Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι, μὴ
ἀποστραφῇς. Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρω-
μένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε
ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, καὶ διωκόντων ὑμᾶς· ὅπως γένησθε
υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνα-
τέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδί-
κους (Ματθ. ἐ. 37) καὶ ἐφεξῆς. Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· ἄφετε,
καὶ ἀφεθήσεται ὑμῖν (Ματθ. ζ΄. 1). Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ
τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι
καὶ κλέπτουσιν. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ
καρδία ὑμῶν. Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγετε, καὶ τί πίετε·
μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐ-
ράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων» (Ματθ. ς΄. 19, 32).

Ὁ οὖν τὴν ψυχὴν δούς, καὶ τὸ σῶμα, δώσει πάντως καὶ τροφήν,
καὶ ἔνδυμα, ὁ τὰ πετεινὰ τοῦ οὐρανοῦ τρέφων, καὶ τὰ κρίνα τοῦ ἀ-
γροῦ κοσμῶν τοιαύτῃ ὡραιότητι. «Ζητεῖτε δέ, φησί, πρῶτον τὴν βα-
σιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προσ-
τεθήσεται ὑμῖν. Μὴ μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον τὰ ἑ-
αυτῆς μεριμνήσει· Ματθ. ς΄. 33· πάντα ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑ-
μῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Εἰσέλθετε διὰ τῆς
στενῆς πύλης· ὅτι πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδός, ἡ ἀπάγουσα εἰς
τὴν ἀπώλειαν· καὶ στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα



εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν (Ματθ. ζ΄. 12).
Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν
τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρα-
νοῖς (Αὐτόθι 21). Ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου
ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω
μου οὐκ ἔστι μου ἄξιος» (Ματθ. ἰ. 37). Ἰδοὺ ταῦτα καὶ τὰ τούτοις
ὅμοια ἐνετείλατο ὁ Σωτὴρ τοῖς Ἀποστόλοις διδάσκειν τοὺς πιστούς.
Καὶ ταῦτα πάντα ὀφείλομεν φυλάττειν, εἴπερ ποθοῦμεν τῆς τελειό-
τητος ἐπιτυχεῖν, καὶ τῶν ἀφθάρτων στεφάνων ἀξιωθῆναι τῆς δικαιο-
σύνης, οὓς ἀποδώσει ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής,
πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

Λέγει ὁ Ἰωάσαφ πρὸς τὸν γέροντα· ταύτης οὖν τῆς ἀκριβείας χρῃ-
ζούσης τὴν ἀκραιφνῆ ταύτην πολιτείαν, ἐὰν μετὰ τὸ βάπτισμα συμβῇ
με μιᾶς, ἢ δύο τῶν ἐντολῶν τούτων διαμαρτεῖν, ἄρα διαμαρτάνων ἔ-
σομαι ὅλου τοῦ σκοποῦ, καὶ ματαία ἔσται πᾶσα ἐλπίς; Ὁ δὲ Βαρλαὰμ
ἔφη· μὴ οὕτως ὑπολάμβανε ταῦτα· ὁ γὰρ ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡ-
μῶν ἐνανθρωπήσας Θεὸς Λόγος, εἰδὼς τὴν πολλὴν ἀσθένειαν καὶ τα-
λαιπωρίαν τῆς φύσεως ἡμῶν, οὐδὲ ἐν τούτῳ τῷ μέρει ἀφῆκεν ἡμᾶς
ἀνιάτρευτα νοσεῖν· ἀλλ' ὡς πάνσοφος ἰατρός, τῇ ὀλισθηρᾷ ἡμῶν καὶ
φιλαμαρτήμονι γνώμῃ συνέμιξε τὸ φάρμακον τῆς μετανοίας, κηρύξας
ταύτην εἰς ἄφεσιν ἁμαρτιῶν· μετὰ γὰρ τὸ λαβεῖν ἡμᾶς τὴν ἐπίγνωσιν
τῆς ἀληθείας, καὶ ἁγιασθῆναι δι' ὕδατος καὶ Πνεύματος, πάσης τε ἁ-
μαρτίας, καὶ παντὸς ῥύπου ἀμογητὶ καθαρθῆναι, ἐὰν συμβῇ ἔν τισι
παραπτώμασιν ἁμαρτημάτων ἡμᾶς ἐμπεσεῖν, οὐκ ἔστι μὲν διὰ βαπτί-
σματος δευτέρα ἀναγέννησις, ἐν ὕδατι τῆς κολυμβήθρας διὰ τοῦ Πνεύ-
ματος ἐγγινομένη, καὶ τελείως ἡμᾶς ἀναχωνεύουσα· (τοῦτο γὰρ τὸ
δώρημα ἅπαξ δέδοται)· ἀλλὰ διὰ μετανοίας ἐμπόνου, καὶ δακρύων
θερμῶν, κόπων τε καὶ ἱδρώτων, γίνεται καθαρισμός, καὶ συγχώρησις
τῶν πταισμάτων, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν· βάπτισμα γὰρ ἐ-
κλήθη καὶ ἡ τῶν δακρύων πηγή, κατὰ χάριν τοῦ Δεσπότου, ἀλλὰ πό-
νου, καὶ χρόνου δεόμενον· καὶ πολλοὺς τῶν πολλῶν διεσώσατο πται-
σμάτων, καθότι οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν τοῦ Θεοῦ φιλανθρω-
πίαν, εἴπερ φθάσομεν μετονοῆσαι, καὶ δάκρυσι τὸ τῶν πταισμάτων
αἶσχος ἀπονίψασθαι, καὶ μὴ προλαβὼν ὁ θάνατος, ῥερυπωμένους ἡ-
μᾶς ἐκβαλεῖ τῶν ἐντεῦθεν· οὐκ ἔστι γὰρ ἐν τῷ ᾅδῃ μετάνοια, καὶ ἐξο-
μολόγησις· ἕως δὲ ἐν τοῖς ζῶσιν ὦμεν, τοῦ θεμελίου τῆς ὀρθοδόξου
πίστεως ἀρραγοῦς διαμένοντος, κἄν τι τῆς δοκώσεως, ἢ τῆς ἐνδομή-
σεως παραλυθῇ, ἔξεστι τὸ σαθρωθὲν τοῖς πταίσμασι, τῇ μετανοίᾳ αὖ-

www.tezaurliturgic.ro



θις ἀνακαινίσαι· πλῆθος γὰρ οἰκτιρμῶν Θεοῦ ἀριθμῆσαι, καὶ μέγεθος ἐλέους αὐτοῦ μετρῆσαι ἀδύνατον· ἁμαρτήματα δέ, οἷά περ ἂν ὦσι, καὶ πταίσματα, μέτρῳ ὑπόκεινται, καὶ ἀριθμητὰ εἶναι συμβαίνει.

Τὰ οὖν μέτρῳ καὶ ἀριθμῷ ὑποκείμενα πταίσματα ἡμῶν, τὸ ἀμέτρητον ἔλεος, καὶ τοὺς ἀναριθμήτους οἰκτιρμοὺς τοῦ Θεοῦ νικῆσαι οὐ δύνανται· διὸ οὐ προσετάχθημεν ἐπὶ τοῖς ἡμαρτημένοις ἀπογινώσκειν, ἀλλ' ἐπιγινώσκειν τὴν ἀγοθότητα τοῦ Θεοῦ, καὶ καταγινώσκειν τῶν ἁμαρτημάτων, ὧν ἡ ἄφεσις πρόκειται διὰ φιλανθρωπίας τοῦ Χριστοῦ, ὃς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τὸ ἴδιον ἐξέχεεν αἷμα. Πολλαχόθεν δὲ τῆς Γραφῆς διδασκόμεθα τὴν δύναμιν τῆς μετανοίας, καὶ μάλιστα ἐκ τῶν προσταγμάτων, καὶ παραβολῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. «Ἀπὸ τότε γάρ, φησίν, ὁ Ἰησοῦς ἤρξατο διδάσκειν, καὶ λέγειν· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν» (Ματθ. δ'. 17). Ἀλλὰ καὶ ἐν παραβολῇ υἱόν τινα εἰσηγεῖται, λαβόντα τὴν τοῦ πατρὸς οὐσίαν, καὶ εἰς χώραν ἀποδημήσαντα μακράν, κἀκεῖ ἐν ἀσωτίᾳ πᾶσαν καταναλώσαντα· εἶτα λιμοῦ κατὰ τὴν χώραν ἐκείνην γενομένου, ἀπελθόντα καὶ κολληθέντα ἑνὶ τῶν πολιτῶν τῆς πολυαμαρτήτου χώρας ἐκείνης, ὃς καὶ ἔπεμψεν αὐτόν, φησίν, εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν τοὺς χοίρους· τὴν τραχυτάτην καὶ βδελυρὰν οὕτω καλέσας ἁμαρτίαν. Πολλὰ οὖν μογήσας, καὶ εἰς ἐσχάτην ἐληλακὼς ταλαιπωρίαν, ὡς μηδὲ τῆς βρομώδους τῶν χοίρων τροφῆς τὴν ἰδίαν ἰσχύειν ἐμπλῆσαι γαστέρα, εἰς συναίσθησιν ὀψέποτε ἐλθὼν τῆς τοιαύτης αἰσχύνης, θρηνῶν ἑαυτόν, ἔλεγε· «πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Και ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ· ὁ δὲ πόῤῥωθεν ἰδὼν αὐτόν, εὐσπλαγχνίσθη, καὶ προσδραμών, ἐνηγκαλίσατο, καὶ συμπαθῶς κατεφίλησε, καὶ τῆς προτέρας ἀξιώσας τιμῆς, ἑορτὴν χαρμόσυνον ἐπὶ τῇ εὑρέσει αὐτοῦ ἐποιήσατο, θύσας τὸν μόσχον τὸν σιτευτόν» (Λουκ. ιέ. 17). Ἰδοὺ ταύτην τὴν παραβολὴν περὶ τῶν ἐξ ἁμαρτιῶν ὑποστρεφόντων, καὶ ἐν μετανοίᾳ προσπιπτόντων, ἡμῖν ἐξηγήσατο.

Ἀλλὰ καὶ ποιμένα τινὰ ἀγαθὸν αὖθις δηλοῖ, ἑκατὸν ἐσχηκότα πρόβατα· καὶ τοῦ ἑνὸς ἀπολωλότος, καταλιπὼν τὰ ἐννενήκοντα ἐννέα, ἐπὶ ζήτησιν τοῦ ἑνὸς ἐξελθεῖν, ἕως εὑρεῖν αὐτό, καὶ τοῖς ὤμοις ἀναλαβών, τοῖς ἀπλανέσι συγκατέμιξε, συγκαλέσας τοὺς φίλους καὶ γείτονας εἰς εὐωχίαν ἐν τῇ τούτου εὑρέσει. Οὕτω γάρ φησιν ὁ Σωτήρ· «χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας» (Λουκ. ιέ. 7). Ἀμέλει καὶ ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος, ἡ τῆς πίστεως πέτρα, κατ' αὐτὸν τὸν καιρὸν τοῦ σωτηρίου πάθους πρὸς μικρὸν ἐγκαταλειφθεὶς οἰκονομικῇ τινι ἐγκαταλείψει, ὡς ἂν γνῶ τῆς ἀνθρωπίνης ἀσθενείας τὸ εὐτελὲς καὶ ταλαίπωρον, ἀρνήσεως περιπέπτωκεν ἐγκλήματι· ὅστις εὐθὺς τῶν τοῦ Κυρίου ῥημάτων μνησθείς, ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς· καὶ τοῖς θερμοῖς ἐκείνοις δάκρυσι τὴν ἧτταν ἀνακαλεσάμενος, ἑτεραλκέα τὴν νίκην εἰργάσατο· ἐμπειροπόλεμος γὰρ ὤν, εἰ καὶ πέπτωκεν, ἀλλ' οὐκ ἐξελύθη, οὐδ' ἀπέγνω ἑαυτοῦ, ἀλλ' ἀναπηδήσας, προσήγαγε θερμότατα δάκρυα, ἀπὸ καρδίας θλιβόμενος· καὶ παραυτίκα ὁ πολέμιος θεασάμενος, ἀπεπήδησε φεύγων μακράν, καὶ δεινῶς ὀλολύζων· ὁ δὲ κορυφαῖος, κορυφαῖος αὖθις ἦν· ὥσπερ διδάσκαλος τῆς οἰκουμένης χειροτονηθείς, οὕτω δὴ καὶ μετανοίας ὑπογραμμὸς γενόμενος· μετὰ δὲ τὴν θείαν ἔγερσιν τρίτον προσειπὼν ὁ Χριστός· «Πέτρε, φιλεῖς με, τὸ τρισσὸν τῆς ἀρνήσεως διωρθώσατο, τοῦ Ἀποστόλου ἀποκρινομένου, ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε» (Ἰω. κά. 15).

Ἐκ πάντων οὖν τούτων, καὶ ἄλλων πολλῶν, καὶ ἀριθμοῦ ὑπερκειμένων παραδειγμάτων, μανθάνομεν τὴν δύναμιν τῶν δακρύων, καὶ τῆς μετανοίας· μόνον ὁ τρόπος ταύτης ἀξιόλογος γενέσθω, ἐκ διαθέσεως βδελυσσομένης τὴν ἁμαρτίαν· μισούσης τε ταύτην, καὶ καταγινωσκούσης· δάκρυσι δὲ κεχρημένης, καθὼς φησιν ὁ προφήτης Δαβίδ· «ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω» (Ψαλμ. ς'. 7). Καὶ λοιπὸν ὁ καθαρισμὸς τῶν ἁμαρτημάτων γενήσεται διὰ τοῦ αἵματος τοῦ Χριστοῦ, ἐν τῷ μεγέθει τοῦ ἐλέους αὐτοῦ, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, εἰπόντος· ὅτι «ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ» (Ἡσ. ά. 18). Ταῦτα μὲν οὕτως ἔχει, καὶ οὕτω πιστεύομεν. Χρὴ δὲ μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ τῆς ἀναγεννήσεως καὶ υἱοθεσίας ἀξιωθῆναι, καὶ μυστηρίων γεύσασθαι θείων, πάσῃ δυνάμει ἀσφαλίζεσθαι τοῦ μὴ πίπτειν· τὸ γὰρ πίπτειν, οὐ πρέπει τῷ ἀθλητῇ· ἐπειδὴ πολλοὶ πεσόντες, ἀναστῆναι οὐκ ἠδυνήθησαν· οἱ μέν, τοῖς πάθεσι θύραν ἀνοίξαντες, καὶ δυσαποσπάστως αὐτοῖς προσμείναντες, οὐκέτι ἴσχυσαν πρὸς μετάνοιαν παλινδρομῆσαι· οἱ δέ, προαναρπασθέντες ὑπὸ τοῦ θανάτου, καὶ μὴ φθάσαντες διὰ μεταγνώσεως ἑαυτοὺς τοῦ ῥύπου τῆς ἁμαρτίας ἐκπλῦναι, κατεδικάσθησαν· καὶ διὰ τοῦτο ἐπικίνδυνον τὸ πίπτειν ἐν οἱῳδήποτε πάθει. Ἐὰν δὲ συμβῇ πε-

www.tezaurliturgic.ro



σεῖν, εὐθὺς ἀναπηδῆσαι χρή, καὶ στῆναι πάλιν εἰς τὸν καλὸν ἀγῶνα· καὶ ὁσάκις ἂν τοῦτο συμβῇ, κἀκεῖνο αὐτίκα ἔστω, τὸ τῆς ἐγέρσεως, καὶ στάσεως ἕως τῆς τελευτῆς· «Ἐπιστράφητε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος» (Μαλ. γ΄. 7).

Πρὸς ταῦτα ὁ Ἰωάσαφ εἶπε· πῶς οὖν ἑαυτόν τις φυλάξει μετὰ τὸ βάπτισμα καθαρὸν ἀπὸ πάσης ἁμαρτίας; κἂν γάρ ἐστιν, ὡς λέγεις, τοῖς πταίουσι μετάνοια, ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ, πόνῳ τε καὶ κλαυθμῷ, καὶ πένθει, ἅπερ οὐκ εὐκατόρθωτα τοῖς πολλοῖς εἶναί μοι δοκεῖ· ἀλλὰ μᾶλλον ἤθελον ὁδὸν εὑρεῖν, τοῦ φυλάττειν ἀκριβῶς τὰ προστάγματα τοῦ Θεοῦ, καὶ μὴ ἐκκλῖναι ἀπ᾽ αὐτῶν· μηδὲ μετὰ τὴν συγχώρησιν τῶν προτέρων κακῶν παροργίζειν αὖθις τὸν γλυκύτατον Δεσπότην καὶ Θεὸν ἡμῶν. Ὁ δὲ Βαρλαὰμ ἔφη· καλῶς εἶπας ταῦτα, κύριέ μου, καὶ βασιλεῦ· τοῦτο καὶ ἐμοὶ καταθύμιον ὑπάρχει, ἀλλ᾽ ἐργῶδές ἐστι, καὶ κομιδῇ ἀδύνατον τῷ πυρὶ συναναστρεφόμενόν τινα, μὴ καπνίζεσθαι· δυσκατόρθωτον οὖν, καὶ λίαν ἄναντες, τοῖς τοῦ βίου πράγμασι, καὶ ταῖς αὐτοῦ ἀσχολούμενον μερίμναις, καὶ ταραχαῖς, πλούτῳ τε καὶ τρυφῇ συζῶντα, ἀκλινῶς βαδίζειν τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Κυρίου· «οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεσθαι, τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ» (Ματθ. ς΄. 24. Λουκ. ις΄. 13). Γράφει δὲ καὶ ὁ ἠγαπημένος αὐτοῦ μαθητὴς Ἰωάννης ὁ εὐαγγελιστὴς καὶ θεολόγος ἐν τῇ κατ᾽ αὐτὸν ἐπιστολῇ, οὕτω· «Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκός, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρός, ἀλλ᾽ ἐκ τοῦ κόσμου ἐστί· καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, μένει εἰς τὸν αἰῶνα» (Α΄. Ἰωάν. β΄. 15).

Ταῦτα οὖν οἱ θεῖοι καὶ θεοφόροι πατέρες ἡμῶν κατανοήσαντες, καὶ τοῦ Ἀποστόλου ἀκούσαντες «ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εις τὴν βασιλείαν τῶν οὐρανῶν» (Πράξ. ιδ΄. 22)· ἔσπευσαν μετὰ τὸ ἅγιον βάπτισμα ἄμωμον καὶ ἀκηλίδωτον τὸ τῆς ἀφθαρσίας διατηρῆσαι ἔνδυμα. Ὅθεν οἱ μὲν αὐτῶν καὶ ἕτερον προσέθεντο βάπτισμα προσλαβέσθαι, τὸ δι᾽ αἵματος, φημί, καὶ μαρτυρίου· βάπτισμα γὰρ καὶ τοῦτο ὠνόμασται, καὶ πάνυ γε τιμιώτατον καὶ αἰδεσιμώτατον· δευτέροις γὰρ οὐ μολύνεται ἁμαρτιῶν μολυσμοῖς· ὅπερ καὶ ὁ Κύριος ὑπὲρ ἡμῶν καταδεξάμενος, βάπτισμα εἰκότως ἐκάλεσεν. Ἐντεῦθεν αὐτοῦ μιμηταὶ καὶ ζηλωταὶ γενόμενοι, πρότερον μὲν οἱ αὐτόπται αὐτοῦ



καὶ μαθηταὶ καὶ Ἀπόστολοι· ἔπειτα δὲ καὶ πᾶς ὁ τῶν ἁγίων μαρτύρων χορός, τοῖς θεραπευταῖς τῶν εἰδώλων, καὶ βασιλεῦσι, καὶ τυράννοις ἑαυτοὺς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐκδόντες, πᾶν εἶδος κολαστηρίων ὑπέμειναν, θηρίοις προσομιλήσαντες, καὶ πυρί, καὶ ξίφεσι· καὶ τὴν καλὴν ὁμολογήσαντες ὁμολογίαν, καὶ τὸν δρόμον τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, τῶν τῆς δικαιοσύνης ἐπέτυχον βραβείων, τῶν Ἀγγέλων ὁμοδίαιτοι, καὶ τοῦ Χριστοῦ συγκληρονόμοι γενόμενοι· ὧν ἡ ἀρετὴ τοσοῦτον ἔλαμψεν, ὡς εἰς πᾶσαν τὴν γῆν τὸν φθόγγον αὐτῶν ἐξελθεῖν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν κατορθωμάτων αὐτῶν ἀστράψαι τὴν λαμπηδόνα. Τούτων οὐ τὰ ῥήματα μόνον καὶ τὰ ἔργα, ἀλλὰ καὶ αὐτὰ τὰ αἵματα, καὶ τὰ ὀστᾶ, πάσης ἁγιότητος πλήρη ὑπάρχουσι· δαίμονας μὲν κατὰ κράτος ἐλαύνοντα, ἀνιάτων δὲ νοσημάτων ἰάσεις τοῖς πίστει προσψαύουσι παρέχοντα· καὶ τὰ ἱμάτια δέ, καὶ εἴ τι ἄλλο τοῖς τιμίοις αὐτῶν προσήγγισε σώμασι, τῇ κτίσει πάσῃ πάντοτέ ἐστιν αἰδέσιμα· περὶ ὧν, πολύς ἐστιν ὁ λόγος κατὰ μέρος τὰς αὐτῶν ἀριστείας διηγήσασθαι.

Ἐπεὶ δὲ οἱ μὲν ἀπηνεῖς ἐκεῖνοι, καὶ θηριώδεις τύραννοι κακοὶ κακῶς ἀπώλοντο, καὶ ὁ διωγμὸς ἔπαυσε, βασιλεῖς δὲ πιστοὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐβασίλευσαν, διαδεξάμενοι ἕτεροι, καὶ μιμησάμενοι τὸν ζῆλον ἐκείνων, καὶ τὸν θεῖον πόθον, λέγω δὴ τῶν μαρτύρων, καὶ τῷ αὐτῶν ἔρωτι τὰς ψυχὰς τρωθέντες, ἄριστα διεσκόπουν ἀῤῥύπωτον τὴν ψυχὴν καὶ τὸ σῶμα τῷ Κυρίῳ παραστῆσαι, πάσας τὰς τῶν παθῶν περικόψαντες ἐνεργείας, καὶ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἑαυτοὺς ἐκκαθάραντες. Ἐπεὶ δὲ οὐκ ἄλλως τοῦτο, ἀλλὰ διὰ τῆς φυλακῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ κατορθοῦσθαι ἔγνωσαν, τὴν δὲ φυλακὴν τῶν ἐντολῶν, καὶ τὴν ἐργασίαν τῶν ἀρετῶν δυσχερῶς ἐν μέσῳ τῶν τοῦ κόσμου θορύβων προσγίνεσθαι κατενόησαν, ἄλλον τινὰ βίον ξένον καὶ ἐνηλλαγμένον ἑαυτοῖς ἐπετηδεύσαντο· καὶ κατὰ τὴν θείαν φωνὴν πάντα καταλιπόντες, γονεῖς, τέκνα, φίλους, συγγενεῖς, πλοῦτον καὶ τρυφήν, καὶ πάντα τὰ ἐν τῷ κόσμῳ μισήσαντες, πρὸς τὰς ἐρήμους ὥσπερ τινὲς φυγάδες ᾤχοντο· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς· πάντων τῶν ἐπὶ γῆς τερπνῶν τε καὶ ἀπολαυστικῶν ἑαυτοὺς μακρύναντες, καὶ αὐτοῦ δὲ τοῦ ἄρτου λίαν ἐνδεῶς ἔχοντες, δύο ταῦτα πραγματευσάμενοι· ἵνα μὴ ὁρῶντες τῶν παθῶν τὰς ὕλας, προῤῥίζους αὐτῶν τὰς ἐπιθυμίας ἐκ τῆς ψυχῆς ἀνασπάσωσι· καὶ τὰς αὐτῶν ἐξαλείψαντες μνήμας, ἔρωτα καὶ πόθον τῶν θείων καὶ οὐρανίων ἐν ἑαυτοῖς ἐμφυτεύσωσι· πρὸς τούτοις, ἵνα διὰ τῆς κακοπαθείας τὸ

www.tezaurliturgic.ro



σαρκίον ἐκδαπανήσαντες, καὶ μάρτυρες τῇ προαιρέσει γενόμενοι, μὴ ἀποτύχωσι τῆς εὐκλείας τῶν δι' αἵματος τελειωθέντων· ἀλλὰ μιμηταὶ καὶ αὐτοὶ τῶν τοῦ Χριστοῦ παθημάτων ὅσον τὸ ἐπ' αὐτοῖς γενόμενοι, καὶ τῆς ἀτελευτήτου βασιλείας συμμέτοχοι ἔσονται.

Οὕτως οὖν ἄριστα διασκεψάμενοι, τὸν μονήρη καὶ ἡσύχιον μετῆλθον βίον· τινὲς μὲν αἴθριοι διακαρτερήσαντες, τῷ φλογμῷ τοῦ καύσονος, καὶ ὄμβροις ἀγρίοις, κρυμοῖς τε καὶ ταραχαῖς ἀνέμων ταλαιπωρούμενοι· οἱ δέ, καλύβας πηξάμενοι, ἢ σπηλαίοις καὶ ἄντροις ἀποκρυβέντες διέζησαν. Οὕτω δὲ τὴν ἀρετὴν μετερχόμενοι, πᾶσαν σαρκικὴν παράκλησιν καὶ ἀνάπαυσιν εἰς τέλος ἀπηρνήσαντο, λαχάνων ὠμῶν, καὶ βοτανῶν, ἢ ἀκροδρύων, ἢ ἄρτου ξηροῦ καὶ πάνυ σκληροῦ στοιχήσαντες διαίτῃ· μὴ τῇ ποιότητι μόνον ἀποταξάμενοι τῶν ἡδέων, ἀλλὰ τῷ περιόντι τῆς ἐγκρατείας, καὶ πρὸς τὴν ποσότητα τὸ φιλότιμον ἑαυτῶν παρατείναντες· τοσοῦτον γὰρ καὶ αὐτῶν τῶν εὐτελῶν καὶ ἀναγκαιοτάτων μετελάμβανον βρωμάτων, ὅσον ἀποζῆν μόνον· οἱ μὲν γὰρ αὐτῶν, ὅλας τὰς τῆς ἑβδομάδος ἡμέρας ἄσιτοι διατελοῦντες, τῇ κυριακῇ τροφῆς μετελάμβανον· οἱ δέ, δὶς τῆς ἑβδομάδος ταύτης μεμνημένοι· ἄλλοι δέ, παρὰ μίαν, ἢ καὶ καθ' ἑσπέραν ἐσιτοῦντο, ὅσον μόνον τροφῆς ἀπογεύεσθαι· εὐχαῖς τε καὶ ἀγρυπνίαις μικροῦ πρὸς τὸν τῶν Ἀγγέλων παρημιλλήθησαν βίον· χαίρειν εἰπόντες χρυσίου καὶ ἀργυρίου τῇ κτήσει παντάπασι· πράσεις τε καὶ ἀγορασίας ἐπιλαθόμενοι ὅλως εἶναι ἐν ἀνθρώποις· φθόνος δὲ καὶ ἔπαρσις, οἱ μάλιστα τοῖς ἀγαθοῖς ἔργοις ἀκολουθεῖν εἰωθότες, οὐκ ἔσχον χώραν ἐν αὐτοῖς· οὐδὲ γὰρ ὁ ἐλάττων ἐν τοῖς τῆς ἀσκήσεως ἀγῶσι, κατὰ τοῦ μᾶλλον διαλάμποντος βασκανίας λογισμὸν ὅλως ἐν ἑαυτῷ ὑπεδέχετο· οὐδ' αὖ πάλιν τὸν μεγάλα κατορθοῦντα, πρὸς οἴησιν κατὰ τῶν ἀσθενεστέρων ἐπῆρεν ἡ ἀλαζονεία, ἢ ἐξουθενεῖν τὸν πλησίον, ἢ ἐγκαυχᾶσθαι τῇ ἀσκήσει, καὶ μέγα φρονεῖν ἐπὶ τοῖς κατορθώμασιν ἀπατήσασα· ὁ γὰρ τὸ πλέον ἔχων εἰς ἀρετήν, οὐ πόνοις ἰδίοις, ἀλλὰ Θεοῦ δυνάμει τὸ πᾶν ἐπιγράφων, ταπεινόφρονι γνώμῃ ἔπειθεν ἑαυτὸν μηδὲν ὅλως ἐργάζεσθαι, ἀλλὰ καὶ πλειόνων ὀφειλέτην εἶναι, καθά φησιν ὁ Κύριος· «ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε· ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ὅτι ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν» (Λουκ. ιζ'. 10). Οἱ δέ, οὐδὲ ποιῆσαί ποτε τὰ διατεταγμένα ἔπειθον ἑαυτούς, ἀλλὰ πλείονα εἶναι τῶν ἤδη κεκατορθωμένων τὰ ἐλλείποντα· καὶ ὁ ἐλαττούμενος πάλιν ἐν τῇ ἀσκήσει, διὰ σωματικὴν ἴσως ἀσθένειαν, ἐξευτέλιζε ταλανίζων ἑαυτόν, ῥαθυμίᾳ γνώμης, οὐχὶ φύσεως ἀσθενείᾳ τὸ ὑστέρημα λογιζόμενος.



Οὕτως οὖν ἄλλος ἄλλου, καὶ πάντες ἁπάντων ἦσαν μετριώτεροι. Κενοδοξίας δὲ πάθος, ἢ ἀνθρωπαρεσκείας, ποῦ ἐν ἐκείνοις; οἵτινες διὰ τοῦτο τὴν οἰκουμένην ἐκφυγόντες, οἰκοῦσι τὴν ἔρημον, οὐκ ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ τὰ κατορθώματα δεικνύναι βουλόμενοι, παρ' οὗ καὶ τῶν κατορθωμάτων τὰς ἀμοιβὰς ἐλπίζουσι· καλῶς ἐπιστάμενοι, ὅτι αἱ διὰ κενοδοξίαν ἐπιτελούμεναι ἀσκήσεις, ἄμισθοι· δι' ἔπαινον γὰρ ἀνθρώπων, καὶ οὐ διὰ τὸν Θεὸν γίνονται· ὅθεν καὶ διπλῶς οἱ τοιοῦτοι ἀδικοῦνται· τὸ σῶμα κατατήκοντες, καὶ μισθὸν μὴ λαμβάνοντες· οἱ δὲ τῆς ἄνω δόξης ὀρεγόμενοι, καὶ πρὸς ταύτην ἐπειγόμενοι, πάσης τῆς ἐπιγείου καὶ ἀνθρωπίνης φύσεως κατεφρόνησαν. Ἔχουσι δὲ τὰς οἰκήσεις, οἱ μέν, ἐν παντελεῖ ἀναχωρήσει καὶ μονίᾳ τὸν ἀγῶνα διανύοντες, μακρύναντες ἑαυτοὺς τῆς τῶν ἀνθρώπων συναυλίας παρ' ὅλον αὐτῶν τῆς ζωῆς τὸν χρόνον, καὶ τῷ Θεῷ πλησιάσαντες· οἱ δέ, πόῤῥωθεν ἀλλήλων τὰς οἰκήσεις πηξάμενοι, ταῖς κυριακαῖς εἰς ἐκκλησίαν μίαν φοιτῶσι, καὶ τῶν θείων μυστηρίων κοινωνοῦσι, τῆς ἀναιμάκτου, φημί, θυσίας τοῦ ἀχράντου σώματος, καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ, ἃ τοῖς πιστοῖς εἰς ἄφεσιν ἁμαρτιῶν, φωτισμόν τε καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος ὁ Κύριος ἐδωρήσατο· καὶ ἑστιῶντες ἀλλήλους γυμνασίᾳ τῶν θείων λόγων, καὶ ταῖς ἠθικαῖς παραινέσεσι, τούς τε κρυπτοὺς τῶν ἀντιπάλων δημοσιεύοντες πολέμους, ὥστε μὴ ἁλῶναι τούτοις τινά, τῆς πάλης ἀγνοοῦντα τὴν μέθοδον, οἴκαδε πάλιν ἕκαστος ἐπανέρχονται, τὸ τῆς ἀρετῆς μέλι ταῖς σίμβλαις τῶν καρδιῶν φιλοτίμως ἐναποτιθέντες, καὶ γεωργοῦντες καρπὸν γλυκύτατον, καὶ τῆς ἐπουρανίου τραπέζης ἐπάξιον.

Ἄλλοι δὲ κοινοβιακὸν μετέρχονται βίον· οἵτινες πλήθη πολυάνθρωπα ἐπὶ τὸ αὐτὸ ἀθροισθέντες, ὑφ' ἑνὶ ταξιάρχῃ, καὶ προεστῶτι τῷ πάντων διαφορωτάτῳ ἑαυτοὺς ἔταξαν, πᾶν θέλημα ἑαυτῶν μαχαίρᾳ τῆς ὑπακοῆς ἀποσφάξαντες· καὶ δούλους ἑαυτοὺς ὠνητοὺς ἑκουσίως λογισάμενοι, οὐκέτι ἑαυτοῖς ζῶσιν, ἀλλ' ᾧ διὰ τὸν τοῦ Χριστοῦ πόθον ἑαυτοὺς καθυπέταξαν· οἰκειότερον δὲ μᾶλλον εἰπεῖν, ζῶσιν οὐκέτι ἑαυτοῖς, ζῇ δὲ ἐν αὐτοῖς ὁ Χριστός, ᾧ ἠκολούθησαν, πάντα ἀπαρνησάμενοι· τοῦτο γάρ ἐστιν ἀναχώρησις κόσμου· ἑκούσιον μῖσος, καὶ ἄρνησις σώματος πόθῳ τῶν ὑπὲρ φύσιν. Οὗτοι τοίνυν ὡς Ἄγγελοι Θεοῦ ἐπὶ γῆς πολιτεύονται, ψαλμοῖς καὶ ὕμνοις ὁμοθυμαδὸν τῷ Θεῷ ᾄδοντες, καὶ ὁμολογηταὶ τοῖς ἄθλοις τῆς ὑπακοῆς χρηματίζοντες· ἐφ' οἷς καὶ τὸ δεσποτικὸν πληροῦται λόγιον· φησὶ γάρ· «ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.» (Ματθ. ιή. 20). Οὐκ εἰς τοῦτο τὸ μέτρον τὴν ἐπὶ τῷ ὀνόματι αὐτοῦ

www.tezaurliturgic.ro



συναγωγὴν περικλείσας, ἀλλὰ διὰ τῶν δύο, ἢ τριῶν ἀδιόριστον τὸν
ἀριθμὸν δηλώσας· εἴτε γὰρ ὀλίγοι, εἴτε πολλοὶ διὰ τὸ ἅγιον αὐτοῦ
συναχθῶσιν ὄνομα, αὐτῷ διαπύρῳ λατρεύοντες πόθῳ, ἐκεῖ παρεῖναι
τοῦτον πιστεύομεν ἐν μέσῳ τῶν αὐτοῦ δούλων. Τούτοις τοῖς τύποις,
καὶ τοιαύταις ἀγωγαῖς καὶ τάξεσιν, οἱ γήϊνοι καὶ χοϊκοὶ τὸν βίον ἐ-
ζήλωσαν τῶν οὐρανίων· ἐν νηστείαις τε καὶ εὐχαῖς καὶ ἀγρυπνίαις,
ἐν δάκρυσι θερμοῖς, καὶ ἀμετεωρίστῳ πένθει, ἐν ξενιτείᾳ καὶ μνήμῃ
θανάτου, ἐν πρᾳότητι καὶ ἀοργησίᾳ, ἐν σιωπῇ χειλέων, ἐν ἀκτη-
μοσύνῃ καὶ πτωχείᾳ, ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ, ἐν ταπεινόφρονι
γνώμῃ καὶ ἡσυχίᾳ, ἐν ἀγάπῃ τελείᾳ πρὸς τὸν Θεὸν καὶ τὸν πλη-
σίον, τὸν παρόντα ἐκτελέσαντες βίον, καὶ Ἄγγελοι τοῖς τρόποις γε-
νόμενοι.

Ὅθεν Θεὸς θαύμασι, καὶ σημείοις, καὶ ποικίλαις δυνάμεσιν αὐτοὺς
κατεκόσμησε, καὶ τὸν φθόγγον τῆς θαυμαστῆς αὐτῶν πολιτείας εἰς
τὰ πέρατα διηχεῖσθαι τῆς οἰκουμένης πεποίηκε. Καὶ εἴπερ σοι τὸν
βίον ἑνὸς αὐτῶν ἐπὶ στόματος φέρων κατὰ μέρος διηγήσομαι, ὃς καὶ
ἀρχηγὸς γεγενῆσθαι τῆς κατὰ μοναχοὺς πολιτείας λέγεται, Ἀντώ-
νιος δὲ ὄνομα αὐτῷ, γνώσῃ πάντως ἐκ τοῦ ἑνὸς δένδρου τῶν ὁμογε-
νῶν καὶ ὁμοειδῶν καρπῶν τὴν γλυκύτητα, καὶ οἵαν ἐκεῖνος ἔθετο
τῆς ἀσκήσεως ὑποβάθραν, οἵαν δὲ τὴν ὀροφὴν ἐπήξατο, καὶ ὁποίων ἠ-
ξιώθη παρὰ τοῦ Σωτῆρος τυχεῖν χαρισμάτων. Πολλοὶ δὲ καὶ ἄλλοι
μετ᾽ ἐκεῖνον τὸν ἴσον ἀγωνισάμενοι ἀγῶνα, τῶν ὁμοίων ἔτυχον στε-
φάνων τε καὶ γερῶν. Μακάριοι οὗτοι, καὶ τρισμακάριοι, οἱ τὸν Θεὸν
ἀγαπήσαντες, καὶ διὰ τὴν ἀγάπην αὐτοῦ καταφρονήσαντες πάντων·
ἐδάκρυσαν γάρ, πενθοῦντες ἡμέρας καὶ νυκτός, ἵνα τῆς ἀλήκτου τύ-
χωσι παρακλήσεως· ἐταπείνωσαν ἑαυτοὺς ἑκουσίως, ἵνα ἐκεῖ ὑψωθῶσι·
κατέτηξαν τὰς ἑαυτῶν σάρκας πείνῃ τε καὶ δίψῃ καὶ ἀγρυπνίᾳ, ἵνα
ἐκεῖ διαδέξηται αὐτοὺς ἡ τρυφὴ καὶ ἀγαλλίασις τοῦ παραδείσου· σκή-
νωμα γεγόνασι τοῦ ἁγίου Πνεύματος, τῇ καθαρότητι τῆς καρδίας,
καθὼς γέγραπται· «ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω». (Λευΐτ.
κϛ΄. 12). Ἐσταύρωσαν ἑαυτοὺς τῷ κόσμῳ, ἵν᾽ ἐκ δεξιῶν τοῦ σταυρω-
θέντος σταθῶσι· περιεζώσαντο τὰς ὀσφύας αὐτῶν ἐν ἀληθείᾳ, καὶ ἑ-
τοίμους ἔσχον ἀεὶ τὰς λαμπάδας, προσδοκῶντες τὴν ἔλευσιν τοῦ ἀθα-
νάτου νυμφίου· νοεροὺς γὰρ κτησάμενοι ὀφθαλμούς, προεώρων διη-
νεκῶς τὴν φρικτὴν ὥραν ἐκείνην· τήν τε θεωρίαν τῶν μελλόντων
ἀγαθῶν, καὶ τῆς αἰωνίου κολάσεως ἀχώριστον τῆς ἑαυτῶν ἔσχον καρ-
δίας· καὶ ἐσπούδασαν καμεῖν, ἵνα τῆς ἀϊδίου δόξης ἐπιτύχωσι· γεγό-
νασιν ἀπαθεῖς ὥσπερ Ἄγγελοι, καὶ νῦν μετ᾽ ἐκείνων χορεύουσιν, ὧν



τὸν βίον ἐμιμήσαντο. Μακάριοι οὗτοι, καὶ τρισμακάριοι, ὅτι ἀπλανέσι
τοῦ νοὸς ὀφθαλμοῖς κατενόησαν τὴν τῶν παρόντων ματαιότητα, καὶ τῆς
ἀνθρωπίνης εὐπραγίας τὸ ἄστατον, καὶ ἀνώμαλον· καὶ ταύτην ἀπαρνη-
σάμενοι, τὰ αἰώνια αὐτοῖς ἐθησαύρισαν ἀγαθά, καὶ τῆς μηδέποτε δια-
πιπτούσης μήτε θανάτῳ διακοπτομένης ἐπελάβοντο μακαριότητος.

Τούτους οὖν τοὺς θαυμασίους καὶ ἁγίους ἄνδρας καὶ ἡμεῖς οἱ εὐ-
τελεῖς καὶ ἀνάξιοι μιμεῖσθαι σπουδάζομεν, οὐκ ἐφικνούμεθα δὲ τῷ
ὕψει τῆς οὐρανοπολίτου αὐτῶν διαγωγῆς· ἀλλὰ κατὰ τὸ ἐνὸν τῆς
ἀσθενοῦς ἡμῶν καὶ ταλαιπώρου δυνάμεως, τὸν βίον αὐτῶν χαρακτηρί-
ζομεν, καὶ τὸ σχῆμα αὐτῶν περιβεβλήμεθα, κἂν τῶν ἔργων διαμαρ-
τάνωμεν· πρόξενον γὰρ ἀναμαρτησίας τὸ θεῖον ἐπάγγελμα τοῦτο, καὶ
συνεργὸν τῆς ἐκ τοῦ θείου βαπτίσματος δοθείσης ἡμῖν ἀφθαρσίας
ἐπιστάμεθα· καὶ τοῖς λόγοις ἑπόμενοι τῶν μακαρίων ἐκείνων, πάνυ
καταγινώσκομεν τῶν φθαρτῶν τούτων καὶ ἐπικαίρων τοῦ βίου πραγ-
μάτων· ἐν οἷς οὐδέν ἐστιν εὑρεῖν βέβαιον καὶ ὁμαλόν, οὐδὲ ἐπὶ τῶν
αὐτῶν ἱστάμενον· ἀλλὰ «ματαιότης ἐστὶ πάντα, καὶ προαίρεσις πνεύ-
ματος, πολλὰς ἐν ἀτόμῳ φέροντος τὰς μεταβολάς» (Ἐκκλησ. ά. 14).
ὀνείρων γάρ, καὶ σκιᾶς, καὶ αὔρας κατὰ τὸν ἀέρα πνεούσης εἰσὶν ἀσθε-
νέστερα· μικρά, καὶ πρὸς ὀλίγον ἡ χάρις, καὶ οὐδὲ χάρις, ἀλλὰ πλά-
νη τις καὶ ἀπάτη τῆς τοῦ κόσμου κακίας· ὅνπερ μὴ ἀγαπᾶν ὅλως,
μισεῖν δὲ μᾶλλον ἐκ καρδίας δεδιδάγμεθα· καὶ ἔστι γε κατὰ ἀλήθειαν
μισητὸς οὗτος, καὶ ἀπευκταῖος· ὅσα γὰρ δωρεῖται τοῖς φίλοις αὐτοῦ,
μετ᾽ ὀργῆς αὖθις αὐτὰ ἀφαρπάζει· γυμνοὺς δὲ παντὸς ἀγαθοῦ, καὶ
αἰσχύνην ἠμφιεσμένους, φορτία τε περικειμένους βαρέα, τῇ αἰωνίῳ
παραπέμπει θλίψει· οὓς δ᾽αὖ πάλιν ὑψοῖ, τῇ ἐσχάτῃ θᾶττον ταπεινοῖ
ταλαιπωρίᾳ, ὑποποδίους αὐτοὺς τιθείς, καὶ ἐπίχαρμα πάντων τῶν ἐχ-
θρῶν αὐτῶν.

Τοιαῦται οὖν αἱ χάριτες αὐτοῦ, τοιαῦται αἱ δωρεαί· ἐχθρὸς γάρ
ἐστι τῶν φίλων αὐτοῦ, καὶ ἐπίβουλος πάντων τῶν ποιούντων αὐτοῦ
τὰ θελήματα· καταράσσων δεινῶς τοὺς ἐπερειδομένους ἐπ᾽αὐτόν, καὶ
ἐκνευρίζων τοὺς ἐπ᾽αὐτὸν πεποιθότας· συνθήκας τίθησι μετὰ τῶν
ἀφρόνων καὶ ἐπαγγελίας ψευδεῖς, ἵνα μόνον αὐτοὺς ἐπισπάσηται·
ἐκείνων δὲ εὐγνωμονησάντων, ἀγνώμων αὐτὸς καὶ ψευδὴς διαδείκνυ-
ται, μηδὲν ὧν συνέθετο ἀποπληρῶν· σήμερον γὰρ βρώμασιν ἡδέοις
τὸν φάρυγγα αὐτῶν καταλεάνας, κατάβρωμα τοῖς ἐχθροῖς ὅλους αὐ-
τοὺς αὔριον τίθησι· σήμερον βασιλέα τινὰ δείκνυσι, καὶ αὔριον δου-
λείᾳ πονηρᾷ παραδίδωσι· σήμερον μυρίοις εὐθυνόμενον ἀγαθοῖς, αὔ-
ριον προσαίτην, καὶ οἰκοτρίβων οἰκότριβα· σήμερον στέφανον δόξης

www.tezaurliturgic.ro



τῇ κορυφῇ αὐτοῦ ἐπιτίθησιν, αὔριον τὸ πρόσωπον τῇ γῇ καταράσσει· σήμερον κοσμεῖ τὸν τράχηλον αὐτοῦ λαμπραῖς ἀξιωμάτων τιμαῖς, αὔριον ταπεινοῖ, σιδηραῖς χειροπέδαις δεσμούμενον· ποθητὸν πρὸς μικρὸν τοῖς πᾶσι τοῦτον ἐργάζεται, μισητὸν δὲ μετ᾽ ὀλίγα, καὶ ἰσχυρῶς ἐβδελυγμένον· σήμερον εὐφραίνει, καὶ αὔριον θρήνοις αὐτὸν καὶ κοπετοῖς κατατήκει[1]. Ὁποῖον δὲ τούτων καὶ τὸ τέλος ἐπιτίθησιν, ἄκουσον· οἰκήτορας γεέννης τοὺς ἠγαπηκότας αὐτὸν ἐλεεινῶς ἀπεργάζεται· τοιαύτης ἔχει γνώμης ἀεί, τοιαύτης προθέσεως· οὔτε τοὺς παρελθόντας θρηνεῖ, οὔτε τοὺς καταλειφθέντας οἰκτείρει· ἐκείνους γὰρ δεινῶς ἀπατήσας καὶ τοῖς ἄρκυσιν αὐτοῦ κατακλείσας, πρὸς τοὺς αὖθις τὰ τῆς ἐπιστήμης μετενεγκεῖν πειρᾶται, μὴ θέλων τινὰ τῶν χαλεπῶν αὐτοῦ ἐκφυγεῖν παγίδων.

Τοὺς μὲν οὖν τοιούτῳ δουλεύοντας ἀπηνεῖ καὶ πονηρῷ δεσπότῃ, τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου φρενοβλαβῶς ἑαυτοὺς μακρύνοντας, εἰς τὰ παρόντα δὲ κεχηνότας πράγματα, καὶ τούτοις προστετηκότας, μηδόλως τῶν μελλόντων λαμβάνοντας ἔννοιαν, καὶ εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπειγομένους, τὰς δὲ ψυχὰς ἐῶντας λιμῷ κατατήκεσθαι, καὶ μυρίοις ταλαιπωρεῖσθαι κακοῖς, ὁμοίους εἶναι δοκῶ ἀνδρί, φεύγοντι ἀπὸ προσώπου μαινομένου μονοκέρωτος[2]· ὅς, μὴ φέρων τὸν ἦχον τῆς αὐτοῦ βοῆς, καὶ τὸν φοβερὸν αὐτοῦ μυκηθμόν, ἀλλ᾽ ἰσχυρῶς ἀποδιδράσκων τοῦ μὴ γενέσθαι τούτου κατάβρωμα, ἐν τῷ τρέχειν αὐτὸν ὀξέως, μεγάλῳ τινὶ περιπέπτωκε βόθρῳ· ἐν δὲ τῷ ἐμπίπτειν ἐν αὐτῷ, τὰς χεῖρας ἐκτείνας, καὶ φυτοῦ τινος δραξάμενος, κραταιῶς τοῦτο κατέσχε· καὶ ἐπὶ βάσεώς τινος τοὺς πόδας στηρίξας, ἔδοξε ἐν εἰρήνῃ λοιπὸν εἶναι, καὶ ἀσφαλείᾳ. Βλέψας οὖν, ὁρᾷ δύο μύας, λευκὸν μὲν τὸν ἕνα, τὸν δὲ ἕτερον μέλανα, διεσθίοντας ἀπαύστως τὴν ῥίζαν τοῦ φυτοῦ, ὃ ἦν περιδεδραγμένος, καὶ ὅσον οὔπω ἐγγίζοντας ταύτην ἐκτεμεῖν· κατανοήσας δὲ τὸν πυθμένα τοῦ βόθρου, δράκοντα εἶδε φοβερὸν τῇ θέᾳ, πῦρ πνέοντα καὶ δριμύτατα βλοσσυροῦντα, τὸ στόμα τε φρικτῶς κεχηνότα, καὶ καταπιεῖν αὐτὸν ἐπειγόμενον· ἀτενίσας δὲ αὖθις τῇ βάσει ἐκείνῃ, ἐφ᾽ ᾗ τοὺς πόδας εἶχεν ἐρηρεισμένους, θεωρεῖ τέσσαρας κεφαλὰς ἀσπίδων, τοῦ τοίχου προβεβληκυίας, ἐφ᾽ ὃν ἐπεστήρικτο· ἀναβλέψας δὲ τοὺς ὀφθαλμούς, ὁρᾷ ἐκ τῶν κλάδων τοῦ φυτοῦ ἐκείνου μικρὸν ἀποστάζον μέλι.

---

[1] Χάρις τοῖς χείλεσί σου, θειότατε πάτερ, ὡς ἄριστά τε καὶ κάλλιστα θριαμβεύσας τὸ μάταιον τοῦ ματαίου βίου καὶ ἄστατον, καὶ ἀπατηλόν.

[2] Παραβολὴ προσφυεστάτη καὶ ἀστειοτάτη τοῖς προστετηκόσι τῷ ματαίῳ βίῳ, καὶ τοῖς ματαίοις· ἡ δὲ σαφήνεια εἰς τὴν ἀκόλουθον παράγραφον.



Ἐάσας οὖν περισκέψασθαι περὶ τῶν περιεχόντων αὐτῷ συμφορῶν, ὅπως ἔξωθεν μὲν ὁ μονόκερως δεινῶς ἐκμανείς, ζητεῖ τοῦτον καταφαγεῖν· κάτωθεν δὲ ὁ πικρὸς δράκων κέχηνε καταπιεῖν· τὸ δὲ φυτόν, ὃ περιεδέδρακτο, ὅσον οὔπω ἐκκόπτεσθαι ἔμελλε· τούς τε πόδας ἐπὶ ὀλισθηρᾷ καὶ ἀπίστῳ βάσει ἐπεστήρικτο· καὶ τῶν τοσούτων καὶ τοιούτων δεινῶν ἐπιλαθόμενος, ἀπησχόλησεν ἑαυτὸν τῇ γλυκύτητι τοῦ μικροῦ μέλιτος ἐκείνου.

Αὕτη ἡ ὁμοίωσις τῶν τῇ ἀπάτῃ τοῦ παρόντος προστετηκότων βίου, ἧσπερ τὴν σαφήνειαν αὐτίκα λέξω σοι. Ὁ μὲν γὰρ μονόκερως, τύπος ἂν εἴη τοῦ θανάτου, τοῦ διώκοντος ἀεί, καὶ καταλαβεῖν ἐπειγομένου τὸ Ἀδαμιαῖον γένος· ὁ δὲ βόθρος, ὁ κόσμος ἐστί, πλήρης ὑπάρχων παντοίων κακῶν, καὶ θανατηφόρων παγίδων· τὸ φυτὸν δὲ τὸ ὑπὸ τῶν μυῶν ἀπαύστως συγκοπτόμενον, ὃ περιδεδράγμεθα, ὁ δίαυλος ὑπάρχει τῆς ἑκάστου ζωῆς, ὁ δαπανώμενος καὶ ἀναλισκόμενος διὰ τῶν ὡρῶν τοῦ ἡμερονυκτίου, καὶ τῇ ἐκτομῇ κατὰ μικρὸν ἐγγίζων· αἱ δὲ τέσσαρες ἀσπίδες, τὴν ἐπὶ τεσσάρων σφαλερῶν καὶ ἀστάτων στοιχείων σύστασιν τοῦ ἀνθρωπίνου σώματος αἰνίττονται· ὧν ἀτακτούντων καὶ ταραττομένων, ἡ τοῦ σώματος καταλύεται σύστασις· πρὸς τούτοις καὶ ὁ πυρώδης ἐκεῖνος καὶ ἀπηνὴς δράκων, τὴν φοβερὰν τοῦ ᾅδου εἰκονίζει γαστέρα, τὴν μαιμάσσουσαν ὑποδέξασθαι τοὺς τὰ παρόντα τερπνὰ τῶν μελλόντων ἀγαθῶν προκρίναντας· ὁ δὲ τοῦ μέλιτος σταλαγμός, τὴν γλυκύτητα ἐμφαίνει τῶν τοῦ κόσμου ἡδέων· δι᾽ ἧς ἐκεῖνος ἀπατῶν τοὺς αὐτοῦ φίλους, οὐκ ἐᾷ τῆς σφῶν προνοήσασθαι σωτηρίας.

Ταύτην ὁ Ἰωάσαφ λίαν ἀποδεξάμενος τὴν παραβολήν, ἔφη· ὡς ἀληθὴς ὁ λόγος οὗτος, καὶ πάνυ ἁρμοδιώτατος! μὴ οὖν ὀκνήσῃς τοιούτους ἀεί μοι τύπους ὑποδεικνύειν, ἵνα γνῶ ἀκριβῶς ὁποῖος ὑπάρχει ὁ καθ᾽ ἡμᾶς βίος, καὶ τίνων τοῖς ἑαυτοῦ φίλοις πρόξενος γίνεται. Ὁ δὲ γέρων εἶπεν· ὅμοιοι αὖθίς εἰσιν οἱ ἐρασθέντες τῶν τοῦ βίου τερπνῶν, καὶ τῇ τούτου γλυκανθέντες ἡδύτητι, τῶν μελλόντων τε καὶ μὴ σαλευομένων τὰ ῥευστὰ καὶ ἀσθενῆ προτιμήσαντες, ἀνθρώπῳ τρεῖς ἐσχηκότι φίλους· ὧν τοὺς μὲν δύο περιπαθῶς ἐτίμα, καὶ σφοδρῶς τῆς αὐτῶν ἀγάπης ἀντείχετο, μέχρι θανάτου ὑπὲρ αὐτῶν ἀγωνιζόμενος, καὶ προκινδυνεύειν αἱρούμενος· πρὸς δὲ τὸν τρίτον πολλῇ ἐφέρετο καταφρονήσει, μήτε τιμῆς, μήτε τῆς προσηκούσης αὐτὸν πώποτε ἀξιώσας ἀγάπης, ἀλλ᾽ ἢ μικράν τινα, καὶ οὐδαμινὴν εἰς αὐτὸν προσποιούμενος φιλίαν. Καταλαμβάνουσιν οὖν ἐν μιᾷ φοβεροί τινες, καὶ ἐξαίσιοι στρατιῶται, σπεύδοντες ταχύτητι πολλῇ τοῦτον ἀγαγεῖν πρὸς τὸν βασιλέα, λόγον ἀποδώσοντα ὑπὲρ ὀφειλῆς μυρίων ταλάντων· στενο-

www.tezaurliturgic.ro



χωρούμενος δὲ ἐκεῖνος, ἐζήτει βοηθὸν τοῦ συναντιλαβέσθαι αὐτῷ, ἐν τῷ φρικτῷ τοῦ βασιλέως λογοθεσίῳ. Δραμὼν οὖν πρὸς τὸν πρῶτον αὐτοῦ καὶ πάντων γνησιώτατον φίλον, λέγει· οἶδας, ὦ φίλε, ὡς ἀεὶ ἐθέμην τήν ψυχήν μου ὑπὲρ σοῦ· νυνὶ δὲ χρῄζω βοηθείας ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς κατεχούσης με ἀνάγκης· πόσον οὖν ἐπαγγέλλῃ συναντιλαμβάνεσθαί μοι νῦν; καὶ τίς ἡ παρὰ σοῦ προσγινομένη μοι ἐλπίς, προσφιλέστατε; Ἀποκριθεὶς οὖν ἐκεῖνος, ἔφη· οὐκ εἰμί σου φίλος, ἄνθρωπε, οὐδὲ ἐπίσταμαι τίς εἶ· ἄλλους γὰρ ἔχω προσφιλεῖς, μεθ' ὧν δεῖ με σήμερον εὐφραίνεσθαι, καὶ φίλους αὐτοὺς εἰς τὸ ἑξῆς κτήσασθαι· παρέχω δέ σοι ἰδοὺ ῥάκια δύο, τοῦ ἔχειν ταῦτα ἐν τῇ ὁδῷ, ᾗ πορεύει, ἅτινα οὐδέν σε τὸ παράπαν ὠφελήσουσι· καὶ μηδεμίαν ἄλλην παρ' ἐμοῦ προσδοκήσῃς ἐλπίδα.

Τούτων ἀκούσας ἐκεῖνος, καὶ ἀπογνοὺς ἧς ἤλπιζεν ἐξ αὐτοῦ βοηθείας, πρὸς τὸν ἕτερον πορεύεται φίλον, καί φησι· μέμνησαι, ὦ ἑταῖρε, ὅσης ἀπήλαυσας παρ' ἐμοῦ τιμῆς καὶ εὐγνωμοσύνης· σήμερον δὲ θλίψει περιπεσών, καὶ συμφορᾷ μεγίστῃ, χρῄζω συνεργοῦ· πόσον οὖν ἰσχύεις μοι συγκοπιάσαι, ἐξ αὐτῆς γνώρισόν μοι. Ὁ δέ φησιν· οὐ σχολάζω σήμερον συναγωνίσασθαί σοι· μερίμναις γὰρ κἀγὼ καὶ περιστάσεσι περιπεσών, ἐν θλίψει εἰμί· μικρὸν δ' ὅμως συνοδεύσω σοι, κἂν μηδὲν ὠφελήσω σε, καὶ θᾶττον ὑποστρέψας οἴκαδε ταῖς ἰδίαις ἔσομαι ἀσχολούμενος μερίμναις. Κεναῖς οὖν κἀκεῖθεν ὑποστρέψας χερσὶν ὁ ἄνθρωπος, καὶ πάντοθεν ἀπορούμενος, ἐταλάνιζεν ἑαυτὸν τῆς ματαίας ἐλπίδος τῶν ἀγνωμόνων αὐτοῦ φίλων, καὶ τῶν ἀνονήτων ταλαιπωριῶν, ὧν ὑπὲρ τῆς ἐκείνων ὑπέστη ἀγάπης. Ἀπέρχεται λοιπὸν πρὸς τὸν τρίτον φίλον, ὃν οὐδέποτε ἐθεράπευσεν, οὐδὲ κοινωνὸν τῆς αὐτοῦ εὐφροσύνης προσεκαλέσατο, καί φησι πρὸς αὐτὸν κατῃσχυμμένῳ καὶ κατηφεῖ προσώπῳ· οὐκ ἔχω στόμα διᾶραι πρός σε, γινώσκων ἀκριβῶς ὅτι οὐ μέμνησαί μου πώποτε εὐεργετήσαντός σε, ἢ προσφιλῶς διατιθέντος μου· ἀλλ' ἐπεὶ συμφορά με κατέλαβε χαλεπωτάτη, οὐδαμόθεν δὲ τῶν λοιπῶν μου φίλων εὗρον σωτηρίας ἐλπίδα, παρεγενόμην πρός σέ, δυσωπῶν, εἰ ἔστι σοι ἰσχύς, μικράν τινα βοήθειαν παρασχεῖν μοι· μὴ ἀπαγορεύσῃς οὖν μηνύσας μου τῆς ἀγνωμοσύνης. Ὁ δέ, φησὶν ἱλαρῷ καὶ χαρίεντι προσώπῳ· ναὶ δή, φίλον ἐμὸν γνησιώτατον ὁμολογῶ σε ὑπάρχειν, καὶ τῆς μικρᾶς ἐκείνης μεμνημένος σου εὐποιίας, σὺν τόκῳ σήμερον ἀποδώσω σοι· μὴ φοβοῦ τοίνυν, μηδὲ δειλία· ἐγὼ γὰρ προπορεύσομαί σου· ἐγὼ δυσωπήσω ὑπὲρ σοῦ τὸν βασιλέα, καὶ οὐ μὴ παραδῷ σε εἰς χεῖρας ἐχθρῶν σου· θάρσει οὖν, προσφιλέστατε, καὶ μὴ λοιποῦ· Τότε κατανυγεὶς ἐκεῖνος, ἔλεγε μετὰ δακρύων· οἴμοι,



τί πρῶτον θρηνήσω, καὶ τί πρῶτον κλαύσομαι; τῆς ματαίας μου καταγνώσομαι προσπαθείας, εἰς τοὺς ἀμνήμονας, καὶ ἀχαρίστους, καὶ ψευδεῖς φίλους ἐκείνους, ἢ τὴν φρενοβλαβῆ ταλανίσω ἀγνωμοσύνην, ἥνπερ τῷ ἀληθεῖ τούτῳ καὶ γνησίῳ ἐνεδειξάμην φίλῳ;

Ὁ δὲ Ἰωάσαφ καὶ τοῦτον μετὰ θαύματος δεξάμενος τὸν λόγον, τὴν σαφήνειαν ἐζήτει· καί φησιν ὁ Βαρλαάμ· ὁ πρῶτος φίλος ἂν εἴη, ἡ τοῦ πλούτου περιουσία, καὶ ὁ τῆς φιλοχρηματίας ἔρως· ἐφ' ᾧ μυρίοις ὁ ἄνθρωπος περιπίπτει κινδύνοις, καὶ πολλὰς ὑπομένει ταλαιπωρίας· ἐλθούσης δὲ τῆς τελευταίας τοῦ θανάτου προθεσμίας, οὐδὲν ἐκ πάντων ἐκείνων, εἰ μὴ τὰ πρὸς κηδείαν ἀνόνητα ῥάκια λαμβάνει· δεύτερος δὲ φίλος κέκληται, γυνή τε καὶ τέκνα, καὶ οἱ λοιποὶ συγγενεῖς καὶ φίλοι· ὧν τῇ προσπαθείᾳ κεκολλημένοι, δυσαποσπάστως ἔχομεν, αὐτῆς τῆς ψυχῆς καὶ τοῦ σώματος ἕνεκεν τῆς αὐτῶν ὑπερορῶντες ἀγάπης· οὐδεμιᾶς δέ τις ἐξ αὐτῶν ἀπώνατο ὠφελείας τῇ ὥρᾳ τοῦ θανάτου, ἀλλ' ἢ μόνον μέχρι τοῦ μνήματος συνοδεύουσιν, εἶτ' εὐθὺς ἐπαναστραφέντες, τῶν ἰδίων ἔχονται μεριμνῶν καὶ περιστάσεων· οὐκ ἔλαττον λήθῃ τὴν μνήμην, ἢ τὸ σῶμα τοῦ ποτὲ προσφιλοῦς καλύψαντες τάφῳ· ὁ δ' αὖ τρίτος φίλος, ὁ παρεωραμένος καὶ φορτικός, ὁ μὴ προσιτός, ἀλλὰ φευκτός, καὶ οἷον ἀπατρόπαιος, ὁ τῶν ἀρίστων ἔργων χορὸς καθέστηκεν· οἷον, πίστις, ἐλπίς, ἀγάπη, ἐλεημοσύνη, φιλανθρωπία, καὶ ὁ λοιπὸς τῶν ἀρετῶν ὅμιλος, ὁ δυνάμενος προπορεύεσθαι ἡμῶν, ἐξερχομένων τοῦ σώματος, ὑπὲρ ἡμῶν τε δυσωπῆσαι τὸν Κύριον, καὶ τῶν ἐχθρῶν ἡμᾶς λυτρούμενος, καὶ δεινῶν φορολόγων, τῶν λογοθέσιον ἡμῖν πικρὸν ἐν τῷ ἀέρι κινούντων, καὶ χειρώσασθαι πικρῶς ζητούντων. Οὗτός ἐστιν ὁ εὐγνώμων φίλος καὶ ἀγαθός, ὁ καὶ τὴν μικρὰν ἡμῶν εὐπραγίαν ἐπὶ μνήμης φέρων, καὶ σὺν τόκῳ πᾶσαν ἡμῖν ἀποδιδούς.

Αὖθις ὁ Ἰωάσαφ, εὖ σοι γένοιτό, φησι, παρὰ Κυρίου τοῦ Θεοῦ σου, ὦ σοφώτατε ἀνθρώπων· εὔφρανας γάρ μου τὴν ψυχὴν τοῖς καταλλήλοις σου καὶ ἀρίστοις ῥήμασι. Τοιγαροῦν ἀνατύπωσόν μοι καὶ ἔτι εἰκόνα τῆς ματαιότητος τοῦ κόσμου, καὶ πῶς ἄν τις τοῦτον ἐν εἰρήνῃ καὶ ἀσφαλείᾳ διέλθοι. Ἀναλαβὼν δὲ τὸν λόγον ὁ Βαρλαάμ, ἔφη· ἄκουσον δὴ καὶ τούτου τοῦ προβλήματος ὁμοίωσιν[1]. Πόλιν τινὰ μεμάθηκα μεγάλην, ἧς οἱ πολῖται τοιαύτην ἐσχήκασιν ἔκπαλαι συνήθειαν, τοῦ ἐπιλαμβάνεσθαι ξένου τινός, καὶ ἀγνώστου ἀνδρός, μηδὲν τῶν νόμων τῆς πόλεως καὶ παραδόσεων ὅλως ἐπισταμένου, καὶ τοῦτον

[1] Παραβολὴ ἄλλη, θεία καὶ θαυμάσιος, ἧς ἡ σαφήνεια εἰς τὴν κατόπιν παράγραφον.



ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ... ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro



ἀπολαύοντα ἐξουσίας, καὶ τῶν αὐ-
βασιλέα καθιστᾶν ἑαυτοῖς, πάσης
τοῦ θελημάτων ἀκωλύτως ἐχόμενον, ἄχρι συμπληρώσεως ἐνιαυσιαίου
χρόνου· εἶτ' ἐξαίφνης, ἐν πάσῃ αὐτοῦ τυγχάνοντος ἀμεριμνίᾳ, τρυ-
φῶντός τε καὶ σπαταλῶντος ἀδεῶς, καὶ συνδιαιωνίζειν αὐτῷ τὴν βα-
σιλείαν ἀεὶ δοκοῦντος, ἐπεγειρόμενοι κατ' αὐτοῦ, καὶ τὴν βασιλικὴν
ἀφελόμενοι στολήν, γυμνόν τε ἀνὰ πᾶσαν θριαμβεύοντες τὴν πόλιν,
ἐξόριστον ἔπεμπον εἰς μεγάλην τινά, καὶ μακρὰν ἀπῳκισμένην νῆσον,
ἐν ᾗ μήτε διατροφῆς εὐπορῶν, μήτε ἐνδυμάτων, ἐν λιμῷ καὶ γυμνό-
τητι δεινῶς κατετρύχετο· τῆς παρ' ἐλπίδα δοθείσης αὐτῷ τρυφῆς καὶ
θυμηδίας, εἰς λύπην αὖθις παρ' ἐλπίδα πᾶσαν καὶ προσδοκίαν μετα-
μειφθείσης. Κατὰ τὸ παρακολουθῆσαν τοίνυν ἔθος τῶν πολιτῶν ἐκεί-
νων, προεχειρίσθη τις ἀνὴρ εἰς τὴν βασιλείαν, συνέσει πολλῇ τὸν λο-
γισμὸν κατάκομον ἔχων· ὅς, αὐτίκα μὴ συναρπασθεὶς τῇ ἐξαίφνης
αὐτῷ προσπεσούσῃ εὐθηνίᾳ, μηδὲ τῶν προβεβασιλευκότων καὶ ἀθλίως
ἐκβληθέντων τὴν ἀμεριμνίαν ζηλώσας, ἐμμέριμνον εἶχε καὶ ἐναγώνιον
τὴν ψυχήν, πῶς ἂν τὰ κατ' αὐτὸν εὖ διάθοιτο· τῇ συχνῇ δὲ μελέτῃ
ἀκριβωσάμενος, ἔγνω διά τινος συμβούλου τὴν συνήθειαν τῶν πολι-
τῶν, καὶ τὸν τρόπον τῆς διηνεκοῦς ἐξορίας, ὅπως τε χρὴ ἑαυτὸν ἀ-
σφαλίσασθαι, ἀπλανῶς ἐδιδάχθη. Ταῦτ' οὖν ὡς ἔγνω, καὶ ὅτι δεῖ αὐ-
τὸν ὅσον οὔπω εἰς ἐκείνην καταλαβεῖν τὴν νῆσον, τὴν δ' ἐπίκτητον
ταύτην καὶ ἀλλοτρίαν βασιλείαν ἀλλοτρίοις αὖθις καταλιμπάνειν, ἀνοί-
ξας τοὺς θησαυροὺς αὐτοῦ, ὧνπερ τέως ἀνειμένην εἶχε καὶ ἀκώλυτον
τὴν χρῆσιν, καὶ λαβὼν χρημάτων πλῆθος, χρυσοῦ τε καὶ ἀργύρου καὶ
λίθων τιμίων ἁδρότατον ὄγκον, πιστοτάτοις παραδοὺς οἰκέταις, εἰς
ἐκείνην προέπεμψεν, εἰς ἣν ἔμελλεν ἐπανάγεσθαι νῆσον. Συντελεσθέν-
τος δὲ τοῦ ἐμπροθέσμου ἐνιαυτοῦ, στασιάσαντες οἱ πολῖται, γυμνὸν
αὐτὸν ὡς καὶ τοὺς πρὸ αὐτοῦ τῇ ἐξορίᾳ παρέπεμψαν. Οἱ μὲν οὖν λοι-
ποὶ ἀνόητοι καὶ πρόσκαιροι βασιλεῖς δεινῶς ἐλίμωττον· ὁ δὲ τὸν πλοῦ-
τον προαποθέμενος ἐκεῖνος, εὐθηνίᾳ διηνεκεῖ συζῶν, καὶ τρυφὴν ἀδά-
πανον ἔχων, φόβον τε παντάπασιν ἀποσεισάμενος τῶν ἀπίστων καὶ
πονηρῶν πολιτῶν, τῆς σοφωτάτης ἑαυτὸν ἐμακάριζεν εὐβουλίας.

Πόλιν οὖν νόει μοι, τὸν μάταιον τοῦτον, καὶ ἀπατεῶνα κόσμον·
πολίτας δέ, τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας τῶν δαιμόνων, τοὺς κοσμο-
κράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, τοὺς δελεάζοντας ἡμᾶς τῷ
λείῳ τῆς ἡδονῆς, καὶ ὡσπερεὶ ἀφθάρτων ὑποτιθεμένους διανοεῖσθαι
τῶν φθαρτῶν καὶ ἐπικήρων, ὡς ἅτε διαιωνιζούσης ἡμῖν, καὶ ἀθάνατα
τῆς τούτων συνυπαρχούσης ἀπολαύσεως. Οὕτως οὖν ἀπατηθέντων ἡ-
μῶν, καὶ μηδεμίαν περὶ τῶν μονίμων ἐκείνων καὶ αἰωνίων βουλευσα-



μένων, μήτε τι ταμιευσαμένων ἑαυτοῖς εἰς τὸν ἐκεῖθεν βίον, αἰφνί-
διος ἡμῖν ἐφίσταται ὄλεθρος, ὁ τοῦ θανάτου· τότε δὴ τότε γυμνοὺς
ἡμᾶς τῶν ἐντεῦθεν οἱ πονηροὶ καὶ πικροὶ δεξάμενοι τοῦ σκότους πο-
λῖται, ὡς ἐκείνοις τὸν ἅπαντα προσαναλώσαντες χρόνον, «ἀπάγουσιν
εἰς γῆν σκοτεινὴν καὶ ζοφεράν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστι
φέγγος, οὐδὲ ὁρᾶν ζωὴν βροτῶν» (Ἰώβ. ι. 21). Σύμβουλον δὲ ἀγα-
θόν, τὸν τἀληθῆ πάντα γνωρίσαντα, καὶ τὰ σωτήρια διδάξαντα ἐπι-
τηδεύματα τῷ συνετῷ καὶ σοφωτάτῳ βασιλεῖ, τὴν ἐμὴν ὑπολάμβανε
εὐτελῆ χθαμαλότητα, ὃς τὴν ἀγαθὴν ὁδὸν καὶ ἀπλανῆ ὑποδεῖξαί σοι
ἥκω, τοῖς αἰωνίοις μὲν καὶ ἀτελευτήτοις ἐνάγων, κἀκεῖσε πάντα συμ-
βουλεύων ἀποθέσθαι, ἀπάγων δὲ τοῦ πλάνου κόσμου τούτου, ὅνπερ
κἀγὼ ποτὲ δυστυχῶς ἐφίλουν, καὶ τῶν αὐτοῦ ἀντειχόμην τερπνῶν τε
καὶ ἀπολαυστικῶν· κατανοήσας δὲ τοῖς ἀπλανέσι τοῦ νοὸς ὀφθαλμοῖς
πῶς ἐν τούτοις πᾶς ὁ τῶν ἀνθρώπων κατατρίβεται βίος, τῶν μὲν πα-
ραγινομένων, τῶν δὲ ἀποῤῥεόντων, καὶ μηδενὸς ἔχοντος τὸ στάσιμον
βέβαιον, μήτε τῶν πλουτούντων ἐν τῷ πλούτῳ, μήτε τῶν δυνατῶν
ἐν τῇ ἰσχύει, μήτε τῶν σοφῶν ἐν τῇ σοφίᾳ, μήτε τῶν τρυφώντων ἐν
τῇ σπατάλῃ, μήτε τῶν ἀσφαλῶς δοκούντων βιοῦν ἐν τῇ ματαίᾳ αὐ-
τῶν καὶ ἀδρανεστάτῃ ἀσφαλείᾳ, μήτε ἐν ἄλλῳ τινὶ τῶν ἐνταῦθα ἐπαι-
νουμένων· ἀλλ' ἔοικε τὸ πρᾶγμα χειμάῤῥων παρόδῳ, ἀμετρήτῳ θα-
λάσσης ἐμπιπτόντων βυθῷ· (ῥευστὰ γὰρ οὕτως εἰσὶ τὰ παρόντα καὶ
πρόσκαιρα), συνῆκα, ὡς τὰ τοιαῦτα, μάταια πάντα, καὶ ὄνησις αὐτῶν
οὐδεμία· ἀλλ' ὥσπερ τὰ πρότερα πάντα λήθῃ κέκρυπται, εἴτε δόξαν
εἴποις, εἴτε βασιλείαν, εἴτε ἀξιωμάτων λαμπρότητας, εἴτε δυναστείας
ὄγκον, εἴτε τυράννων θρασύτητα, εἴτε τι τῶν τοιούτων, οὕτω καὶ τὰ
ἐνεστῶτα εἰς τοὺς μετέπειτα χρόνους ἀμαυρωθήσεται· ὧνπερ κἀγὼ
εἷς ὑπάρχων, τῇ συνήθει πάντως ἀλλοιώσει ὑποπεσοῦμαι· καὶ καθὼς
οἱ πρὸ ἐμοῦ δι' αἰῶνος τέρπεσθαι τοῖς παροῦσιν οὐ συνεχωρήθησαν,
οὕτως ἔσται καὶ ἐπ' ἐμοί.

Κατεῖδον γὰρ οἷα τοῖς ἀνθρώποις ὁ τύραννος οὗτος καὶ ταραχώδης
κατεργάζεται κόσμος, μετατιθεὶς αὐτοὺς ἔνθεν κἀκεῖθεν· οὓς μὲν ἐκ
πλούτου πρὸς πενίαν, οὓς δὲ ἐκ πτωχείας εἰς δόξαν· τούτους μὲν ἐξά-
γων τοῦ βίου, ἄλλους δ' αὖθις ἀντεισάγων· τινὰς μὲν σοφοὺς καὶ
συνετοὺς ἀποδοκιμάζων, ἀτίμους τε καὶ εὐτελεῖς, τιμίους καὶ περι-
φανεῖς ἐργαζόμενος· ἄλλους δὲ ἀσόφους καὶ ἀσυνέτους ἐπὶ θρόνου δό-
ξης καθίζων, τιμίους τε τοὺς ἀτίμους, καὶ ἐμφανεῖς πᾶσι δεικνύων·
καὶ ἔστιν ἰδεῖν τὸ τῶν ἀνθρώπων γένος μηδόλως κατὰ πρόσωπον τῆς
αὐτοῦ ἀπηνοῦς τυραννίδος ἔχον στάσιν· ἀλλ' ὡς ὅταν περιστερὰ φεύ-

www.tezaurliturgic.ro



γουσα ἀετόν, εἴτε ἱέρακα, τόπους ἐκ τόπων ἀμείβει, νῦν μὲν τούτῳ
τῷ δένδρῳ, αὖ δ' ἐκείνῃ τῃ θάμνῳ, εἶτ' εὐθὺς τρώγλαις τῶν πετρῶν,
καὶ παντοίαις ἀκάνθαις ἑαυτὴν προσερείδουσα, καὶ οὐδαμοῦ εὑρίσκουσα
προσφύγιον ἀσφαλές, ἐν σάλῳ καὶ ταλαντώσει ταλαιπωρεῖται διηνε-
κεῖ, οὕτως εἰσὶν οἱ τοῖς παροῦσιν ἐπτοημένοι· ὑφ' ὁρμῆς μὲν ἀλογί-
στου ἀθλίως πονοῦντες, μηδόλως δέ τι ἔχοντες βέβαιον, ἢ ἀσφαλές,
μήτ' ἐπιστάμενοι εἰς ὁποῖον καταστῶσι τέλος, καὶ ποῦ τούτους ὁ μά-
ταιος ἄγει βίος, ᾧ καθυπέταξαν ἑαυτοὺς λίαν δυστυχῶς καὶ ἀθλίως,
πονηρὰ μὲν ἑλόμενοι ἀντὶ ἀγαθῶν, μετελθόντες δὲ κακίαν ἀντὶ χρη-
στότητος· ἢ τίς ὁ τὰς ψυχρὰς τῶν πολλῶν καὶ μοχθηρῶν αὐτῶν κα-
μάτων διαδεξάμενος ἐπικαρπίας, εἴτε οἰκεῖος, εἴτε ἀλλότριος· καὶ πολ-
λάκις οὐδὲ φίλος ὅλως, ἢ γνωστός, ἀλλ' ἐχθρὸς καὶ πολέμιος.

Ταῦτα πάντα καὶ τὰ τούτοις ὅμοια διακρίνας ἐν τῷ τῆς ψυχῆς κρι-
τηρίῳ, ἐμίσησα τὸν σύμπαντα βίον τὸν ἐν τοῖς ματαίοις ἀναλωθέντα,
ὃν διήγαγον τοῖς περὶ γῆν πόνοις προστετηκώς· ἀποβαλλομένῳ δέ
μοι τῆς ψυχῆς τὴν τούτων προσπάθειαν, καὶ ἀποῤῥίψαντι, κατεφάνη
τὰ τῷ ὄντι ἀγαθά, τὸ φοβεῖσθαι τὸν Θεόν, καὶ ποιεῖν αὐτοῦ τὸ θέλημα·
τοῦτο γὰρ ἔγνων πάντων κεφάλαιον τῶν ἀγαθῶν ὑπάρχειν· τοῦτο καὶ
ἀρχὴ σοφίας λέγεται, καὶ σοφία τετελειωμένη· ζωὴ γάρ ἐστιν ἄλυ-
πος, καὶ ἀνεπηρέαστος τοῖς ἀντεχομένοις αὐτῆς· καὶ τοῖς ἐπερειδομέ-
νοις ἐπ' αὐτήν, ὡς ἐπὶ Κύριον ἀσφαλής. Ἐπιστήσας οὖν μου τὸν λο-
γισμὸν τῇ ἀπλανεστάτῃ ὁδῷ τῶν ἐντολῶν τοῦ Κυρίου, ἔγνων ἀκριβῶς
μηδὲν ἐν αὐτῇ σκολιόν, ἢ στραγγαλιῶδες ὑπάρχειν, μήτε φαράγγων
καὶ σκοπέλων, ἀκανθῶν τε καὶ τριβόλων πεπληρωμένην, ἀλλ' ὅλην
λείαν καθεστηκέναι καὶ ὁμαλήν, τέρπουσαν μὲν τοὺς ὀφθαλμοὺς τῶν
αὐτὴν ὁδευόντων ταῖς φανοτάταις θεωρίαις, ὡραΐζουσαν δὲ τοὺς πό-
δας, καὶ ὑποδύουσαν τὴν ἑτοιμασίαν τοῦ Εὐαγγελίου τῆς εἰρήνης,
τοῦ ἀσφαλῶς τε καὶ συντόμως βαδίζειν· ἥνπερ πάντων δικαίως προ-
έκρινα, καὶ οἰκοδομεῖν ἠρξάμην τὴν πεσοῦσάν μου τῆς ψυχῆς καὶ
φθαρεῖσαν οἰκίαν.

Οὕτω μου τὰ κατ' ἐμαυτὸν διατιθεμένου, καὶ τὸ σφαλερὸν τοῦ νοὸς
ἐπανορθοῦντος, ῥημάτων ἀκήκοα σοφοῦ τινος διδασκάλου, τοιαῦτά μοι
ἐκβοῶντος· ἐξέλθετέ, φησι, πάντες οἱ ποθοῦντες σωθῆναι· ἀποχωρί-
σθητε τῆς ματαιότητος τοῦ κόσμου· παράγει γὰρ τὸ σχῆμα αὐτοῦ μι-
κρὸν ὅσον, καὶ ἰδοὺ οὐκ ἔσται· ἐξέλθετε ἀμεταστρεπτί, μὴ προῖκα δὲ
καὶ ἀμισθί, ἀλλ' ἐφόδια φερόμενοι ζωῆς αἰωνίου· μακρὰν γὰρ μέλλετε
βαδίζειν ὁδόν, πολλῶν ἔχουσαν χρείαν τῶν ἐντεῦθεν ἐφοδίων· καὶ
καταλαμβάνειν τὸν αἰώνιον τόπον, χώρας ἔχοντα δύο, πολλὰς ἐν ἑαυ-



ταῖς μονὰς ἐχούσας· ὧν τὴν μὲν μίαν ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγα-
πῶσιν αὐτόν, καὶ τὰς αὐτοῦ φυλάττουσιν ἐντολάς, παντοίων οὖσαν
ἀγαθῶν πεπληρωμένην· ἧς περ οἱ ἀξιωθέντες, ἐν ἀφθαρσίᾳ ζήσονται
διηνεκεῖ, τῆς ἀνωλέθρου ἀπολαύοντες ἀθανασίας, ἔνθα ἀπέδρα ὀδύνη,
καὶ λύπη, καὶ στεναγμός· ἡ δὲ δευτέρα σκότους οὖσα μεστή, καὶ θλί-
ψεως, καὶ ὀδύνης, τῷ διαβόλῳ ἡτοίμασται, καὶ τοῖς ἀγγέλοις αὐτοῦ,
ἐν ᾗ βληθήσονται καὶ οἱ δι' ἔργων πονηρῶν ἑαυτοῖς ταύτην προξενή-
σαντες, οἱ τῶν ἀφθάρτων καὶ αἰωνίων τὰ παρόντα ἀνταλλαξάμενοι,
καὶ ὅλους ἑαυτοὺς κατάβρωμα τοῦ αἰωνίου πυρὸς ποιησάμενοι.

Ταύτης ἐγὼ τῆς φωνῆς ἀκούσας, καὶ τὸ ἀψευδὲς αὐτῆς ἐπιγνούς,
ἐκεῖνο καταλαβεῖν τὸ κατάλυμα ἔργον ἐθέμην, τὸ πάσης μὲν ἀπηλ-
λαγμένον ὀδύνης τε καὶ λύπης, τοσαύτης δὲ ἀσφαλείας, καὶ τοιούτων
ἀγαθῶν πλῆρες ὑπάρχον, ὧν ἡ γνῶσις νυνὶ μὲν ἐκ μέρους ἐστὶν ἐν
ἐμοί, νηπίῳ τε ὄντι τὴν πνευματικὴν ἡλικίαν, καὶ ὡς δι' ἐσόπτρων καὶ
αἰνιγμάτων τὰ ἐκεῖθεν βλέποντι· ὅτε δὲ ἔλθῃ τὸ τέλειον, καὶ ἐπιγνώ-
σομαι πρόσωπον πρὸς πρόσωπον, τότε τὸ ἐκ μέρους καταργηθήσεται.
«Εὐχαριστῶ τοίνυν τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ὁ
γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με
ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου,» (Ῥωμ. ζ'. 25, καὶ ή. 2),
καὶ διήνοιξέ μου τοὺς ὀφθαλμοὺς ἀπλανῶς κατιδεῖν, ὅτι τὸ φρό-
νημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰ-
ρήνη. Καθάπερ οὖν ἐγὼ τῶν παρόντων ἐπιγνοὺς τὴν ματαιότητα, τέ-
λειον αὐτὰ ἐμίσησα μῖσος, οὕτω δὴ καὶ σὲ γινώσκειν περὶ τούτων
συμβουλεύω· ἵν' ὡς ἀλλοτρίοις διατεθῇς αὐτοῖς, καὶ θᾶττον παρερχο-
μένοις· ἀφελόμενος δ' ἐντεῦθεν πάντα, θησαυρίσῃς ἐν τῷ ἀφθάρτῳ
νυμφῶνι θησαυρὸν ἀσύλητον, πλοῦτον ἀδάπανον, ἔνθα σε δεῖ ἀνυπερ-
θέτως πορευθῆναι· ἵν' ὅταν ἀπέλθῃς, οὐχ ὑστερούμενος ἔσῃ, ἀλλὰ
πλούτῳ βρίθων, καθάπερ σοι τὴν τούτων ἀνεθέμην ἀνωτέρω καταλ-
ληλοτάτην εἰκόνα.

Λέγει ὁ Ἰωάσαφ τῷ γέροντι· πῶς οὖν δυνήσομαι θησαυροὺς χρη-
μάτων, καὶ πλοῦτον ἐκεῖσε προπέμπειν, ὡς ἂν ἄσυλον αὐτῶν καὶ ἀν-
ώλεθρον τὴν ἀπόλαυσιν ἀπελθὼν εὕρω; πῶς δὲ δείξω τὸ πρὸς τὰ πα-
ρόντα μου μῖσος, καὶ τῶν αἰωνίων ἀνθέξομαι; μάλα σαφήνισόν μοι.
Καί φησιν ὁ Βαρλαάμ· ἡ μὲν τοῦ πλούτου πρὸς τὸν αἰώνιον τόπον
προπομπή, ταῖς χερσὶ γίνεται τῶν πενήτων· φησὶ γάρ τις τῶν Προ-
φητῶν Δανιὴλ ὁ σοφώτατος τῷ βασιλεῖ Βαβυλῶνος· «Διὰ τοῦτο,
βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημο-
σύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων» (Δαν.

www.tezaurliturgic.ro



δ΄. 24). Λέγει δὲ καὶ ὁ Σωτήρ· «ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας, ἵν᾽ ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνὰς» (Λουκ. ις΄. θ΄). Καὶ πολὺν ἄνω τε καὶ κάτω λόγον ὁ Δεσπότης τῆς ἐλεημοσύνης καὶ μεταδόσεως τῶν πενήτων ποιεῖται, καθὼς ἐν τῷ εὐαγγελίῳ μανθάνομεν. Οὕτω μὲν οὖν ἀσφαλέστατα λίαν προπέμψῃς ἐκεῖσε πάντα ταῖς τῶν δεομένων χερσίν· ὅσα γὰρ εἰς τούτους ποιήσεις, ἑαυτῷ ὁ Δεσπότης οἰκειούμενος, πολλαπλασίως σε ἀνταμείψεται· νικᾷ γὰρ ἀεὶ ταῖς τῶν δωρεῶν ἀντιδόσεσι τοὺς ἀγαπῶντας αὐτόν.

Τούτῳ μὲν οὖν τῷ τρόπῳ τέως τοὺς θησαυροὺς τοῦ σκότους τοῦ αἰῶνος τούτου συλήσας, ᾧ τεταλαιπώρηκας, πολὺν ἤδη χρόνον δουλεύων, καλῶς ἐκ τούτου πρὸς τὸ μέλλον ἐφοδιασθήσῃ, διὰ τῶν ῥευστῶν τούτων καὶ προσκαίρων τὰ ἑστῶτα καὶ μόνιμα ἐξωνησάμενος· ἔπειτα τοῦ Θεοῦ συνεργοῦντός σοι, κατανοήσεις τὸ ἄστατον τοῦ κόσμου καὶ ἀνώμαλον, καὶ χαίρειν πᾶσιν εἰπών, πρὸς τὸ μέλλον μεθορμισθήσῃ· παραδραμὼν μὲν τὰ παρατρέχοντα, τοῖς ἐλπιζομένοις δὲ καὶ ἱσταμένοις προστεθείς· καὶ τὸ σκότος ἀπολιπὼν σὺν τῇ σκιᾷ τοῦ θανάτου, μισήσας δὲ τὸν κόσμον καὶ κοσμοκράτορα, καὶ τὴν φθειρομένην σάρκα ἐχθρὰν ἑαυτῷ λογισάμενος, τῷ φωτὶ προσδράμῃς τῷ ἀπροσίτῳ· καὶ τὸν σταυρὸν ἐπ᾽ ὤμων ἄρας, ἀκολουθήσεις αὐτῷ ἀμεταστρεπτί, ἵνα καὶ σὺν αὐτῷ δοξασθῇς, καὶ τῆς οὐκ ἔτι μεταπιπτούσης ζωῆς, οὐδὲ ἀπατηλῆς, ἀναδειχθῇς κληρονόμος. Ὁ δὲ Ἰωάσαφ, τὸ πάντων οὖν, φησιν, ὑπεριδεῖν, καὶ ἐπίπονον οὕτως ἀναλαβέσθαι βίον, καθάπερ εἴρηκας ἀνωτέρω, παράδοσίς ἐστιν ἀρχαία ἐκ τῆς τῶν Ἀποστόλων κατιοῦσα διδαχῆς, ἢ ἔναγχος ὑμῖν ἐπινενόηται, τῇ τοῦ νοὸς ὑμῶν ἐπιστήμῃ, κρεῖττον ἐκλεξαμένοις τοῦτο; Πρὸς ὃν ὁ γέρων ἔφη· οὐ νόμον προσφάτως ἐπεισαχθέντα διδάσκω σε, μὴ γένοιτο· ἀλλ᾽ ἔκπαλαι δοθέντα ἡμῖν· εἶπε γὰρ ὁ Κύριος πλουσίῳ τινὶ ἐπερωτήσαντι αὐτῷ, τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; καὶ καυχωμένῳ πάντα φυλάττειν τὰ γεγραμμένα ἐν τῷ νόμῳ, «ἕν σοι, φησίν, ὑστερεῖ· ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν· ἦν γὰρ πλούσιος σφόδρα. Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον εἶπε, πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.» (Μάρκ. ί. 21. Λουκ. ιή. 22. Ματθ. ιθ΄. 21.) Ταύτης οὖν τῆς ἐντολῆς πάντες ἀκούσαντες οἱ ἅγιοι, ἀποχωρισθῆναι πάντῃ τῆς τοιαύτης τοῦ πλού-



του δυσκολίας ἐφρόντισαν· καὶ πάντα σκορπίσαντες, καὶ διὰ τῆς τῶν πενήτων διαδόσεως πλοῦτον ἑαυτοῖς αἰώνιον προαποθέμενοι, ἦραν τὸν σταυρόν, καὶ τῷ Χριστῷ ἠκολούθησαν· οἱ μὲν μαρτυρικῶς, καθὰ δὴ καὶ εἶπόν σοι, τελειωθέντες, οἱ δὲ ἀσκητικῶς ἀγωνισάμενοι, καὶ μηδὲν ἐκείνων ἀπολιπόντες τῇ ἀγωγῇ τῆς ἀληθινῆς ταύτης φιλοσοφίας. Ἐντολὴν οὖν ταύτην γίνωσκε Χριστοῦ τοῦ βασιλέως ἡμῶν καὶ Θεοῦ, ἀπάγουσαν ἡμᾶς τῶν φθαρτῶν, καὶ τῶν ἀϊδίων μετόχους ἐργαζομένην.

Παλαιᾶς οὖν, φησιν ὁ Ἰωάσαφ, καὶ οὕτως ἀναγκαίας οὔσης τῆς τοιαύτης φιλοσοφίας, πῶς οὐ πολλοὶ σήμερον ζηλοῦσι τουτονὶ τὸν βίον; Ὁ δὲ γέρων ἔφη· πολλοὶ μὲν ἐζήλωσαν καὶ ζηλοῦσιν, οἱ πλεῖστοι δὲ ὀκνοῦσι καὶ ἀναδύονται· ὀλίγοι γάρ, καθά φησιν ὁ Κύριος, οἱ τῆς στενῆς ὁδοῦ καὶ τεθλιμμένης ὁδοιπόροι· τῆς ἀνειμένης δὲ καὶ πλατείας οἱ πλείους· οἱ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας καὶ τῶν τῆς φιληδονίας κακῶν ἁλόντες, τῇ κενῇ δὲ καὶ ματαίᾳ προστετηκότες δόξῃ, δυσαποσπάστως αὐτῶν ἔχουσιν, ὡς ἅτε δούλους ἑαυτοὺς ἑκουσίως ἀπεμπολήσαντες ἀλλοτρίῳ δεσπότῃ, καὶ ἀπεναντίας ἱστάμενοι τῷ ταῦτα ἐπιτάττοντι Θεῷ, καὶ δέσμιοι αὐτῷ κατεχόμενοι· ψυχὴ γὰρ καθάπαξ ἀπογνοῦσα τῆς οἰκείας σωτηρίας, τὰς ἡνίας αὐτῆς ἐνδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις, πανταχοῦ φέρεται. Διὰ τοῦτο ὀλοφυρόμενος ὁ Προφήτης τὴν περικεχυμένην ἄνοιαν ταῖς τοιαύταις ψυχαῖς καὶ τῆς ἐπικειμένης αὐταῖς ἀχλύος τὴν παχύτητα θρηνῶν, ἔλεγεν· «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;» (Ψαλμ. δ΄. 3). Ὥσπερ τις καὶ τῶν ἡμετέρων σοφῶν διδασκάλων (Γρηγόρ.) θεολογικώτατος ἀνὴρ συνᾴδων τῷ Προφήτῃ, καὶ τινα παρ᾽ ἑαυτῷ προστιθείς, ἐβόα πᾶσιν ὡς ἐξ ἀπόπτου τινὸς καὶ ὑψηλοτάτης περιωπῆς· «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος, μέγα τι τὸν ἐνταῦθα βίον, καὶ τὴν τρυφήν, καὶ τὸ μικρὸν δοξάριον, καὶ τὴν ταπεινὴν δυναστείαν, καὶ τὴν ψευδομένην εὐημερίαν ὑπολαμβάνοντες; ἃ μὴ τῶν ἐχόντων μᾶλλόν ἐστιν ἢ τῶν ἐλπισάντων; ὥσπερ χοῦς ὑπὸ λαίλαπος ἄλλοτε εἰς ἄλλους ῥιπιζόμενα καὶ μεταρριπτούμενα, ἢ ὥσπερ καπνὸς διαρρέοντα, καὶ ὡς ὄναρ παίζοντα, καὶ ὡς σκιὰ μὴ κρατούμενα, οὔτε ἀπόντα δυσέλπιστα τοῖς οὐ κεκτημένοις, οὔτε παρόντα πιστὰ τοῖς ἔχουσιν;

Οὕτως οὖν τοῦ Σωτῆρος ἐντελλομένου, τῶν Προφητῶν τε καὶ Ἀποστόλων κηρυττόντων, καὶ τῶν Ἁγίων πάντων ἔργῳ τε καὶ λόγῳ εἰς τὴν τῆς ἀρετῆς συνωθούντων ἡμᾶς ἀπλανεστάτην ὁδόν, κἂν ὀλίγοι οἱ ταύτην διοδεύοντες, πλείους δὲ οἱ τὴν εὐρύχωρον καὶ πρὸς ἀπώ-

www.tezaurliturgic.ro



λειαν ἄγουσαν προκρίνοντες, οὐκ ἐκ τούτου ἡ πολιτεία τῆς ἐνθέου ταύτης κατασμικρυνθήσεται φιλοσοφίας· ἀλλὰ καθάπερ ὁ ἥλιος εἰς φαῦσιν πᾶσιν ἀνατέλλων, ἀφθόνως αὐτοῦ τὰς ἀκτῖνας προπέμπει, πάντας φωτίζεσθαι προτρεπόμενος, οὕτω καὶ ἡ ἀληθὴς φιλοσοφία τοὺς αὐτῆς ἐραστὰς ἡλίου δίκην φωταγωγεῖ, καὶ περιλάμπει, καὶ λαμπροὺς ἀποδείκνυσιν· εἰ δέ τινες μύσαντες τοὺς ὀφθαλμούς, κατιδεῖν αὐτοῦ τὸ φέγγος οὐ θελήσουσιν, οὔτε μεμπτέος παρὰ τοῦτο ὁ ἥλιος, οὔτε τοῖς λοιποῖς παροπτέος· οὔτε μὴν ἡ δόξα τῆς αὐτοῦ λαμπρότητος διὰ τῆς ἐκείνων ἀτιμασθήσεται ἀβελτηρίας· ἀλλ᾽ ἐκεῖνοι μὲν ἑαυτοὺς τοῦ φωτὸς ἀποστερήσαντες, ὡς τυφλοὶ ψηλαφήσουσι τοῖχον, πολλοῖς δὲ ἐμπεσοῦνται βόθροις, καὶ πολλαῖς ἐκκεντησθήσονται τὰς ὄψεις ἀκάνθαις· καὶ ὃν τρόπον ὁ ἥλιος ἐπὶ τῆς ἰδίας ἱστάμενος λαμπρότητος, φωτιεῖ τοὺς ἀνακεκαλυμμένῳ προσώπῳ τὸ φέγγος αὐτοῦ κατοπτριζομένους, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ τοῦ Χριστοῦ φῶς φαίνει μὲν πᾶσι πλουσίως, μεταδίδωσι δὲ ἡμῖν τῆς αὐτοῦ λαμπηδόνος, μετέχει δὲ ἕκαστος, καθ᾽ ὅσον ἐφέσεως ἔχει καὶ προθυμίας· οὔτε γὰρ ἀποστερεῖ τινα τῶν βουλομένων αὐτῷ ἀτενίζειν ὁ ἥλιος τῆς δικαιοσύνης, οὔτε μὴν βιάζεται τοὺς ἑκουσίως τὸ σκότος ἐκλεγομένους· ἀλλὰ τῇ ἰδίᾳ ἕκαστος ἐφεῖται αὐτεξουσίῳ προαιρέσει, ἕως ἐν τῷ παρόντι βίῳ ἐστί.

Τοῦ δὲ τοῦ Ἰωάσαφ πυθομένου τί τὸ αὐτεξούσιον, καὶ τί προαίρεσις, φησὶν ὁ γέρων· αὐτεξουσιότης μέν ἐστι ψυχῆς λογικῆς θέλησις, ἀκωλύτως κινουμένη πρὸς ὅπερ ἂν βούλοιτο, εἴτε ἀρετήν, εἴτε κακίαν, οὕτως ὑπὸ τοῦ δημιουργοῦ γενομένης. Αὐτεξουσιότης αὖθίς ἐστι, νοερὰ τῆς ψυχῆς κίνησις αὐτοκρατής. Προαίρεσις δέ ἐστιν, ὄρεξις βουλευτικὴ τῶν ἐφ᾽ ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς, ἐφιέμεθα προαιρούμενοι. Βουλὴ δέ ἐστιν, ὄρεξις ζητητική, περὶ τῶν ἐφ᾽ἡμῖν πρακτέων γινομένη· βουλεύεται γάρ τις, εἰ ὤφειλε μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ· εἶτα κρίνει τὸ κρεῖττον καὶ γίνεται κρίσις· εἶτα διατίθεται καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βουλῆς κριθέν, καὶ λέγεται γνώμη· ἐὰν γὰρ κρίνῃ, καὶ μὴ διατεθῇ πρὸς τὸ κριθέν, ἤγουν ἀγαπήσει αὐτό, οὐ λέγεται γνώμη· εἶτα μετὰ τὴν διάθεσιν γίνεται προαίρεσις, ἤγουν ἐπιλογή· προαίρεσις γάρ ἐστι, δύο προκειμένων, τὸ αἱρεῖσθαι καὶ ἐκλέγεσθαι τοῦτο πρὸ τοῦ ἑτέρου· καὶ τοῦτο φανερόν, ὅτι βουλή ἐστι μετ᾽ ἐπικρίσεως ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας· προαιρετὸν γάρ ἐστι τὸ ἕτερον πρὸ τοῦ ἑτέρου αἱρετόν· οὐδεὶς δὲ προκρίνει τι, μὴ βουλευσάμενος· οὐδὲ προαιρεῖται, μὴ προκρίνας· ἐπειδὴ γὰρ οὐ πάντα τὰ δόξαντα ἡμῖν εὖ ἔχειν εἰς ἔργον ἀγαγεῖν προθυμούμεθα,



τότε προαίρεσις καὶ προαιρετὸν γίνεται τὸ προκριθὲν ἐκ τῆς βουλῆς, ὅταν προλάβῃ τὴν ὄρεξιν· καὶ οὕτω συνάγεται προαίρεσιν εἶναι, ὄρεξιν βουλευτικὴν τῶν ἐφ᾽ ἡμῖν, ἢ βούλησιν ὀρεκτικὴν τῶν ἐφ᾽ ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς, ἐφιέμεθα προαιρούμενοι· πᾶσα γὰρ βουλή, πράξεως ἕνεκα, καὶ διὰ πρᾶξιν· καὶ οὕτω πάσης μὲν προαιρέσεως, βουλὴ ἡγεῖται, πάσης δὲ πράξεως, προαίρεσις.

Διὰ τοῦτο οὐ μόνον αἱ πράξεις, ἀλλὰ καὶ τὰ κατὰ διάνοιαν, ἅτινα τὰς προαιρέσεις παριστῶσι, καὶ στεφάνους, καὶ κολάσεις προξενοῦσιν· ἀρχὴ γὰρ ἁμαρτίας καὶ δικαιοπραγίας, προαίρεσίς ἐστιν, ἐν τοῖς φ᾽ ἡμῖν καταγομένη· ὧν γὰρ αἱ ἐνέργειαι ἐφ᾽ ἡμῖν, τούτων καὶ αἱ πράξεις αἱ κατὰ τὴν ἐνέργειαν ἐφ᾽ ἡμῖν· ἐφ᾽ ἡμῖν δὲ αἱ κατὰ τὴν ἀρετὴν ἐνέργειαι, ἐφ᾽ ἡμῖν ἄρα καὶ αἱ ἀρεταί· κυρίως γὰρ ἐφ᾽ ἡμῖν ἐστι, τὰ ψυχικὰ πάντα, καὶ περὶ ὧν βουλευόμεθα. Οὕτως αὐτεξουσίως βουλευομένων τῶν ἀνθρώπων, καὶ αὐτεξουσίως προαιρουμένων, καθ᾽ ὅσον ἄν τις προαιρεῖται, κατὰ τοσοῦτον μετέχει τοῦ θείου φωτός, καὶ προκόπτει ἐν τοῖς τῆς φιλοσοφίας ἐπιτηδεύμασι· διαφοραὶ γὰρ προαιρέσεων εἰσί· καὶ καθάπερ τινὲς πηγαὶ ὑδάτων ἐκ τῶν τῆς γῆς λαγόνων ἀναπεμπόμεναι, αἱ μέν, ἐπιπολαίως τῆς γῆς ἐκβλύζουσιν, αἱ δέ, μικρόν τι βαθύτερον, αἱ δὲ λίαν βαθέως· τούτων δὲ τῶν ὑδάτων, τὰ μὲν προσεχῶς βλύζοντα, καὶ τῇ γεύσει γλυκέα· τὰ δὲ βαθέως ἐξερχόμενα, καὶ ἁλμυρίζοντα. καὶ τὰ μέν, ἀφθόνως ἐκδιδόμενα, τὰ δέ, κατὰ μικρὸν σταλάζοντα, οὕτω καὶ ἐπὶ τῶν προαιρέσεων νόει· τὰς μέν, ταχείας εἶναι, καὶ λίαν θερμοτάτας· τὰς δέ, νωθράς, καὶ ψυχράς· καὶ τὰς μέν, ὅλως ἐπὶ τὰ καλὰ τὴν ῥοπὴν κεκτημένας, τὰς δέ, πρὸς τὸ ἐναντίον πάσῃ δυνάμει ἀποκλινούσας. Κατὰ γοῦν τὰς αὐτῶν διαθέσεις, καὶ αἱ πρὸς τὰς πράξεις ἀκολουθοῦσιν ὁρμαί.

Λέγει οὖν ὁ Ἰωάσαφ πρὸς τὸν γέροντα· εἰσὶν οὖν καὶ ἕτεροί τινες νῦν οἱ κατὰ ταῦτα κηρύττοντες ὥσπερ σύ, ἢ μόνος εἶ σήμερον σὺ ὁ ταῦτα διδάσκων, καὶ οὕτω μισητὸν τὸν παρόντα βίον εἰσηγούμενος; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐν τῇ καθ᾽ ὑμᾶς δυστυχεστάτῃ χώρᾳ ταύτῃ, οὐδένα γινώσκω· ἡ γὰρ τοῦ σοῦ πατρὸς τυραννὶς μυρίοις τούτους θανάτοις περιέβαλε· καὶ ἔργον ἔθετο μὴ τὸ σύνολον ἀκούεσθαι ἐν ὑμῖν τὸ τῆς Θεογνωσίας κήρυγμα· ἐν πάσαις δὲ ταῖς λοιπαῖς γλώσσαις ᾄδεται ταῦτα καὶ δοξάζεται· οἷς μέν, ὀρθοτότῳ λόγῳ, ἄλλοις δέ, διεστραμμένως· τοῦ πολεμίου τῶν ἡμετέρων ψυχῶν ἐκκλίνειν αὐτοὺς τῆς εὐθείας ποιησαμένου, καὶ ἀλλοτρίαις καταμερισαμένου δόξαις, ῥήσεις τινὰς τῶν γραφῶν ἄλλως, καὶ οὐ κατὰ τὸν ἐγκείμενον νοῦν μεθερμηνεύειν διδάσκοντος· μία δέ ἐστιν ἀλήθεια, ἡ κηρυχθεῖσα διὰ

www.tezaurliturgic.ro



τῶν ἐνδόξων Ἀποστόλων, καὶ τῶν θεοφόρων Πατέρων, καὶ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ τῇ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης ἡλίου φαιδρότερον διαλαμπούσῃ· ἧσπερ ἐγὼ κῆρυξ καὶ διδάσκαλος ἀπεστάλην σοι.

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· οὐδὲν οὖν τούτων ὁ ἐμός ποτε μεμάθηκε πατήρ; Καί φησιν ὁ γέρων· τρανῶς μὲν καὶ προσηκόντως οὐδέν μεμάθηκε· βύων γὰρ τὰς αἰσθήσεις, τὸ ἀγαθὸν ἑκὼν οὐ προσδέχεται, πρὸς τὸ κακὸν αὐτοπροαιρέτως τὴν ῥοπὴν κεκτημένος. Ἀλλ' ἤθελόν, φησιν ὁ Ἰωάσαφ, κἀκεῖνον ταῦτα μυηθῆναι. Φησὶ δὲ ὁ γέρων· τὰ παρὰ ἀνθρώποις ἀδύνατα, τῷ Θεῷ πάντα δυνατά ἐστι· τί γὰρ οἶδας, εἰ σύ σώσεις τὸν σὸν πατέρα, καὶ τρόπῳ θαυμασίῳ γεννήτωρ τοῦ σοῦ χρηματίσεις γεννήτορος; Ἀκήκοα γὰρ βασιλέα τινὰ γεγονότα, πάνυ καλῶς τὴν αὐτοῦ οἰκονομοῦντα βασιλείαν, πράως τε καὶ ἠπίως τῷ ὑπ' αὐτὸν κεχρημένῳ λαῷ· ἐν τούτῳ δὲ μόνον σφαλλόμενον, τὸ μὴ ἔχειν τὸν τῆς θεογνωσίας φωτισμόν, ἀλλὰ τῇ πλάνῃ τῶν εἰδώλων κατέχεσθαι. Εἶχε δέ τινα σύμβουλον ἀγαθόν, παντοίοις κεκοσμημένον χαρίσμασι, τῇ τε πρὸς Θεὸν εὐσεβείᾳ, καὶ τῇ λοιπῇ πάσῃ ἐναρέτῳ σοφίᾳ· ὅς, ἀχθόμενος καὶ δυσχεραίνων ἐπὶ τῇ πλάνῃ τοῦ βασιλέως, καὶ βουλόμενος αὐτὸν περὶ τούτου ἐλέγξαι, ἀνεχαιτίζετο τῆς ὁρμῆς, δεδοικὼς μὴ κακῶν πρόξενος ἑαυτῷ τε καὶ τοῖς αὐτοῦ ἑταίροις γένοιτο, καὶ τὴν γινομένην δι' αὐτοῦ πολλῶν ὠφέλειαν περικόψειεν· ἐζήτει δὲ ὅμως καιρὸν εὔθετον τοῦ ἑλκύσαι αὐτὸν πρὸς τὸ ἀγαθόν. Φησὶν οὖν ἐν μιᾷ νυκτὶ πρὸς αὐτὸν ὁ βασιλεύς· δεῦρο δὴ ἐξέλθωμεν, καὶ ἐμπεριπατήσωμεν τὴν πόλιν, εἴπου τι τῶν ὀφειλομένων ὀψόμεθα. Ἐμπεριπατούντων δὲ αὐτῶν τὴν πόλιν, εἶδον φωτὸς αὐγὴν ἀπό τινος τρυμαλιᾶς λάμπουσαν· καὶ ταύτῃ τοὺς ὀφθαλμοὺς ἐπιβαλόντες, βλέπουσιν ὑπόγειόν τι ἀντρῶδες οἴκημα, ἐν ᾧ ἐκαθέζετο ἀνήρ, ἐσχάτῃ συζῶν πενίᾳ, καὶ εὐτελῆ τινα περικείμενος ῥάκια· παρίστατο δὲ ἡ γυνὴ αὐτοῦ οἶνον κιρνῶσα· τοῦ δὲ ἀνδρὸς τὴν κύλικα ἐπὶ χεῖρας λαβόντος, λιγυρὸν ᾄδουσα μέλος ἐκείνη, τέρψιν αὐτῷ ἐνεποίει ὀρχουμένη, καὶ τὸν ἄνδρα ἐγκωμίοις καταθέλγουσα.

Οἱ περὶ τὸν βασιλέα τοίνυν ἐπὶ ὥραν ἱκανὴν ταῦτα κατανοοῦντες, ἐθαύμαζον, ὅτι τοιαύτῃ πιεζόμενοι πενίᾳ, ὡς μήτε οἴκου εὐπορεῖν, μήτ' ἐσθῆτος, οὕτως εὐθύμως τὸν βίον διῆγον. Καί φησιν ὁ βασιλεὺς τῷ πρωτοσυμβούλῳ αὐτοῦ· ὢ τοῦ θαύματος, φίλε, ὅτι ἐμοί τε καὶ σοὶ οὐδ' οὕτως ὁ καθ' ἡμᾶς ποτε ἤρεσε βίος, τοσαύτῃ δόξῃ καὶ τρυφῇ διαλάμποντας, ὡς ἡ εὐτελὴς αὕτη καὶ ταλαίπωρος ζωὴ τούτους δὴ τοὺς ἀνοήτους τέρπει καὶ ἡδύνει, λεῖος αὐτοῖς καὶ προσηνὴς ὁ τρα-



χὺς οὗτος καὶ ἀπευκταῖος βίος καταφαινόμενος. Εὐκαίρου δὲ δραξάμενος ὥρας ὁ πρωτοσύμβουλος, ἔφη· ἀλλὰ σοί γε, βασιλεῦ, πῶς ἡ τούτων φαίνεται βιοτή; Πάντων, φησὶν ὁ βασιλεύς, ὧν πώποτε ἑώρακα, ἀηδεστάτη καὶ δυστυχεστάτη, βδελυκτή τε καὶ ἀποτρόπαιος. Τότε λέγει πρὸς αὐτὸν ὁ πρωτοσύμβουλος· οὕτως οὖν εὖ ἴσθι, βασιλεῦ, καὶ πολλῷ χαλεπώτερος ὁ καθ' ἡμᾶς λελόγισται βίος τοῖς ἐπόπταις καὶ μύσταις τῆς ἀϊδίου δόξης ἐκείνης, καὶ τὸν πάντα νοῦν ὑπερβαινόντων ἀγαθῶν· αἵ τε χρυσῷ καταστίλβουσαι οἰκίαι, καὶ τὰ λαμπρὰ ταῦτα ἐνδύματα, καὶ ἡ λοιπὴ τοῦ βίου τρυφὴ σκυβάλων τε καὶ ἀμαυρῶν εἰσὶν ἀηδέστερα τοῖς ὀφθαλμοῖς τῶν εἰδότων τὰ ἀνεκδιήγητα κάλλη τῶν ἐν οὐρανοῖς ἀχειροτεύκτων σκηνωμάτων, τῆς θεοϋφάντου τε στολῆς, καὶ τῶν ἀφθάρτων διαδημάτων, ἃ ἡτοίμασεν ὁ πάντων δημιουργὸς καὶ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν· ὃν τρόπον γὰρ ἀνοηταίνειν ἡμῖν οὗτοι ἐλογίσθησαν, πολλῷ πλέον ἡμεῖς οἱ τῷ κόσμῳ περιπλανώμενοι, καὶ αὐταρεσκοῦντες ἐν τῇ ψευδομένῃ ταύτῃ δόξῃ, καὶ ἀνονήτῳ τρυφῇ, θρήνων ἐσμὲν ἄξιοι καὶ δακρύων ἐν ὀφθαλμοῖς τῶν γευσαμένων τῆς γλυκύτητος τῶν ἀγαθῶν ἐκείνων.

Ὁ δὲ βασιλεύς, τούτων ἀκούσας, καὶ ἐνεὸς ὥσπερ γενόμενος, ἔφη· τίνες οὖν ἐκεῖνοί εἰσιν, οἱ κρείττονα τῆς καθ' ἡμᾶς κεκτημένοι ζωήν; Πάντες, φησὶν ὁ πρωτοσύμβουλος, οἱ τὰ αἰώνια προτιμήσαντες τῶν προσκαίρων. Αὖθις οὖν τοῦ βασιλέως μαθεῖν ζητοῦντος τίνα τὰ αἰώνια, φησὶν ὁ ἀνήρ· βασιλεία ἀδιάδοχος, καὶ ζωὴ μὴ ὑποκειμένη θανάτῳ, καὶ πλοῦτος μηδέποτε ὑφορώμενος πενίαν· χαρά τε καὶ εὐφροσύνη, πάσης ἀμέτοχος λύπης καὶ ἀχθηδόνος· καὶ εἰρήνη διηνεκής, ἐλευθέρα πάσης ἔχθρας καὶ φιλονεικίας. Τούτων οἱ καταξιωθέντες ἀπολαύειν μακάριοι· καὶ τοῦτο πολλάκις· ἄμοχθον καὶ ἄλυπον ζήσουσιν εἰς αἰῶνας ζωήν, πάντων τῶν ἡδέων καὶ τερπνῶν τῆς τοῦ Θεοῦ βασιλείας ἀμογητὶ ἀπολαύοντες, καὶ τῷ Χριστῷ ἀτελεύτητα συμβασιλεύοντες. Καὶ τίς ἄξιος, εἰπόντος τοῦ βασιλέως, τούτου ἐπιτυχεῖν; ἐκεῖνος ἀπεκρίνατο, πάντες οἱ τῆς ἐκεῖσε ἀπαγούσης ὁδοῦ δραξάμενοι· ἀκώλυτος γὰρ ἡ εἴσοδος τοῖς θελήσασι μόνον. Ὁ δὲ βασιλεύς, καὶ τίς, φησιν, ἡ ἐκεῖσε φέρουσα τρίβος; Πρὸς ὃν ἔφη ὁ λαμπρὸς τὴν ψυχὴν ἐκεῖνος ἀνήρ. Τὸ γινώσκειν τὸν μόνον ἀληθινὸν Θεόν, καὶ Ἰησοῦν Χριστὸν τὸν μονογενῆ τούτου Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα. Ὁ τοίνυν βασιλεύς, βασιλικωτάτην ἔχων σύνεσιν, ἔφη πρὸς αὐτόν· καὶ τί τὸ κωλῦσάν σε μέχρι τοῦ νῦν περὶ τούτων γνωρίσαι μοι; οὐκ ἀναβολῆς γὰρ καὶ ὑπερθέσεως ἄξιά μοι δοκεῖ ὑπάρχειν ταῦτα, εἴ γε ἀληθῆ τυγχάνει· εἰ δὲ ἀμφίβολά ἐστιν, ἐμπόνως δεῖ ζητῆσαι, μέχρις ὅτου τὸ ἀναμφί-

www.tezaurliturgic.ro



λεκτον εὕρωμεν. Οὐκ ἀμελείᾳ, φησὶν ὁ ἀνήρ, ἢ ῥαθυμίᾳ συνεχόμενος περὶ τούτων ὤκνησά σοι γνωρίσαι ἀληθῆ περ ὄντα, καὶ πάντῃ ἀναμφίλεκτα, ἀλλὰ τὸ ὑπερέχον αἰδούμενος τῆς σῆς δόξης, μήποτε ὀχληρός σοι φανείην. Εἰ οὖν προστάσσεις τῷ σῷ οἰκέτῃ ὑπομιμνήσκειν σοι εἰς τὸ ἑξῆς περὶ τούτων, τῷ σῷ ἔσομαι καθυπηρετῶν προστάγματι. Ναί, φησιν ὁ βασιλεύς· μὴ καθ' ἡμέραν μόνον, ἀλλὰ καὶ ἐφ' ἑκάστης ὥρας τὴν τούτων μνήμην διηνεκῶς ἀνακαίνιζε· οὐκ ἀμελῶς γὰρ χρὴ τούτοις προσέχειν, ἀλλὰ λίαν θερμῶς καὶ σπουδαίως. Ἀκηκόαμεν οὖν φησὶν ὁ Βαρλαάμ, εὐσεβῶς τὸν βασιλέα τοῦτον ζῆσαι εἰς τὸ ἑξῆς· καὶ ἀκυμάντως τὸν παρόντα διανύσαντα βίον, τῆς μελλούσης μὴ ἀποτυχεῖν μακαριότητος. Εἰ τοίνυν καὶ τῷ σῷ πατρὶ τοιαῦτά τις ἐν ἐπιτηδείῳ ὑπομνήσει καιρῷ, τάχα συνήσει καὶ γνώσεται, ὅσοις συνεσχέθη κακοῖς, καὶ τούτων ἐκκλίνας, ἐκλέξεται τὸ ἀγαθόν· ἐπεί, τόγε νῦν ἔχον, τυφλός ἐστι, μυωπάζων, τοῦ ἀληθινοῦ φωτὸς ἑαυτὸν ἀποστερήσας, αὐτομολῶν δὲ πρὸς τὸ τῆς ἀσεβείας σκότος.

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· τὰ μὲν τοῦ ἐμοῦ πατρὸς ἄγοιτο Κύριος καθὼς κελεύει· αὐτῷ γάρ, καθὰ δὴ καὶ εἶπας, δυνατὰ πάντα καθέστηκε τὰ παρὰ ἀνθρώποις ἀδύνατα· ἐγὼ δὲ διὰ τῶν σῶν ἀνυπερβλήτων ῥημάτων τῆς τῶν παρόντων καταγνοὺς ματαιότητος, ἀποστῆναι μὲν τούτων πάντῃ διανενόημαι, καὶ μετὰ σοῦ τὸ λοιπὸν τῆς ζωῆς μου διατελέσαι· ἵνα μὴ διὰ τῶν προσκαίρων τούτων καὶ ῥευστῶν, τῆς τῶν αἰωνίων καὶ ἀφθάρτων ἐκπέσω ἀπολαύσεως. Πρὸς ὃν ὁ γέρων ἀπεκρίνατο· εἰ τοῦτο ποιήσεις, ὅμοιος ἔσῃ νεανίσκῳ τινὶ φρονιμωτάτῳ, περὶ οὗ ἀκήκοα πλουσιωτάτων γεγονέναι, καὶ ἐνδοξοτάτων γονέων· ᾧ τινι ὁ πατὴρ μνηστευσάμενος ἦν θυγατέρα τινὸς τῶν εὐγενείᾳ καὶ πλούτῳ διαφερόντων, λίαν ὡραιοτάτην. Κοινολογησάμενος δὲ πρὸς τὸν παῖδα περὶ τοῦ γάμου, καὶ ὅπως ἦν αὐτῷ μελετώμενον ἀπαγγείλας, ἀκούσας ἐκεῖνος, καὶ ὡς ἀπηχές τι καὶ ἄτοπον ἀποσεισάμενος τὸ πρᾶγμα, φυγὰς ᾤχετο, καταλιπὼν τὸν πατέρα. Πορευομένου δὲ αὐτοῦ, ξενίζεται ἐν οἰκίᾳ γηραιοῦ τινος πένητος, τὸν καύσωνα τῆς ἡμέρας ἑαυτὸν διαναπαύων. Ἡ δέ θυγάτηρ τοῦ γέροντος, μονογενὴς οὖσα παρθένος, καθεζομένη πρὸ τῶν θυρῶν, εἰργάζετο ταῖς χερσί, τῷ δὲ στόματι τὸν Θεὸν ηὐλόγει, ἀσιγήτως εὐχαριστοῦσα ἐκ βαθέων ψυχῆς.

Τὸν ταύτης δὲ ὕμνον ἀκούσας ὁ νέος, ἔφη· τί σου γῦναι τὸ ἐπιτήδευμα; χάριν δὲ τίνος οὕτωπερ οὖσα εὐτελὴς καὶ πτωχή, ὡς ἐπί τισι μεγάλοις δωρήμασιν εὐχαριστεῖς τὸν δοτῆρα ὑμνοῦσα; Ἡ δὲ πρὸς αὐτὸν ἀπεκρίνατο· οὐκ οἶσθα ὅτι καθάπερ φάρμακον μικρὸν ἐκ μεγάλων νοσημάτων πολλάκις ῥύεται τὸν ἄρθρωπον, οὕτω δὴ καὶ τὸ ἐπὶ



τοῖς μικροῖς εὐχαριστεῖν τῷ Θεῷ, μεγάλων πρόξενον γίνεται; Ἐγὼ τοίνυν θυγάτηρ οὖσα γέροντος πτωχοῦ, εὐχαριστῶ ἐπὶ τοῖς μικροῖς τούτοις, καὶ εὐλογῶ τὸν δεσπότην, εἰδυῖα, ὡς ὁ ταῦτα δούς, καὶ μείζονα δύναται δοῦναι. Καὶ ταῦτα μὲν περὶ τῶν ἔξωθεν καὶ οὐχ ἡμετέρων, ἐξ ὧν οὔτε τοῖς παλλὰ κεκτημένοις γίνεταί τι κέρδος, ἵνα μὴ εἴπω ὅτι καὶ ζημία πολλάκις, οὔτε τοῖς ἐλάττονα λαβοῦσιν ἐπέρχεται βλάβη, τὴν αὐτὴν ἀμφοτέρων ὁδευόντων ὁδόν, καὶ πρὸς τὸ αὐτὸ ἐπειγομένων τέλος· ἐν δὲ τοῖς ἀναγκαίοις καὶ κυριωτάτοις, πολλῶν ἀπήλαυσα καὶ μεγίστων τοῦ Θεοῦ δωρημάτων, οὔμενουν ἐχόντων ἀριθμόν, ἢ εἰκασμῷ ὑποπιπτόντων· κατ' εἰκόνα γὰρ Θεοῦ γεγένημαι, καὶ τοῖς αὐτοῦ γνώσεως ἠξίωμαι, καὶ λόγῳ παρὰ πάντα τὰ ζῶα κεκόσμημαι, καὶ ἐκ τοῦ Θεοῦ πρὸς ζωὴν ἀνακέκλημαι διὰ σπλάγχνα ἐλέους αὐτοῦ, καὶ τῶν αὐτοῦ μετέχειν μυστηρίων ἐξουσίαν ἔλαβον, καὶ ἡ τοῦ παραδείσου θύρα ἀνέῳκται, ἀκωλύτως, εἴπερ θελήσω. παρέχουσά μοι τὴν εἴσοδον. Τῶν τοσούτων οὖν καὶ τηλικούτων δωρημάτων, ὧν ἐπίσης μετέχουσι πλούσιοί τε καὶ πένητες, ἀξίως εὐχαριστῆσαι πάντῃ μοι ἀδύνατον· εἰ δὲ καὶ τὴν μικρὰν ὑμνολογίαν οὐ προσάξω τῷ δωρησαμένῳ, ποίαν ἕξω ἀπολογίαν;

Ὁ δὲ νεώτερος, τὴν πολλὴν αὐτῆς θαυμάσας σύνεσιν, τὸν αὐτῆς προσκαλεσάμενος πατέρα, δός μοί, φησι, τὴν θυγατέρα σου εἰς γυναῖκα, ἠγάπησα γὰρ τὴν σύνεσιν αὐτῆς καὶ εὐσέβειαν. Ὁ δὲ γέρων ἔφη· οὐκ ἔξεστί σοι λαβεῖν ταύτην τὴν πένητος θυγατέρα, πλουσίων ὄντι γονέων. Αὖθις δὲ ὁ νέος· ναί, φησι, ταύτην λήψομαι, εἰ οὐκ ἀπαγορεύσεις· θυγάτηρ γάρ μοι μεμνήστευτο εὐγενῶν καὶ πλουσίων· καὶ ταύτην ἀποσεισάμενος, φυγῇ ἐχρησάμην· τῆς δὲ σῆς θυγατρός, διὰ τὴν εἰς Θεὸν εὐσέβειαν, καὶ τὴν νουνεχῆ σύνεσιν ἐρασθείς, συναφθῆναι αὐτῇ προτεθύμημαι. Ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφησεν· οὐ δύναμαί σοι ταύτην δοῦναι τοῦ ἀπαγαγεῖν ἐν τῷ οἴκῳ τοῦ πατρός σου, καὶ τῶν ἐμῶν χωρίσαι ἀγκαλῶν· μονογενὴς γάρ μοί ἐστιν. Ἀλλ' ἐγώ, φησιν ὁ νεανίσκος, παρ' ὑμῖν μενῶ, καὶ τὴν ὑμῶν ἀναδέξομαι πολιτείαν· εἶτα καὶ τὴν λαμπρὰν ἀποθέμενος ἐσθῆτα, τὰ τοῦ γέροντος αἰτησάμενος περιεβάλλετο. Πολλὰ δὲ ἐκεῖνος ἐκπειράσας αὐτόν, καὶ ποικίλως τὸν αὐτοῦ δοκιμάσας λογισμόν, ὡς ἔγνω σταθηρᾶς αὐτὸν ὑπάρχειν διανοίας, καὶ οὐκ ἔρωτι ἀφροσύνης κατεχόμενος, αἰτεῖται τὴν αὐτοῦ θυγατέρα, ἀλλ' ἔρωτι εὐσεβείας εἵλετο πενιχρῶς ζῆν, ταύτην προκρίνας τῆς αὐτοῦ δόξης καὶ εὐγενείας, κρατήσας αὐτὸν τῆς χειρός, εἰσήγαγεν εἰς τὸ ἑαυτοῦ ταμιεῖον, καὶ ὑπέδειξε πλοῦτον πολὺν ἀποκείμενον αὐτῷ, καὶ χρημάτων ἀναρίθμητον ὄγκον, ὅσον οὐ τεθέα-

www.tezaurliturgic.ro



ται πώποτε ὁ νεανίσκος. Καί φησι πρὸς αὐτόν· τέκνον, ταῦτα πάντα
σοι δίδωμι, ἀνθ' ὧν ἡρετίσω τῆς ἐμῆς θυγατρός· γενέσθαι δὲ καὶ κλη-
ρονόμον τῆς ἐμῆς οὐσίας. Ἥνπερ κατασχὼν κληρονομίαν ἐκεῖνος,
πάντας ὑπερῆρε τοὺς ἐνδόξους τῆς γῆς καὶ πλουσίους.

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς τὸν Βαρλαάμ· προσηκόντως καὶ αὕτη τὰ
κατ' ἐμὲ παρίστησιν ἡ διήγησις· ὅθεν σοι καὶ περὶ ἐμοῦ ταῦτα λελέ-
χθαι δοκῶ. Ἀλλὰ τίς ἡ πεῖρα, δι' ἧς γνῶναι ζητεῖς τὸ σταθερὸν τῆς
ἐμῆς διανοίας; Καὶ ὁ γέρων ἔφη· ἐγὼ μὲν καὶ πεπείρακα ἤδη, καὶ
ἔγνωκα ὁποίας ὑπάρχεις ἐχέφρονος καὶ σταθηρᾶς διανοίας, καὶ ψυχῆς
τῷ ὄντι εὐθυτάτης· ἀλλὰ τὸ τέλος τῆς κατὰ σὲ πράξεως βεβαιώσειε
τὰ τοιαῦτα. Τούτου χάριν κάμπτω τὰ γόνανά μου πρὸς τὸν ἐν Τριάδι
δοξαζόμενον Θεὸν ἡμῶν, τὸν πάντων δημιουργὸν ὁρατῶν τε καὶ ἀο-
ράτων· τὸν ὄντως ὄντα, καὶ ἀεὶ ὄντα· μήτε ἀρχὴν ἐσχηκότα πώποτε
τῆς ἐνδόξου Θεότητος αὐτοῦ, μήτ' ἔχοντα τέλος· τὸν φοβερὸν καὶ
παντοδύναμον, ἀγαθόν τε καὶ εὔσπλαγχνον, ἵνα φωτίσῃ τοὺς ὀφθαλ-
μοὺς τῆς καρδίας σου, καὶ δώῃ σοι πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν
ἐπιγνώσει αὐτοῦ, εἰς τὸ εἰδέναι τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ,
καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις,
καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πι-
στεύοντας· ἵνα μηκέτι ξένος ἔσῃ καὶ πάροικος, ἀλλὰ συμπολίτης τῶν
ἁγίων, καὶ οἰκεῖος Θεοῦ, ἐποικοδομούμενος ἐπὶ τῷ θεμελίῳ τῶν Ἀ-
ποστόλων καὶ τῶν Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη, αὔξει
εἰς ναὸν ἅγιον ἐν Κυρίῳ. Ὁ δὲ Ἰωάσαφ, σφόδρα κατανυγεὶς τῇ καρδίᾳ,
ἔφη· ταῦτα δὴ πάντα κἀγὼ ποθῶ γνῶναι· καὶ δέομαί σου γνωρίσαι μοι
τόν τε πλοῦτον τῆς δόξης τοῦ Θεοῦ, καὶ τὸ ὑπερβάλλον τῆς αὐτοῦ
δυνάμεως.

### Διδασκαλία ἀρίστη περὶ τῆς ἀκαταλήπτου σοφίας τοῦ Παντοδυνάμου Θεοῦ, δόξης τε καὶ δυνάμεως καὶ μεγαλωσύνης αὐτοῦ.

Εἶπε πρὸς αὐτὸν ὁ Βαρλαάμ· τῷ Θεῷ εὔχομαι διδάξαι σε ταῦτα, καὶ
τὴν γνῶσιν τῶν τοιούτων ἐνθεῖναί σου τῇ ψυχῇ· ἐπεὶ παρὰ ἀνθρώποις
τὴν αὐτοῦ λεχθῆναι δόξαν καὶ δύναμιν τὸ παράπαν ἀδύνατον, κἂν πᾶσαι
αἱ τῶν νυνὶ καὶ τῶν πώποτε γενομένων ἀνθρώπων γλῶσσαι ἓν γένων-
ται. «Θεὸν γάρ, φησιν ὁ εὐαγγελιστὴς καὶ Θεολόγος, οὐδεὶς ἑώρακε
πώποτε· ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος
ἐξηγήσατο (Ἰωάν. ά. 18). Τοῦ δὲ ἀοράτου καὶ ὑπεραπείρου τὴν δόξαν



καὶ μεγαλωσύνην τίς ἰσχύσει γηγενῶν καταλαβέσθαι, εἰ μὴ ᾧ ἂν αὐ-
τὸς ἀποκαλύψῃ καθόσον βούλεται, ὥσπερ τοῖς Προφήταις αὐτοῦ καὶ
Ἀποστόλοις ἀπεκάλυψεν; Ἡμεῖς δὲ καὶ ἐκ τοῦ κηρύγματος αὐτῶν,
καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως, κατὰ τὸ ἐγχωροῦν ἡμῖν
μανθάνομεν· λέγει γὰρ ἡ γραφή· «οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ·
ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· καὶ τὰ ἀόρατα αὐ-
τοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα, καθορᾶται, ἥ τε
ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης» (Ψαλμ. ιή. 1. Ῥωμ. ά. 20). Καθά-
περ γάρ τις οἰκίαν ἰδὼν λαμπροτάτην, εὐτέχνως κατεσκευασμένην,
ἢ σκεῦος εὐφυῶς συνηρμοσμένον, τὸν οἰκοδόμον ἢ τέκτονα εὐθὺς ἂν
ἐννοήσας θαυμάσειεν, οὕτω κἀγὼ ἐκ μὴ ὄντων διαπλασθείς, καὶ εἰς
τὸ ὂν παραχθείς, εἰ καὶ τὸν πλάστην καὶ παροχέα θεάσασθαι οὐ δύ-
ναμαι, ἀλλ' ἐκ τῆς εὐαρμόστου καὶ θαυμασιωτάτης μου κατασκευῆς, εἰς
γνῶσιν ἦλθον τῆς αὐτοῦ σοφίας· οὐ καθ' ὅ τι ἐστίν, ἀλλὰ καθὰ δεδύ-
νημαι νοεῖν· ὅτι οὐκ αὐτομάτως παρήχθην, οὔτε ἀπ' ἐμαυτοῦ γεγέ-
νημαι, ἀλλ' αὐτὸς ἔπλασέ με καθὼς ἠβουλήθη· πάντων μὲν προκα-
τάρχειν τάξας τῶν κτισμάτων, τινῶν δὲ καὶ ἐλαττώσας· καὶ συντρι-
βέντα, πάλιν κρείττονι ἀνακαινίσει ἀναπλάσας· εἶτα καὶ ὑπεξάγων
τῶν ἐντεῦθεν τῷ θείῳ αὐτοῦ προστάγματι, καὶ πρὸς ἑτέραν μετατιθεὶς
βιοτὴν καὶ ἀτελεύτητον καὶ αἰωνίαν, ἐν οὐδενὶ τούτων δυναμένου μου
ἀνθίστασθαι τῇ ἰσχύϊ τῆς αὐτοῦ προνοίας· μήτε τι προστιθέναι ἐμαυτῷ,
μήτε ὑφαιρεῖν, εἴτε κατὰ τὴν ἡλικίαν, εἴτε κατὰ τὸ τῆς μορφῆς εἶδος·
μήτε τὰ πεπαλαιωμένα μοι ἀνακαινίζειν ἐξισχύων, μήτε τὰ διαφθα-
ρέντα ἐπανορθοῦν· οὐδεὶς γὰρ τῶν ἀνθρώπων τούτων τι ἴσχυσε πώ-
ποτε κατεργάσασθαι· οὔτε βασιλεύς, οὔτε σοφός, οὐ πλούσιος, οὐ δυ-
νάστης, οὔτε τις ἄλλος ἀνθρώπινα μετερχόμενος ἐπιτηδεύματα· οὐ-
δεὶς γὰρ βασιλέων, ἢ τῶν ἐν ὑπεροχαῖς ὄντων, ἑτέραν ἔσχε γενέσεως
ἀρχήν· μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον, ἔξοδος τε ἴση.

Ἐκ τούτων οὖν τῶν περὶ ἐμέ, εἰς γνῶσιν τῆς τοῦ δημιουργοῦ με-
γαλουργίας χειραγωγοῦμαι· σὺν τούτοις δέ, καὶ τὴν εὐάρμοστον κα-
τασκευὴν καὶ συντήρησιν τῆς κτίσεως ἁπάσης νοῶν, ὅτι αὐτὰ μὲν καθ'
ἑαυτὰ τροπῇ ὑπόκεινται πάντα καὶ ἀλλοιώσει· τὰ μὲν νοητὰ κατὰ
προαίρεσιν, τήν τε ἐν τῷ καλῷ προκοπὴν, καὶ τὴν ἐκ τοῦ καλοῦ ἀπο-
φοίτησιν· τὰ δὲ αἰσθητὰ, κατὰ γένεσιν καὶ φθορὰν, αὔξησίν τε καὶ
μείωσιν, καὶ τὴν κατὰ ποιότητα μεταβολὴν, καὶ τοπικὴν κίνησιν· καὶ
ἐκ τούτων κηρύττουσι φωναῖς ἀλαλήτοις, ὑπὸ τοῦ ἀκτίστου, καὶ ἀτρέ-
πτου, καὶ ἀναλλοιώτου γεγενῆσθαι Θεοῦ, συνέχεσθαί τε καὶ συντη-
ρεῖσθαι, καὶ ἀεὶ προνοεῖσθαι· πῶς γὰρ ἂν αἱ ἐναντίαι φύσεις εἰς ἑνὸς

www.tezaurliturgic.ro



κόσμου συμπλήρωσιν ἀλλήλαις συνεληλύθεσαν, καὶ ἀδιάλυτοι μεμενήκεσαν, εἰ μή τις παντοδύναμος δύναμις ταῦτα συνεβίβασε, καὶ ἀεὶ συνετήρησεν ἀδιάλυτα; πῶς γὰρ ἂν ἔμεινέ τι, εἰ μὴ αὐτὸς ἠθέλησεν; ἢ τὸ μὴ κληθὲν ὑπ' αὐτοῦ πῶς ἂν διετηρήθη; φησὶ γὰρ ἡ γραφή· εἰ γὰρ πλοῖον ἀκυβέρνητον οὐ συνίσταται, ἀλλὰ καταποντίζεται εὐκόλως· καὶ οἰκία μικρὰ οὐκ ἂν στῇ χωρὶς τοῦ προνοοῦντος, ὁ κόσμος πῶς ἂν συνέστη ἐπὶ τοσοῦτον χρόνον, δημιούργημα οὕτω μὲν μέγα, οὕτω δὲ καλὸν καὶ θαυμαστόν, ἄνευ ἐνδόξου τινὸς καὶ μεγάλης, καὶ θαυμαστῆς διακυβερνήσεως, καὶ πανσόφου προνοίας; ἰδοὺ γὰρ ὁ οὐρανὸς πόσον ἔχει χρόνον, καὶ οὐκ ἠμαυρώθη· τῆς γῆς ἡ δύναμις οὐκ ἠτόνησε, τοσοῦτον τίκτουσα χρόνον· αἱ πηγαὶ οὐκ ἀπέλιπον ἀναβλύζειν, ἐξ οὗ γεγόνασιν· ἡ θάλασσα τοσούτους δεχομένη ποταμούς, οὐχ ὑπερέβη τὸ μέτρον· οἱ δρόμοι τοῦ ἡλίου καὶ τῆς σελήνης οὐκ ἠλλοίωνται· αἱ τάξεις τῆς ἡμέρας καὶ τῆς νυκτὸς οὐ μετετράπησαν.

Ἐκ τούτων πάντων ἡ ἄφατος τοῦ Θεοῦ δύναμις καὶ μεγαλοπρέπεια ἡμῖν ἐμφανίζεται, μαρτυρουμένη ὑπὸ προφητῶν καὶ Ἀποστόλων· ἀλλ' οὐδεὶς κατ' ἀξίαν ἐννοῆσαι, ἢ ἀνευφημῆσαι τὴν δόξαν αὐτοῦ δυνήσεται. Πάντα γὰρ τά τε ἀόρατα, καὶ ὅσα ὑπὸ τὴν αἴσθησιν, ὁ θεῖος ἀπόστολος ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα κατανοήσας, εἶπεν «ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται» (Α'. Κορινθ. ιγ'. 10)· διὸ καὶ ἐκπληττόμενος τὸν ὑπεράπειρον πλοῦτον τῆς σοφίας αὐτοῦ, διαῤῥήδην ἐβόησεν· «ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ» (Ῥωμ. ια'. 34). Εἰ δὲ ἐκεῖνος ὁ μέχρι τρίτου οὐρανοῦ φθάσας, καὶ ἀῤῥήτων ἀκούσας ῥημάτων τοιαύτας ἀφῆκε φωνάς, τίς τῶν κατ' ἐμὲ ὅλως ἀντοφθαλμῆσαι ἰσχύσειε ταῖς ἀβύσσοις τῶν τοσούτων μυστηρίων, καὶ εἰπεῖν τι κατὰ γνώμην, ἢ ἐνθυμηθῆναι ἀξίως τῶν λεγομένων δυνήσεται, εἰ μή τοι αὐτὸς ὁ τῆς σοφίας χορηγός, καὶ τῶν ἀσόφων διορθωτὴς παράσχοι; ἐν γὰρ τῇ χειρὶ αὐτοῦ καὶ ἡμεῖς, καὶ οἱ λόγοι ἡμῶν· πᾶσά τε φρόνησις παρ' αὐτῷ, καὶ συνέσεως ἐπιστήμη· καὶ αὐτὸς ἡμῖν δέδωκε τὴν τῶν ὄντων γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου, καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, τροπῶν διαλλαγάς, καὶ μεταβολὰς καιρῶν· καὶ ὅτι πάντα μέτρῳ καὶ σταθμῷ διέταξε· τὸ γὰρ μεγάλως ἰσχύειν, αὐτῷ πάρεστι πάντοτε· καὶ κράτει βραχίονος αὐτοῦ τίς ὑποστήσεται; ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον αὐτοῦ, καὶ ὡς ῥανὶς δρόσου ὀρθρινῆς κατελθούσης ἐπὶ γῆς· ἐλεεῖ δὲ πάντας, ὅτι πάντα



δύναται, καὶ παρορᾷ ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν· οὐδένα γὰρ βδελύσσεται, οὐδὲ ἀποστρέφεται τῶν προστρεχόντων αὐτῷ, ὁ μόνος ἀγαθὸς καὶ φιλόψυχος δεσπότης· εὐλογημένον εἴη τὸ ὄνομα τῆς δόξης αὐτοῦ, τὸ ἅγιον, καὶ ὑπερύμνητον, καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας ἀμήν.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰωάσαφ· εἰ πάνυ πολὺν χρόνον ἐσκόπησας, σοφώτατε, πῶς ἂν ἄριστα τὴν λύσιν τῶν προβληθέντων ζητημάτων ἡμῖν σαφηνίσαι, οὐκ ἂν ἄμεινον τοῦτό μοι ποιῆσαι ἐδόκεις, ἢ τοιαῦτα λέγων, ὁποῖά μοι νῦν ἐξεῖπας· δημιουργὸν μὲν πάντων καὶ συνοχέα τὸν Θεὸν διδάξας, ἀκατάληπτον δὲ λογισμοῖς ἀνθρωπίνοις τὴν δόξαν τῆς μεγαλωσύνης αὐτοῦ λόγοις ἀναντιῤῥήτοις ἀποδείξας· καὶ ὅτι οὐκ ἄλλος τις ἰσχύει ταύτης ἐφικέσθαι, ἀλλ' οἷς ἂν αὐτὸς καθόσον κελεύει ἀποκαλύψειε· διό σου τῆς λογιωτάτης ὑπερτεθαύμακα σοφίας. Ἀλλά μοι φράσον, μακαριώτατε, πόσων μὲν χρόνων αὐτὸς ὑπάρχεις; ἐν ποίοις δὲ τόποις τὰς διατριβὰς κέκτησαι; τίνας δὲ τοὺς συμφιλοσοφοῦντάς σοι ἔχεις; κραταιῶς γάρ μου ἡ ψυχὴ τῆς σῆς ἐξήρτηται διδασκαλίας, καὶ οὐδαμῶς σου τὸν πάντα μου χρόνον τῆς ζωῆς χωρισθῆναι θέλω. Ὁ δὲ γέρων ἔφη· χρόνων μέν εἰμι, ὡς εἰκάζω, τεσσαράκοντα πέντε· ἐν ἐρήμοις δὲ τῆς γῆς Σενaὰρ διάγων, συναγωνιστὰς ἔχω τοὺς πρὸς τὸν δρόμον τῆς ἄνω πορείας συμπονοῦντας, καὶ συναμιλλωμένους. Πῶς ταῦτά μοι λέγεις, ὁ Ἰωάσαφ ἀνταπεκρίνατο; ἐπέκεινα γάρ μοι φαίνῃ τῶν ἑβδομήκοντά που ἐνιαυτῶν· τίς οὖν ὁ λόγος σοι τῶν τεσσαράκοντα πέντε βούλεται χρόνων; οὐ δοκεῖς γάρ μοι ἐν τούτῳ ἀληθεύειν.

Εἶπε δὲ ὁ Βαρλαὰμ πρὸς αὐτόν· εἰ μὲν τοὺς ἀπὸ γεννήσεως χρόνους μου ζητεῖς μαθεῖν, καλῶς τούτους ἀπείκασας ἐπέκεινα τῶν ἑβδομήκοντά που ὑπάρχειν· ἀλλ' ἐμοί γε οὐδόλως εἰς μέτρον ζωῆς ἐλογίσθησαν, ὅσοι τῇ ματαιότητι τοῦ κόσμου δεδαπάνηνται· ὅτε γὰρ ἔζων τῷ σαρκίῳ, δεδουλωμένος ταῖς ἁμαρτίαις, νεκρὸς ἤμην τὸν ἔσω ἄνθρωπον. Τοὺς οὖν τῆς νεκρώσεως χρόνους οὐκ ἄν ποτε ζωῆς ὀνομάσαιμι· ἐξότου δὲ «ἐμοὶ ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ» (Γαλάτ. ς'.15), ἀποθέμενος τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, «οὐκ ἔτι ζῶ ἐν σαρκί, ἀλλὰ ζῇ ἐν ἐμοὶ ὁ Χριστός· ὃ δὲ ζῶ, τῇ πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ» (Γαλάτ. β'. 20), τούτους εἰκότως καὶ ζωῆς χρόνους, καὶ ἡμέρας σωτηρίας καλέσαιμι· οὓς περὶ τὰ τεσσαρακονταπέντε συναριθμῶν ἔτη, κατὰ λόγον σοι, καὶ οὐκ ἀπὸ σκοποῦ τὴν τούτων ἐξεῖπον ἀρίθμησιν. Καὶ σὺ τοίνυν τοιούτου ἔχου λο-

www.tezaurliturgic.ro



γισμοῦ ἑκάστοτε, μηδόλως ζῆν ὑπολαμβάνων τοὺς νενεκρωμένους μὲν
πρὸς πᾶσαν ἀγαθοεργίαν, ζῶντας δὲ τῇ ἁμαρτίᾳ, καὶ τῷ κοσμοκρά-
τορι καθυπουργοῦντας τῶν κάτω συρομένων, ἐν ἡδοναῖς τε καὶ ἐπιθυ-
μίαις πονηραῖς τὸν βίον δαπανῶντας· ἀλλὰ τεθανατωμένους τούτους,
εὖ ἴσθι, τυγχάνειν, καὶ νενεκρωμένους τῇ τῆς ζωῆς ἐνεργείᾳ· τὴν γὰρ
ἁμαρτίαν, θάνατον τῆς ἀθανάτου σοφός τις εἰκότως ἐκάλεσε. Φησὶ δὲ
καὶ ὁ Ἀπόστολος· «ὅτε δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ
δικαιοσύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;
τὸ γὰρ τέλος ἐκείνων θάνατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρ-
τίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν,
τὸ δὲ τέλος ζωὴν αἰώνιον· τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· τὸ
δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν»
(Ῥωμ. ϛ'. 20).

Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· ἐπείπερ ἡ ἐν σαρκὶ ζωὴ οὐκ ἐν μέ-
τρῳ ζωῆς σοι λελόγισται, οὐδὲ τὸν θάνατον τοῦτον, ὃν ὑφίστανται
πάντες, θάνατόν σοι λογίσασθαι χρή. Ὁ δὲ γέρων ἀπεκρίνατο· ἀναμ-
φιλέκτως καὶ περὶ τούτων οὕτως ἔχω, μηδόλως τὸν πρόσκαιρον του-
τονὶ θάνατον τρέμων, μήτε θάνατον τὸ παράπαν ἀποκαλῶν, εἴ γε τὴν
ὁδὸν τῶν ἐντολῶν τοῦ Κυρίου βαδίζοντά με καταλάβοι· διαβατήριον
δὲ μᾶλλον ἐκ θανάτου πρὸς ζωὴν τὴν κρείττονα καὶ τελειοτέραν, καὶ
ἐν Χριστῷ κρυπτομένην· ἧσπερ ποθοῦντες τυχεῖν οἱ ἅγιοι, πάνυ τῇ
παρούσῃ ἐδυσχέραινον. Διό φησιν ὁ Ἀπόστολος· «οἴδαμεν γὰρ ὅτι,
ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ
ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. Καὶ γὰρ ἐν
τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι
ἐπιποθοῦντες, εἴ γε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα. Καὶ γὰρ
οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι· ἐφ' ᾧ οὐ θέλομεν ἐκ-
δύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς»
(Κορινθ. έ. 1). Καὶ πάλιν, «Ταλαίπωρός, φησιν, ἐγὼ ἄνθρωπος· τίς
με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;» (Ῥωμ. ζ'. 24). καὶ
αὖθις· «ἐπιθυμῶ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι» (Φιλιπ. ά. 23). Ὁ δὲ
προφήτης, «πότε ἥξω, φησί, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;»
(Ψαλμ. μά. 3).

Ὅτι δὲ καὶ ἐμοὶ τῷ πάντων ἐλαχιστοτέρῳ οὐδόλως τὸν αἰσθητὸν
θάνατον δεδοικέναι δοκεῖ, ἔξεστί σοι γνῶναι, τῷ παρ' οὐδὲν θέμενόν
με τὴν τοῦ σοῦ πατρὸς ἀπειλήν, ἀδεῶς παραγενέσθαι πρὸς σέ, καὶ τὸν
σωτήριόν σοι καταγγεῖλαι λόγον· ἀκριβῶς περ εἰδότα, ὡς εἰ ἔλθοι
αὐτῷ εἰς γνῶσιν ταῦτα, μυρίοις με, εἰ δυνατόν, καθυποβαλεῖν θανά-



τοις· ἀλλ' ἔγωγε τὸν τοῦ Θεοῦ λόγον πάντων προκρίνων, καὶ αὐτοῦ
ποθῶν ἐπιτυχεῖν, οὔτε πτοοῦμαι τὸν πρόσκαιρον θάνατον, οὔτε τῆς
τοιαύτης αὐτὸν προσηγορίας ἄξιον ὅλως ἀποκαλῶ, τῇ Δεσποτικῇ πει-
θόμενος ἐντολῇ τῇ λεγούσῃ· «μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεινόντων
τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον
τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ» (Ματθ. ί. 28).

Ταῦτα μὲν οὖν, φησὶν ὁ Ἰωάσαφ, τῆς ἀληθινῆς ὑμῶν φιλοσοφίας
τὰ κατορθώματα, ὑπεραναβεβηκότα λίαν τὴν τῶν γηΐνων φύσιν, τῶν
δυσαποσπάστως τῆς παρούσης ἐχόντων ζωῆς· καὶ μακάριοι ὑμεῖς, τοι-
αύτης ἐχόμενοι ἀνδρειοτάτης γνώμης· τίς δέ σου, καὶ τῶν σὺν σοὶ ἐν
τῇ τοιαύτῃ ἐρήμῳ ἡ διατροφή; πόθεν δὲ τὰ ἐνδύματα, καὶ ποταπά;
γνώρισόν μοι φιλαλήθως. Ὁ δὲ Βαρλαάμ φησιν· ἡ μὲν διατροφή, ἐκ
τῶν εὑρισκομένων ἐστὶν ἀκροδρύων καὶ βοτανῶν, ὧν ἡ ἔρημος τρέφει,
δρόσῳ ποτιζομένη οὐρανίῳ, καὶ τῇ προστάξει τοῦ δημιουργοῦ εἴκουσα·
ἐφ' οἷς οὐδείς ἐστιν ὁ μαχόμενος ἡμῖν καὶ φιλονεικῶν, καὶ τὸ πλέον
ζητῶν ἁρπάζειν τῷ τῆς πλεονεξίας ὅρῳ τε καὶ νόμῳ· ἀλλ' ἀφθόνως
πᾶσι πρόκειται ἀνήροτος τροφή, καὶ αὐτοσχέδιος τράπεζα· εἰ δέ ποτε
καὶ τῶν πλησιαζόντων τις πιστῶν ἀδελφῶν ἄρτου ἐνέγκει εὐλογίαν,
ὡς παρὰ τῆς προνοίας πεμφθέντα δεχόμεθα τοῦτον, ἐπ' εὐλογίᾳ τῶν
πιστῶς προσενεγκάντων· τὰ δὲ ἐνδύματα ἀπὸ ῥακίων εἰσὶ τριχίνων,
καὶ μηλωταρίων, καὶ σεβεννίνων· πεπαλαιωμένα πάντῃ καὶ πολύῤ-
ῥαφα, κατατρύχοντα τὸ ἀσθενὲς τοῦτο σαρκίον· τὸ αὐτὸ γὰρ ἡμῖν ἐ-
στι περιβόλαιον θέρους τε καὶ χειμῶνος· ὅπερ οὐδόλως ἐξότου ἐνδυ-
σόμεθα ἐκδύσασθαι θέμις, μέχρις ἂν παλαιωθὲν τέλεον διαφθαρῇ.
Οὕτω γὰρ ταῖς τοῦ κρύους καὶ φλογώσεως ἀνάγκαις ταλαιπωρούμε-
νοι, τὴν τῶν μελλόντων ἐνδυμάτων τῆς ἀφθαρσίας πορίζόμεθα ἑαυ-
τοῖς ἀμφίασιν.

Τοῦ δὲ Ἰωάσαφ εἰπόντος, πόθεν δὲ τοῦτό σοι τὸ ἱμάτιον ὃ περιβέ-
βλησαι; ὁ γέρων ἔφη· ἐν χρήσει τοῦτο παρά τινος τῶν πιστῶν εἴληφα,
τὴν πρὸς σὲ μέλλων πορείαν ποιήσασθαι· οὐ γὰρ ἔδει με τῷ συνήθει
ἐνδύματι παραγενέσθαι· καθάπερ τις ἔχων προσφιλέστατον συγγενῆ
αἰχμάλωτον, ἐν ἀλλοκότῳ ἀπαχθέντα ἔθνει, καὶ τοῦτον βουλόμενος
ἐκεῖθεν ἐξαγαγεῖν, ἀποθέμενος αὐτοῦ τὴν ἐσθῆτα, καὶ τὸ τῶν ὑπεναν-
τίων ὑποδὺς προσωπεῖον, τὴν ἐκείνων καταλάβοι χώραν, καὶ πολυτρό-
πως τὸν οἰκεῖον τῆς πικρᾶς ἐλευθερώσειε τυραννίδος, τὸν αὐτὸν δὴ
τρόπον κἀγὼ τὰ κατὰ σὲ μυηθείς, τοῦτο περιθέμενος τὸ σχῆμα, ἦλ-
θον τὸν σπόρον τοῦ θείου κηρύγματος τῇ σῇ καταβαλεῖν καρδίᾳ, καὶ
τῆς δουλείας λυτρώσασθαι τοῦ δεινοῦ κοσμοκράτορος. Καὶ νῦν ἰδοὺ

www.tezaurliturgic.ro



τῇ τοῦ Θεοῦ δυνάμει, ὅσον τὸ ἐπ᾽ ἐμοί, τὴν διακονίαν μου πεπλή-
ρωκα, τὴν αὐτοῦ καταγγείλας σοι γνῶσιν, καὶ τὸ τῶν Προφητῶν καὶ
Ἀποστόλων κηρύξας κήρυγμα· δείξας τε ἀπλανῶς καὶ φιλαλήθως
τὴν τῶν παρόντων ματαιότητα, καὶ οἵων κακῶν ὁ κόσμος γέμει, χα-
λεπῶς ἀπατῶν τοὺς αὐτῷ πειθομένους, καὶ πολυτρόπως αὐτοὺς πα-
γιδεύων. Λοιπὸν πορευθῆναί με δεῖ, ὅθεν ἐλήλυθα· καὶ τηνικαῦτα τὸ
ἀλλότριον ἀποθέμενος σχῆμα, τὸ ἴδιον ἔσομαι ἐνδεδυμένος.

Δυσωπεῖ τοίνυν τὸν γέροντα ὁ Ἰωάσαφ ὀφθῆναι αὐτῷ τῷ συνήθει
αὐτοῦ ἐνδύματι. Τότε ὁ Βαρλαὰμ ἀπεκδυσάμενος ὃ ἦν περιβεβλημέ-
νος ἱμάτιον, θέαμα ὤφθη φοβερὸν τῷ Ἰωάσαφ· ἦν γὰρ ἡ πᾶσα μὲν
τῆς σαρκὸς ποιότης δεδαπανημένη, μεμελανωμένον δὲ τὸ δέρμα ἐκ τῆς
ἡλιακῆς φλογώσεως, καὶ περιτεταμένον τοῖς ὀστέοις, ὡς εἴ τις δοράν
τινα περιτείνειε λεπτοῖς καλάμοις· τρίχινον δὲ ῥάκος ἐῤῥικνωμένον,
καὶ λίαν τραχὺ περιεζώννυτο ἐξ ὀσφύος μέχρι γονάτων· ὅμοιον δὲ
τούτου παλίον περιεβέβλητο κατὰ τῶν ὤμων. Ὑπερθαυμάσας δὲ ὁ Ἰ-
ωάσαφ τῆς σκληρᾶς ταύτης ἀγωγῆς τὸ ἐπίπονον, καὶ τὸ τῆς καρτε-
ρίας ὑπερβάλλον ἐκπλαγείς, στενάζων ἐδάκρυσε, καί φησι πρὸς τὸν
γέροντα· ἐπεί με τῆς πικρᾶς τοῦ διαβόλου δουλείας ἐλευθερῶσαι ἥκεις,
τέλος σου τῇ εὐεργεσίᾳ ἐπιθείς, ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου·
καὶ συμπαραλαβών με μετὰ σοῦ, ἄγωμεν ἐντεῦθεν, ἵνα τέλεον λελυτρω-
μένος τῆς ἀπάτης τοῦ κόσμου, τὴν σφραγῖδα τηνικαῦτα δέξομαι τοῦ
σωτηρίου βαπτίσματος, καὶ κοινωνός σοι τῆς θαυμαστῆς ταύτης φιλο-
σοφίας, καὶ ὑπερφυοῦς ἀσκήσεως γένωμαι.

Εἶπε δὲ ὁ Βαρλαὰμ πρὸς αὐτόν· νεβρὸν δορκάδος ἔτρεφέ τις τῶν
πλουσίων· αὐξηθεῖσα δὲ αὕτη, τὰς ἐρήμους ἐπόθει, τῇ φυσικῇ ἑλκο-
μένῃ ἕξει. Ἐξελθοῦσα τοίνυν ἐν μιᾷ, εὑρίσκει ἀγέλην δορκάδων βοσκο-
μένην, καὶ ἐχόμενα τούτων περιῆγεν ἐν τοῖς πεδίοις τοῦ ἀγροῦ, ἐπι-
στρέφουσα μὲν τὸ πρὸς ἑσπέραν, ἅμα δὲ πρωὶ τῇ τῶν ὑπουργούντων
ἀμελείᾳ ἐξερχομένη, καὶ ταῖς ἀγρίαις συναγελάζουσα· ἐκείνων δὲ ποῤ-
ῥωτέρω μεταθεμένων νέμεσθαι, συνηκολούθησε καὶ αὐτή. Οἱ δὲ τοῦ
πλουσίου ὑπηρέται, τοῦτο αἰσθόμενοι, ἐπικαθίσαντες ἵπποις, κατεδίω-
ξαν ὀπίσω αὐτῶν· καὶ τὴν μὲν ἰδίαν δορκάδα ζωγρήσαντες, καὶ ἐπα-
ναστρέψαντες οἴκαδε, ἀπρόϊτον τοῦ λοιποῦ ἔθεντο· τῆς δὲ λοιπῆς ἀγέ-
λης τὰς μὲν ἀπέκτειναν, τὰς δὲ κακῶς διέθεντο. Τὸν αὐτὸν δὴ τρό-
πον δέδοικα γενέσθαι καὶ ἐφ᾽ ἡμᾶς, εἰ συνακολουθήσεις μοι· μήποτε
καὶ τῆς σῆς ἀποστερηθῶ συνοικήσεως, καὶ κακῶν πολλῶν τοῖς ἑταί-
ροις μου γένωμαι πρόξενος· ἀλλὰ τοῦτό σε βούλεται Κύριος· νῦν μὲν
σημειωθῆναι τῇ σφραγῖδι τοῦ ἁγίου βαπτίσματος, καὶ μένειν ἐπὶ χώ-



ρας, πάσης ἀντεχόμενον εὐσεβείας, καὶ τῆς τῶν ἐντολῶν τοῦ Χριστοῦ
ἐργασίας· ἐπὰν δὲ δῷη καιρὸν ὁ πάντων δοτὴρ τῶν καλῶν, τηνικαῦτα
ἐλεύσῃ πρὸς ἡμᾶς, καὶ τὸ ὑπόλοιπον τῆς παρούσης ζωῆς ἀλλήλοις
συνοικήσομεν· πέποιθα δὲ ἐν Κυρίῳ, καὶ ἐν τῇ μελλούσῃ διαγωγῇ
ἀδιαστάτους ἡμᾶς εἶναι. Δακρύσας δὲ αὖθις ὁ Ἰωάσαφ, φησὶ πρὸς αὐ-
τόν· εἰ τῷ Κυρίῳ ταῦτα δοκεῖ, τὸ θέλημα αὐτοῦ γενέσθω. Τελειώσας
οὖν με λοιπὸν τῷ θείῳ βαπτίσματι, καὶ λαβὼν παρ᾽ ἐμοῦ χρήματα καὶ
ἱμάτια εἰς διατροφὴν καὶ ἀμφίασιν σοῦ τε καὶ τῶν ἑταίρων σου, ἄπελθε
εἰς τὸν τόπον τῆς ἀσκήσεώς σου, τῇ τοῦ Θεοῦ εἰρήνῃ φρουρούμενος·
κἀμοῦ μὴ διαλείπῃς ὑπερευχόμενος, ἵνα μὴ ἐκπέσοιμι τῆς ἐλπίδος μου,
ἀλλὰ θᾶττον ἰσχύσω καταλαβεῖν σε, καὶ ἐν ἡσυχίᾳ βαθείᾳ τῆς παρὰ
σοῦ ἀπολαύειν ὠφελείας. Ὁ δὲ Βαρλαὰμ ἔφη· τὴν μὲν τοῦ Χριστοῦ
λαβεῖν σε σφραγῖδα, τὸ κωλύον οὐδέν· εὐτρέπισον λοιπὸν σεαυτόν,
καὶ τοῦ Κυρίου συνεργοῦντος τελειωθήσῃ· περὶ ὧν δὲ εἴρηκας χρή-
ματα τοῖς ἑταίροις μου παρασχεῖν, πῶς ἔσται τοῦτο σὲ τὸν πένητα τοῖς
πλουσίοις διδόναι; οἱ πλούσιοι γὰρ ἀεὶ τοὺς πένητας εὐεργετοῦσιν,
οὐ μὴν δὲ οἱ ἄποροι τοὺς εὐπόρους· ὁ γὰρ ἔσχατος πάντων τῶν ἑταί-
ρων μου, πλουσιώτερός σου ἀσυγκρίτως καθέστηκεν· ἀλλὰ πέποιθα
εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ καὶ σὲ ὅσον οὔπω ὑπερπλουτῆσαι, καὶ
οὐκ εὐμετάδοτος τηνικαῦτα ἔσῃ. Εἶπε δὲ ὁ Ἰωάσαφ πρὸς αὐτόν· σα-
φήνισόν μοι τὸν λόγον, πῶς ὁ πάντων ἔσχατος τῶν σῶν ἑταίρων ὑ-
πέρκειταί μου τῷ πλούτῳ, οὕς περ πολλῇ συζῆν ἀκτημοσύνῃ, καὶ ἐ-
σχάτῃ ταλαιπωρεῖσθαι πτωχείᾳ πρὸ μικροῦ ἔλεγες; πῶς δὲ νῦν πέ-
νητά με ἀποκαλεῖς, ὅταν δὲ ὑπερπλουτήσω οὐκ εὐμετάδοτον γενέσθαι
λέγεις, τὸν εὐμετάδοτον νῦν καθεστηκότα; Ὁ δὲ Βαρλαὰμ ἀπεκρίνατο·
οὐ πτωχείᾳ τούτους ἔφην ταλαιπωρεῖσθαι, ἀλλὰ πλούτῳ κομᾷν ἀ-
κενώτῳ· τὸ γὰρ ἀεὶ τοῖς χρήμασι προστιθέναι χρήματα, καὶ μὴ τῆς
ὁρμῆς χαλινοῦσθαι, ἀλλὰ πλειοτέρων ἀκορέστως ὀρέγεσθαι, τοῦτο πε-
νίας ἐσχάτης ἐστί· τοὺς δὲ τῶν παρόντων μὲν ὑπεριδόντας πόθῳ τῶν
αἰωνίων, καὶ σκύβαλα ταῦτα ἡγησαμένους, ἵνα Χριστὸν μόνον κερδή-
σωσι, πᾶσαν δὲ βρωμάτων καὶ ἐνδυμάτων ἀποθεμένους μέριμναν, καὶ
τῷ Κυρίῳ ταύτην ἐπιῤῥίψαντας, εὐφραινομένους δὲ τῇ ἀκτησίᾳ, ὡς
οὐκ ἄν τις τῶν φιλοκόσμων εὐφρανθείη πλούτῳ καὶ χρήμασι βρίθων,
καὶ τὸν πλοῦτον τῆς ἀρετῆς ἀφθόνως συναγηοχότας, ταῖς ἐλπίσι τε
τῶν ἀτελευτήτων εὐφραινομένους ἀγαθῶν, εἰκότως πλουσιωτέρους
σου, καὶ πάσης τῆς ἐπιγείου βασιλείας καλέσαιμι· τοῦ δὲ Θεοῦ συνερ-
γοῦντός σοι, ἐπιλήψῃ καὶ αὐτὸς τῆς τοιαύτης πνευματικῆς περιου-
σίας· ἥνπερ ἐν ἀσφαλείᾳ διατηρῶν, καὶ τοῦ πλείονος ἀεὶ δικαίως ἐ-

www.tezaurliturgic.ro



φιέμενος, οὐκ ἂν θελήσειάς τι ταύτης κατακενῶσαι· αὕτη γάρ ἐστιν ἡ
ἀληθὴς περιουσία· ὁ δὲ τοῦ αἰσθητοῦ πλούτου ὄγκος βλάψειε μᾶλ-
λον τοὺς αὐτοῦ φίλους, ἢ ὠφελήσειεν. Εἰκότως οὖν πενίαν ἐσχάτην
τοῦτον ἀπεκάλεσα· ὅνπερ οἱ ἐρασταὶ τῶν οὐρανίων ἀγαθῶν πάντῃ ἀ-
παρνησάμενοι, ἔφυγον ἀπ᾽ αὐτοῦ, ὥσπερ φεύγει τις ἀπὸ ὄφεως. Εἰ δὲ
ὃν ἀπέκτειναν ἐχθρόν, καὶ τοῖς ποσὶ συνεπάτησαν, τοῦτον αὖθις τοῖς
συνασκηταῖς μου καὶ συστρατιώταις ζῶντα παρὰ σοῦ λαβών, αὐτοῖς
ἀπενέγκω, καὶ πρόξενος πολέμων καὶ παθῶν γένωμαι, ἔσομαι αὐτοῖς
πάντως ἄγγελος πονηρὸς καὶ ἐπίβουλος, ἐνεδρεύων πρὸς τὸ ἀποπλα-
νῆσαι· ὅπερ μὴ γένοιτό μοι ποιῆσαι.

Τὰ αὐτὰ δὲ νόει μοι καὶ περὶ ἐνδυμάτων· τοὺς γὰρ ἀπεκδυσαμένους
τὴν τῆς παλαιότητος καταφθοράν, καὶ τὸ τῆς παρακοῆς ἔνδυμα, ὅσον
τὸ ἐπ᾽ αὐτοῖς ἀποθεμένους, τὸν Χριστὸν δὲ ὡς ἱμάτιον σωτηρίου, καὶ
χιτῶνα εὐφροσύνης ἐνδεδυμένους, πῶς πάλιν τοὺς δερματίνους ἀμφιά-
σαιμι χιτῶνας, καὶ τὸ τῆς αἰσχύνης περιθήσαιμι αὐτοῖς περιβόλαιον;
Ἀλλὰ τοὺς μὲν ἐμοὺς ἑταίρους μηδενὸς τῶν τοιούτων ἐπιδεομένους
γινώσκων, τῇ τῆς ἐρήμου διαρκουμένους ἀσκήσει, καὶ τρυφὴν ταύτην
λογιζομένους ἀληθεστάτην, τὰ χρήματα καὶ ἱμάτια ἅπερ τούτοις ἔ-
λεγες παρασχεῖν, τοῖς πένησι διανείμας, θησαυρὸν ἑαυτῷ εἰς τὸ μέλ-
λον ἄσυλον θησαύρισον· τὸν Θεὸν ἑαυτῷ ταῖς ἐκείνων εὐχαῖς ἐπίκου-
ρον θέμενος· οὕτω γὰρ μᾶλλον συνεργῷ τῷ πλούτῳ πρὸς τὰ καλὰ
χρήσαιο· εἶτα καὶ τὴν πανοπλίαν τοῦ πνεύματος περιβαλλόμενος, καὶ
τὴν μὲν ὀσφὺν ἐν ἀληθείᾳ περιζωσάμενος, ἐνδυσάμενος δὲ καὶ τὸν δι-
καιοσύνης θώρακα, περιθέμενός τε τὴν περικεφαλαίαν τοῦ σωτηρίου,
καὶ τοὺς πόδας ἐν ἑτοιμασίᾳ τῆς εἰρήνης τοῦ εὐαγγελίου ὑποδησάμε-
νος, μετὰ χεῖράς τε τὸν τῆς πίστεως ἀναλαβὼν θυρεόν, καὶ τὴν τοῦ
πνεύματος μάχαιραν, ἥ ἐστι ῥῆμα Θεοῦ, καὶ πάντοθεν ἄριστα καθο-
πλισθείς, καὶ περιφραξάμενος, οὕτω πεποιθώς, πρὸς τὸν τῆς ἀσεβείας
ἔξελθε πόλεμον· ὡς ἂν ταύτην τροπωσάμενος, καὶ τὸν αὐτῆς ἀρχηγὸν
διάβολον εἰς γῆν καταῤῥάξας, τοῖς τῆς νίκης στεφάνοις κοσμηθήσῃ
ἐκ τῆς ζωαρχικῆς δεξιᾶς τοῦ Δεσπότου (Ἐφεσ. ϛ΄. 14). Τοῖς τοιούτοις
οὖν δόγμασι καὶ λόγοις σωτηρίας κατηχήσας ὁ Βαρλαὰμ τὸν τοῦ βα-
σιλέως υἱόν, καὶ πρὸς τὸ θεῖον βάπτισμα εὐτρεπίσας, νηστεύειν τε
καὶ εὔχεσθαι ἐντειλάμενος, ἐφ᾽ ἱκανὰς ἡμέρας οὐ διέλιπε συχνάζων
πρὸς αὐτόν, καὶ πᾶσαν δογματικὴν φωνὴν τῆς ὀρθοδόξου πίστεως ἐκ-
διδάσκων, καὶ τὸ θεῖον Εὐαγγέλιον ὑπαγορεύων αὐτῷ· πρὸς δέ, καὶ
τὰς ἀποστολικὰς παραδόσεις, καὶ τὰς προφητικὰς ῥήσεις ἑρμηνεύων·
θεοδίδακτος γὰρ ὢν ὁ ἀνήρ, πᾶσαν ἐπὶ στόματος παλαιάν τε καὶ και-



νὴν γραφὴν ἔφερε· καὶ τῷ θείῳ κινούμενος Πνεύματι, ἐφώτισεν αὐ-
τὸν πρὸς τὴν ἀληθῆ θεογνωσίαν.

### Διδασκαλία δογματικὴ καὶ εὐσύνοπτος.

Ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ ὅτε βαπτισθῆναι ἔμελλε, διδάσκων αὐτὸν ἔ-
λεγεν· ἰδοὺ τὴν τοῦ Χριστοῦ ἐπείγῃ λαβεῖν σφραγῖδα, καὶ τῷ φωτὶ
σημειωθῆναι τοῦ προσώπου Κυρίου, καὶ υἱὸς γενέσθαι Θεοῦ, ναὸς δὲ
τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος. Πίστευε τοίνυν εἰς Πατέρα, καὶ
Υἱόν, καὶ ἅγιον Πνεῦμα, τὴν ἁγίαν καὶ ζωαρχικὴν Τριάδα, ἐν τρισὶν
ὑποστάσεσι, καὶ μιᾷ Θεότητι γνωριζομένην· διαιρετὴν μὲν ταῖς ὑπο-
στάσεσι καὶ ταῖς ὑποστατικαῖς ἰδιότησιν, ἡνωμένην δὲ τῇ οὐσίᾳ· ἕνα
μὲν γινώσκων Θεόν, ἀγέννητον Πατέρα· ἕνα δὲ γεννητὸν Κύριον, τὸν
Υἱόν· φῶς ἐκ φωτός, Θεὸν ἀληθινόν, ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα
πρὸ πάντων τῶν αἰώνων· ἀγαθοῦ γὰρ Πατρός, ἀγαθὸς ἐγεννήθη Υἱός·
φωτὸς δὲ τοῦ ἀγεννήτου, φῶς ἐξέλαμψε τὸ ἀΐδιον· καὶ ἐκ τῆς ὄντως
ζωῆς, ἡ ζωοποιὸς προῆλθε πηγή· καὶ ἐκ τῆς αὐτοῦ δυνάμεως, ἡ τοῦ
Υἱοῦ δύναμις ἐξεφάνη· ὅς ἐστιν ἀπαύγασμα τῆς δόξης, καὶ Λόγος ἐνυ-
πόστατος· ἐν ἀρχῇ ὢν πρὸς τὸν Θεόν, καὶ Θεὸς ὤν, ἄναρχός τε καὶ
ἀΐδιος· δι᾽ οὗ τὰ πάντα ἐγένετο, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· καὶ ἓν εἰ-
δὼς Πνεῦμα ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, Θεὸν τέλειον
καὶ ζωοποιόν, καὶ ἁγιασμοῦ παρεκτικόν· ταυτοθελές· παντοδύναμον·
συναΐδιον· ἐνυπόστατον. Οὕτως οὖν προσκύνει τὸν Πατέρα, καὶ τὸν
Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, ἐν τρισὶν ὑποστάσεσιν, εἴτουν ἰδιότησι,
καὶ Θεότητι μιᾷ· κοινὸν μὲν γὰρ τῶν τριῶν ἡ Θεότης, καὶ μία αὐτῶν
ἡ φύσις· μία οὐσία· μία δόξα· μία βασιλεία· μία δύναμις· μία ἐξουσία·
κοινὸν δὲ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, τὸ ἐκ τοῦ Πατρός· ἴδιον δέ, τοῦ
Πατρὸς μέν, ἡ ἀγεννησία· Υἱοῦ δέ, ἡ γέννησις· Πνεύματος δέ, ἡ ἐκ-
πόρευσις.

Οὕτω μὲν οὖν ταῦτα πίστευε, καταλαβεῖν δὲ τὸν τρόπον τῆς γεννή-
σεως, ἢ τῆς ἐκπορεύσεως, μὴ ἐπιζήτει· ἀκατάληπτος γάρ· ἀλλ᾽ ἐν
εὐθύτητι καρδίας ἀπεριέργως προσδέχου, ὅτι ὁ Πατήρ, ὁ Υἱός, καὶ τὸ
ἅγιον Πνεῦμα, κατὰ πάντα ἕν εἰσι, πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεν-
νήσεως, καὶ τῆς ἐκπορεύσεως· καὶ ὅτι ὁ μονογενὴς Υἱὸς καὶ Λόγος
τοῦ Θεοῦ καὶ Θεός, διὰ τὴν ἡμετέραν σωτηρίαν κατῆλθεν ἐπὶ γῆς,
εὐδοκίᾳ τοῦ Πατρός, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος· ἀσπόρως
συλληφθεὶς ἐν τῇ μήτρᾳ τῆς ἁγίας Παρθένου, καὶ Θεοτόκου Μαρίας,
διὰ Πνεύματος ἁγίου· καὶ ἀφθόρως ἐξ αὐτῆς γεννηθείς, καὶ ἄνθρωπος
τέλειος γενόμενος· καὶ ὅτι αὐτός, Θεὸς τέλειός ἐστι, καὶ ἄνθρωπος

www.tezaurliturgic.ro



τέλειος, ἐκ δύο φύσεων, Θεότητός τε καὶ ἀνθρωπότητος· καὶ ἐν δύο φύσεσι νοεραῖς, θελητικαῖς τε καὶ ἐνεργητικαῖς, καὶ αὐτεξουσίοις, καὶ κατὰ πάντα τελείως ἐχούσαις, κατὰ τὸν ἑκάστῃ πρέποντα ὅρον τε καὶ λόγον, Θεότητί τε καὶ ἀνθρωπότητί φημι, μιᾷ δὲ συνθέτῳ ὑποστάσει· καὶ ταῦτα δὲ ἀπεριέργως δέχου, μηδόλως τὸν τρόπον μαθεῖν ἐκζητῶν, πῶς ἑαυτὸν ἐκένωσεν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἄνθρωπος γέγονεν ἐκ παρθενικῶν αἱμάτων, ἀσπόρως τε καὶ ἀφθάρτως· ἢ τίς ἡ τῶν δύο φύσεων ἐν μιᾷ ὑποστάσει συνέλευσις· πίστει γὰρ ταῦτα ἐδιδάχθημεν κατέχειν, τὰ θειωδῶς ἡμῖν ἐκ τῆς θείας γραφῆς εἰρημένα· τὸν δὲ τρόπον καὶ ἀγνοοῦμεν, καὶ λέγειν οὐ δυνάμεθα. Πίστευε τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν διὰ σπλάγχνα ἐλέους γενόμενον ἄνθρωπον, πάντα ἀναδέξασθαι τὰ τῆς ἀνθρωπότητος φυσικὰ καὶ ἀδιάβλητα πάθη· ἐπείνασε γάρ, καὶ ἐδίψησε, καὶ ὕπνωσε, καὶ ἐκοπίασε, καὶ ἠγωνίασε τῇ φύσει τῆς ἀνθρωπότητος· καὶ ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν ἤχθη εἰς θάνατον· ἐσταυρώθη γάρ, καὶ ἐτάφη, θανάτου γευσάμενος, τῆς Θεότητος ἀπαθοῦς καὶ ἀτρέπτου διαμεινάσης· οὐδὲν γὰρ ὅλως τῶν παθῶν, τῇ ἀπαθεῖ προσάπτομεν φύσει, ἀλλὰ τῷ προσλήμματι· γινώσκομεν αὐτὸν παθόντα, καὶ ταφέντα, καὶ τῇ θείᾳ δόξῃ ἐκ νεκρῶν ἀναστάντα ἐν ἀφθαρσίᾳ· εἰς οὐρανούς τε ἀνεληλυθότα, καὶ ἥξειν πάλιν μετὰ δόξης, μέλλοντα κρῖναι ζῶντας καὶ νεκρούς, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σώματος, καὶ ἀποδώσειν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς δικαίοις αὐτοῦ σταθμοῖς· «ἀναστήσονται γὰρ οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις» (Ἠσ. κς΄. 19)· καὶ οἱ μὲν τὰς τοῦ Χριστοῦ φυλάξαντες ἐντολάς, καὶ τῇ ὀρθῇ συναπελθόντες πίστει, κληρονομήσουσι ζωὴν αἰώνιον· οἱ δὲ ἁμαρτίαις καταφθαρέντες, καὶ τῆς ὀρθῆς πίστεως ἐκκλίναντες, εἰς κόλασιν ἀπελεύσονται αἰώνιον.

Πίστευε μὴ οὐσίαν τινὰ εἶναι τοῦ κακοῦ, ἢ βασιλείαν, μηδὲ ἄναρχον αὐτὴν ὑπολάμβανε, ἢ παρ' ἑαυτῆς ὑποστᾶσαν, ἢ παρὰ Θεοῦ γενομένην· ἄπαγε τῆς ἀτοπίας· ἀλλ' ἡμέτερον ἔργον τοῦτο καὶ τοῦ διαβόλου, ἐκ τῆς ἡμετέρας ἀπροσεξίας ἐπεισελθὸν ἡμῖν, διὰ τὸ αὐτεξουσίους ἡμᾶς γεγενῆσθαι, καὶ αὐτοπροαιρέτῳ βουλήσει ἐκλέγεσθαι εἴτε τὸ ἀγαθόν, εἴτε τὸ φαῦλον. Πρὸς τούτοις ὁμολόγει ἓν βάπτισμα ἐξ ὕδατος καὶ Πνεύματος, εἰς ἄφεσιν ἁμαρτιῶν. Δέχου καὶ τὴν μετάληψιν τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, πιστεύων ἐν ἀληθείᾳ σῶμα καὶ αἷμα ὑπάρχειν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἃ δέδωκε τοῖς πιστοῖς εἰς ἄφεσιν ἁμαρτιῶν· ἐν τῇ νυκτὶ γάρ, ᾗ παρεδίδοτο, διαθήκην καινὴν διέθετο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ Ἀποστόλοις, καὶ δι' αὐτῶν πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν, εἰπών· «λάβετε, φάγετε· τοῦτό ἐ-



στι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν» (Ματθ. κς΄. 26). Ὁμοίως καὶ τὸ ποτήριον λαβών, δέδωκεν αὐτοῖς, λέγων· «πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν» (Μάρκ. ιδ΄. 22. Λουκ. κβ΄. 17). Αὐτὸς οὖν ὁ Λόγος τοῦ Θεοῦ, ὁ ζῶν καὶ ἐνεργής, καὶ πάντα ποιῶν τῇ δυνάμει αὐτοῦ, ποιεῖ καὶ μετασκευάζει διὰ τῆς θείας ἱερολογίας τὸν ἄρτον καὶ τὸν οἶνον τῆς προσφορᾶς εἰς σῶμα αὐτοῦ καὶ αἷμα, τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, εἰς ἁγιασμὸν καὶ φωτισμὸν τῶν πόθῳ μεταλαμβανόντων.

Προσκύνει, πίστει κατασπαζόμενος, τὸ σεβάσμιον ἐκτύπωμα τοῦ δεσποτικοῦ χαρακτῆρος, τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ Λόγου, αὐτὸν δοκῶν τὸν κτίστην ὁρᾷν ἐν τῇ εἰκόνι. «Ἡ τιμὴ γὰρ τῆς εἰκόνος, φησί τις τῶν θεηγόρων, ἐπὶ τὸ πρωτότυπον διαβαίνει» (Βασίλ.)· πρωτότυπον δέ ἐστι τὸ εἰκονιζόμενον, ἐξ οὗ τὸ παράγωγον γίνεται· τὴν γὰρ ἐν εἰκόνι βλέποντες γραφήν, τοῖς τοῦ νοὸς ὀφθαλμοῖς πρὸς τὴν ἀληθινὴν διαβαίνομεν ἰδέαν, οὗ καὶ ἔστιν ἡ εἰκών, εὐσεβῶς προσκυνοῦντες τὴν τοῦ δι' ἡμᾶς σαρκωθέντος μορφήν· οὐ θεοποιούμενοι, ἀλλ' ὡς εἰκόνα τοῦ σαρκωθέντος Θεοῦ κατασπαζόμενοι, πόθῳ καὶ ἀγάπῃ τοῦ κενώσαντος ἑαυτὸν δι' ἡμᾶς μέχρι καὶ δούλου μορφῆς· ὁμοίως καὶ τῆς ἀχράντου Μητρὸς αὐτοῦ, καὶ πάντων τῶν ἁγίων τὰ ἐκτυπώματα, τούτῳ τῷ λόγῳ περιπτυσσόμεθα. Ὡσαύτως δὲ καὶ τὸν τύπον τοῦ σεβασμίου καὶ ζωοποιοῦ Σταυροῦ, πίστει προσκυνῶν, κατασπάζου, διὰ τὸν κρεμασθέντα ἐν αὐτῷ σαρκί, ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ Σωτῆρα τοῦ κόσμου, καὶ δόντα ἡμῖν τοῦτον σύμβουλον τῆς κατὰ τοῦ διαβόλου νίκης· φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾷν αὐτοῦ τὴν δύναμιν. Ἐν τοιούτοις δόγμασι, καὶ μετὰ τοιαύτης πίστεως βαπτισθήτῃ, ἄτρεπτον ταύτην καὶ ἀμιγῆ πάσης αἱρέσεως φυλάττων αὐτήν, μέχρις ἐσχάτης ἀναπνοῆς. Πᾶσαν δὲ διδασκαλίαν, καὶ πᾶσαν δογματικὴν φωνήν, ταύτῃ τῇ ἀμωμήτῳ ἀνθισταμένην πίστει, βδελύσσου, καὶ ἀλλοτρίωσιν λογίζου εἶναι Θεοῦ· φησὶ γὰρ ὁ Ἀπόστολος· «ὅτι κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω» (Γαλ. ά. 8). Οὐκ ἔστι γὰρ ἄλλο εὐαγγέλιον, καὶ ἄλλη πίστις, πλὴν ἡ διὰ τῶν Ἀποστόλων κηρυχθεῖσα, καὶ διὰ τῶν θεοφόρων Πατέρων ἐν διαφόροις συνόδοις βεβαιωθεῖσα, καὶ τῇ καθολικῇ Ἐκκλησίᾳ παραδοθεῖσα.

Ταῦτα εἰπὼν ὁ Βαρλαάμ, καὶ τὸ τῆς πίστεως σύμβολον τὸ ἐκτεθὲν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ διδάξας τὸν τοῦ βασιλέως υἱόν, ἐβάπτισεν

αὐτὸν εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, εἰς τὴν κολυμβήθραν τοῦ ὕδατος, τὴν οὖσαν ἐν τῷ παραδείσῳ αὐτοῦ, καὶ ἦλθεν ἐπ᾽ αὐτὸν ἡ χάρις τοῦ ἁγίου Πνεύματος. Ἐπανελθὼν δὲ εἰς τὸν αὐτοῦ κοιτῶνα, καὶ τὴν ἱερὰν ἐπιτελέσας μυσταγωγίαν τῆς ἀναιμάκτου θυσίας, μετέδωκεν αὐτῷ τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, καὶ ἠγαλλιάσατο τῷ πνεύματι, δόξαν ἀναπέμπων Χριστῷ τῷ Θεῷ ἡμῶν.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Βαρλαάμ· εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἀναγεννήσας σε εἰς ἐλπίδα ζωῆς, εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν διὰ Πνεύματος ἁγίου. Σήμερον γὰρ ἠλευθερώθης ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθης δὲ τῷ Θεῷ, τὸν ἀρραβῶνα δεξάμενος τῆς αἰωνίου ζωῆς καὶ τὸ σκότος ἀπολιπών, φῶς ἐνεδύσω, καταταγεὶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· «ὅσοι γάρ, φησιν, ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ» (Ἰωάν. ά. 12). «Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ᾽ υἱός, καὶ κληρονόμος Θεοῦ, διὰ Ἰησοῦ Χριστοῦ ἐν Πνεύματι ἁγίῳ» (Γαλάτ. δ΄. 7). Διό, ἀγαπητέ, σπούδασον ἄσπιλος καὶ ἄμωμος αὐτῷ εὑρεθῆναι, ἐργαζόμενος τὸ ἀγαθὸν ἐπὶ τῷ θεμελίῳ τῆς πίστεως, καθὼς καὶ πρότερον μέμνημαι λαλήσας σοι. Ἀποθέμενος οὖν πᾶσαν κακίαν, καὶ πάντα τὰ ἔργα τοῦ παλαιοῦ ἀνθρώπου μισήσας, τὰ φθειρόμενα κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ὡς ἀρτιγέννητον βρέφος, τὸ λογικὸν καὶ ἄδολον γάλα τῶν ἀρετῶν ἐπιπόθησον πιεῖν· ἵνα ἐν αὐτῷ αὐξηθῇς, καὶ φθάσῃς εἰς τὴν ἐπίγνωσιν τῶν ἐντολῶν τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· μηκέτι νήπιος ὢν ταῖς φρεσί, κλυδωνιζόμενος καὶ περιφερόμενος τῇ ζάλῃ καὶ τρικυμίᾳ τῶν παθῶν· ἀλλὰ τῇ μὲν κακίᾳ νηπιάζων, πρὸς δὲ τὸ ἀγαθὸν στερέμνιον καὶ πεπαγιωμένον ἔχων τὸν νοῦν, καὶ ἀξίως περιπατῶν τῆς κλήσεως, ἧς ἐκλήθης, ἐν φυλακῇ τῶν ἐντολῶν τοῦ Κυρίου· ἀποσεισάμενος ἑαυτοῦ καὶ ἀλλοτριώσας τὴν ματαιότητα τῆς προτέρας ἀναστροφῆς· καθὼς τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ, καὶ ἀπηλλοτριωμένοι τῆς δόξης τοῦ Θεοῦ, ὑποτεταγμένοι ταῖς ἐπιθυμίαις αὐτῶν καὶ ἀλόγοις ὁρμαῖς.

Σὺ δὲ ὥσπερ προσῆλθες Θεῷ ζῶντι καὶ ἀληθινῷ, οὕτω δὴ καὶ ὡς υἱὸς φωτὸς περιπάτησον· «ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ» (Ἐφεσ. έ 9)· καὶ τὸν ἐνδυθέντα σοι σήμερον νέον ἄνθρωπον μηκέτι καταφθείρῃς τῇ προτέρᾳ πα-



λαιότητι· ἀλλ᾽ ἀνακαινίζου καθ᾽ ἑκάστην ἐν δικαιοσύνῃ, καὶ ὁσιότητι, καὶ ἀληθείᾳ· δυνατὸν γὰρ τοῦτο παντὶ τῷ βουλομένῳ· καθάπερ ἀκούεις, ὅτι «ἐξουσίαν δέδωκε τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ» (Ἰωάν. ά. 12)· ὥστε οὐκέτι δυνάμεθα λέγειν, ὅτι ἀδύνατος ἡμῖν ἡ κτῆσις τῶν ἀρετῶν· εὔκολος γὰρ ἡ ὁδὸς καὶ ῥᾳδία, εἰ καὶ στενή πως καὶ τεθλιμμένη κέκληται διὰ τὸν ὑπωπιασμὸν τοῦ σώματος· ὅμως ποθεινή ἐστι καὶ εὐθεῖα διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν τοῖς μὴ ἀσόφως περιπατοῦσιν, ἀλλ᾽ ἀκριβῶς συνιοῦσι τί τὸ θέλημα τοῦ Θεοῦ, καὶ τὴν πανοπλίαν αὐτοῦ ἀμπεχομένοις, εἰς παράταξιν τῶν μεθοδειῶν τοῦ ἀντικειμένου, καὶ ἐν προσευχῇ καὶ δεήσει εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦσιν ἐν πάσῃ ὑπομονῇ καὶ ἐλπίδι. Σὺ οὖν καθὼς ἤκουσας παρ᾽ ἐμοῦ καὶ ἐδιδάχθης, καὶ βεβαίαν κατεβάλλου κρηπῖδα, ἐν αὐτῇ περισσεύου, αὐξανόμενος καὶ προκόπτων, καὶ τὴν καλὴν στρατευόμενος στρατείαν· ἔχων πίστιν, καὶ ἀγαθὴν συνείδησιν δι᾽ ἔργων ἀγαθῶν μαρτυρουμένην· διώκων ἀγαθωσύνην καὶ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα, ἐπιλαβόμενος τῆς αἰωνίου ζωῆς, εἰς ἣν ἐκλήθης· πᾶσαν δὲ ἡδονήν, καὶ ἐπιθυμίαν τῶν παθῶν, μὴ μόνον τῇ κατὰ πρᾶξιν ἐνεργείᾳ μακρύνῃς ἀπὸ σοῦ, ἀλλὰ καὶ ταῖς κατ᾽ ἔννοιαν ἐνθυμήσεσιν, ὡς ἂν ἀμόλυντόν σου τὴν ψυχὴν τῷ Θεῷ ὑποδείξῃς· οὐ μόνον γὰρ αἱ πράξεις, ἀλλὰ καὶ αἱ ἐνθυμήσεις ἡμῶν, ἀνάγραπτοι οὖσαι, στεφάνων, ἢ τιμωριῶν πρόξενοι γίνονται· ταῖς καθαραῖς δὲ καρδίαις ἐνοικεῖν τὸν Χριστόν, ἅμα Πατρὶ καὶ ἁγίῳ Πνεύματι ἐπιστάμεθα· ὡς δ᾽ αὖ πάλιν καπνὸς μελίσσας, οὕτω τοὺς πονηροὺς λογισμοὺς ἐκδιώκειν ἡμῶν τὴν τοῦ Πνεύματος χάριν μεμαθήκαμεν καὶ ἔγνωμεν. Διὸ ἐπιμελῶς πρὸς τοῦτο ἔχων, πάντα λογισμὸν ἐμπαθείας ἀπαλείψας τῆς ψυχῆς, τὰς ἀρίστους ἐμφύτευσον ἐννοίας, ναὸν σεαυτὸν ποιῶν τοῦ ἁγίου Πνεύματος· ἐκ τῶν διαλογισμῶν γὰρ καὶ πρὸς τὰς κατ᾽ ἐνέργειαν πράξεις ἐρχόμεθα· καὶ πᾶν ἔργον ἀπὸ ἐννοίας καὶ ἐνθυμήσεως προκόπτον, μικρᾶς ἐπιλαμβάνεται ἀρχῆς, εἶτα ταῖς κατὰ μέρος αὐξήσεσιν, εἰς μέγα καταλήγει.

Διὰ τοῦτο μηδόλως σου κυριεῦσαι συνήθειαν ἐάσῃς κακήν· ἀλλὰ νεαρᾶς ἔτι οὔσης, ἔξελέ σου τῆς καρδίας τὴν πονηρὰν ῥίζαν, ἵνα μή, ἐκφυεῖσα καὶ ἐν τῷ βάθει τὰς ῥίζας ἐμπήξασα, χρόνου καὶ κόπου δεηθῇ τοῦ ἐκριζωθῆναι. Διὰ τοῦτο γὰρ ἀεὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισέρχεται ἡμῖν, καὶ καταδυναστεύει τῶν ἡμετέρων ψυχῶν, ὅτι τὰ ἐλάττονα δοκοῦντα εἶναι, οἷον ἐνθυμήσεις πονηραί, λόγοι ἀπρεπεῖς, ὁμιλίαι κακαί, τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως· ὥσπερ γὰρ ἐν τοῖς σώμασιν οἱ μικρῶν καταφρονήσαντες τραυμάτων σηπεδόνας,

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



πολλάκις καὶ θάνατον ἑαυτοῖς προεξένησαν, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν οἱ τῶν μικρῶν ὑπερορῶντες παθῶν καὶ ἁμαρτημάτων, τὰ μείζονα ἐπι-συνάγουσι· καθόσον δὲ τὰ μείζονα ἐπεισέρχεται αὐτοῖς, ἐν ἕξει γε-νομένη ἡ ψυχή, καταφρονεῖ· «ἀσεβὴς γάρ, φησιν, ἐλθὼν εἰς βάθος κα-κῶν, καταφρονεῖ» (Παρ. ιη'. 3) Καὶ λοιπὸν ὥσπερ ὗς ἐγκυλινδού-μενος βορβόρῳ ἥδεται, οὕτω καὶ ἡ ψυχὴ ἐκείνη ταῖς κακαῖς συνη-θείαις καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτημάτων δυσωδίας, ἀλλὰ τέρπεται μᾶλλον ἐν αὐταῖς, καὶ ἐνηδύνεται, ὡς ἀγα-θοῦ τινος τῆς κακίας ἀντεχομένη· κἂν ὀψὲ δέποτε ἀνανήψασα εἰς αἴ-σθησιν ἔλθῃ, κόπῳ πολλῷ καὶ ἱδρῶτι ἐλευθεροῦται, ὧν ἐθελοντὶ κατε-δούλωσεν ἑαυτὴν τῇ πονηρᾷ συνηθείᾳ. Διὰ τοῦτο πάσῃ δυνάμει μά-κρυνον ἑαυτὸν ἀπὸ πάσης ἐννοίας καὶ ἐνθυμήσεως πονηρᾶς, καὶ πά-σης ἐμπαθοῦς συνηθείας· μᾶλλον δὲ ταῖς ἀρεταῖς ἔθιζε ἑαυτόν, καὶ ἐν ἕξει τῆς τούτων γενοῦ ἐργασίας· εἰ γὰρ μικρὸν κοπιάσεις ἐν αὐταῖς, καὶ ἐν ἕξει γενέσθαι ἰσχύσεις, ἀκόπως λοιπὸν τῇ τοῦ Θεοῦ συνεργείᾳ προκόψεις· ἡ γὰρ ἕξις τῆς ἀρετῆς, τῇ ψυχῇ ποιωθεῖσα, ὡς ἅτε φυσι-κὴν συγγένειαν πρὸς αὐτὴν ἔχουσα, καὶ τὸν Θεὸν συνεργὸν κεκτη-μένη, δυσμετάβλητος γίνεται, καὶ ἀσφαλεστάτη, καθὼς ὁρᾷς· ὅτι καὶ ἡ ἀνδρεία, καὶ ἡ φρόνησις, σωφροσύνη τε καὶ δικαιοσύνη, δυσμετά-βλητοί εἰσιν, ἕξεις οὖσαι τῆς ψυχῆς, καὶ ποιότητες, καὶ ἐνέργειαι, διὰ βάθους κεχωρηκυῖαι. Εἰ γὰρ τὰ πάθη τῆς κακίας οὐ φυσικὰ ἡμῖν ὄντα, ἀλλ' ἔξωθεν ἐπεισελθόντα, ἡνίκα ἐν ἕξει γένωνται δυσμετάβλητά εἰσι, πόσῳ μᾶλλον ἡ ἀρετὴ φυσικῶς ἡμῖν ἐμφυτευθεῖσα ὑπὸ τοῦ δημιουρ-γοῦ, καὶ αὐτὸν ἐπίκουρον ἔχουσα, εἰ μικρὸν ἀγωνισαμένων ἡμῶν, ἐν ἕξει ῥιζωθῇ τῇ ψυχῇ δυσμετάβλητος ἔσται;

Ὅθεν μοι ταύτης ἐργάτης διηγήσατό τις, ὅτι μετὰ τὸ προσλαβέ-σθαι με τὴν θείαν θεωρίαν ἐν ἕξει βεβαιοτάτῃ, καὶ τῇ ταύτης μελέτῃ ποιωθῆναι τὴν ψυχήν, βουληθεὶς ποτε ἀπόπειραν αὐτῆς ποιήσασθαι, κατέσχον τὸν νοῦν μου, μὴ συγχωρήσας τῇ κατ' ἔθος ἐπιβαλεῖν με-λέτῃ· καὶ ἔγνων αὐτὸν ἀνιώμενον καὶ δυσφοροῦντα, καὶ πρὸς αὐτὴν ἀσχέτῳ ἐπειγόμενον πόθῳ, μηδόλως δὲ πρὸς ἐναντίαν ἐνθύμησιν ἀ-ποκλῖναι ἰσχύοντα· ἡνίκα δὲ μικρὸν ἐνέδωκα τὰς ἡνίας, ὀξυδρόμως εὐ-θὺς ἀνέδραμε πρὸς τὴν αὐτοῦ ἐργασίαν· καθά φησιν ὁ προφήτης. «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός. Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα» (Ψαλμ. μα'. 1). Ἀποδέδεικται οὖν ἐκ πάν-των τούτων, ὡς ἐφ' ἡμῖν ἔστιν ἡ κτῆσις τῆς ἀρετῆς, καὶ ἡμεῖς ταύτης κύριοι καθεστήκαμεν, εἴτε θελήσομεν αὐτῆς ἀνθέξεσθαι, εἴτε τὴν ἁμαρ-



τίαν προκρῖναι. Οἱ μὲν οὖν δουλωθέντες τῇ κακίᾳ, δυσαποσπάστως αὐτῆς ἔχουσι, καθὰ δὴ προλαβὼν εἶπον· σὺ δὲ λοιπὸν ἐλευθερωθεὶς ταύ-της διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, καὶ τὸν Χριστὸν ἐνδεδυμένος τῇ τοῦ θείου Πνεύματος χάριτι, ὅλον σεαυτὸν μετάθες ἐπὶ τὸν Κύριον, καὶ μηδόλως ἔτι θύραν τοῖς πάθεσιν ἀνοίξῃς· ἀλλὰ τῇ εὐωδίᾳ καὶ λαμ-πρότητι τῶν ἀρετῶν κατακοσμήσας σου τὴν ψυχήν, ναὸν αὐτὴν ποίη-σον τῆς ἁγίας Τριάδος, τῇ ταύτης θεωρίᾳ πάσας σου τὰς τοῦ νοὸς δυ-νάμεις ἀπασχολήσας. Εἰ γὰρ βασιλεῖ τις ἐπιγείῳ συνδιάγων καὶ δια-λεγόμενος, μακαριστὸς πᾶσι δείκνυται, ὁ Θεῷ διαλέγεσθαι καὶ συνεῖ-ναι τῷ νοΐ καταξιωθείς, πόσης ἀπολαύσεται μακαριότητος;

Αὐτὸν οὖν ἐνοπτρίζου πάντοτε, καὶ αὐτῷ προσομίλει· πῶς δὲ προσο-μιλήσεις Θεῷ; τῇ διὰ τῆς προσευχῆς καὶ δεήσεως πρὸς αὐτὸν ἐγγύ-τητι· ὁ γὰρ πόθῳ θερμοτάτῳ, καὶ καρδίᾳ κεκαθαρμένῃ προσευχόμενος, πάντων μὲν τῶν ὑλικῶν καὶ χαμαιζήλων μακρύνας τὸν νοῦν, ὡς ἐνώ-πιος δὲ ἐνωπίῳ παριστάμενος τῷ Θεῷ, φόβῳ τε καὶ τρόμῳ τὰς δεή-σεις αὐτῷ προσάγων, ὁ τοιοῦτος ὁμιλεῖ αὐτῷ, καὶ πρόσωπον πρὸς πρόσωπον διαλέγεται· πάρεστι γὰρ πανταχοῦ ὁ ἀγαθὸς ἡμῶν Θεὸς καὶ Δεσπότης, ἐπακούων τῶν εἰλικρινῶς καὶ καθαρῶς εὐχομένων αὐτῷ καθά φησιν ὁ προφήτης· «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν» (Ψαλμ. λγ'. 16)· καὶ διὰ τοῦτο οἱ Πατέρες τὴν προσευχὴν ἕνωσιν ἀνθρώπου πρὸς Θεὸν ὁρίζονται· καὶ ἔργον Ἀγ-γέλων ταύτην καλοῦσι, καὶ τῆς μελλούσης εὐφροσύνης προοίμιον. Ἐπεὶ γὰρ βασιλείαν οὐρανῶν ἐγγύτητα καὶ θεωρίαν τῆς ἁγίας Τριά-δος πλέον πάντων τίθεται, πρὸς ταύτην δὲ καὶ ἡ τῆς προσευχῆς προσε-δρία τὸν νοῦν χειραγωγεῖ, εἰκότως προοίμιον, καὶ οἱονεὶ προεικόνι-σμα ἐκείνης τῆς μακαριότητος κέκληται αὕτη. Οὐ πᾶσα δὲ εὐχὴ οὑτωσὶ καθέστηκεν, ἀλλ' ἡ τῆς προσηγορίας ταύτης ὄντως ἀξία· ἡ Θεὸν ἔχουσα διδάσκαλον, τὸν διδόντα εὐχὴν τῷ εὐχομένῳ· ἡ πάντων τῶν ἐπὶ γῆς ὑπεραρθεῖσα, καὶ τῷ Δεσπότῃ Θεῷ ἀμέσως ἐντυγχάνουσα. Ταύτην σεαυτῷ περιποιοῦ, καὶ εἰς ταύτην ἀγωνίζου προκόπτειν· ἱκανὴ γὰρ ὑπάρχει ἐκ γῆς εἰς οὐρανοὺς ὑψῶσαί σε· οὐκ ἀπαρασκευάστως δέ, καὶ ὡς ἔτυχε προκόψεις ἐν ταύτῃ, ἀλλὰ πάντων τῶν παθῶν τὴν ψυ-χὴν καθάρας, καὶ πάσης πονηρᾶς ἐνθυμήσεως ταύτην ἀποσμήξας, ὡς καθαρὸν καὶ νεόσμηκτον ἔσοπτρον, πάσης τε μνησικακίας καὶ μήνι-δος σεαυτὸν μακρύνας, ἥτις πλέον πάντων τὰς ἡμετέρας εὐχὰς πρὸς Θεὸν ἀνάγεσθαι κωλύει, πᾶσί τε τοῖς ἡμαρτηκόσι σοι ἀπὸ καρδίας ἀ-φεὶς τὰ πλημμελήματα, καὶ ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων τὴν εὐχὴν πτερώσας, προσάγαγε τῷ Θεῷ μετὰ θερμῶν δακρύων. Οὕ-

www.tezaurliturgic.ro



τως εὐχόμενος, δυνήσῃ εἰπεῖν ὡς ὁ μακάριος Δαβίδ· οὗτος γάρ, βασιλεὺς ὤν, καὶ μυρίαις ἑλκόμενος φροντίσι, πάντων τῶν παθῶν τὴν ἑαυτοῦ ψυχὴν καθαρίσας, ἔλεγε πρὸς τὸν Θεόν· «ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου Κύριε κατὰ τὸ λόγιόν σου συνέτισόν με» (Ψαλμ. ριη΄. 163). «Οὕτω βοῶντός σου, ὁ Θεὸς ἐπακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι» (Ἠσαΐ. νη΄. θ).

Εἰ τοιαύτην εὐχὴν κτήσῃ, μακάριος ἔσῃ· ἀμήχανον γὰρ ἄνθρωπον μετὰ τοιαύτης προθυμίας εὐχόμενον, καὶ παρακαλοῦντα τὸν Θεόν, μὴ καθ᾽ ἑκάστην προκόπτειν ἐν τῷ ἀγαθῷ, καὶ πασῶν ὑπερίπτασθαι τῶν τοῦ ἐχθροῦ παγίδων· ὁ γὰρ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καθάπερ τις τῶν ἁγίων ἔφησε, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν Δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἰδίων ἁμαρτημάτων ἀναμνησθείς, καὶ περὶ τῆς συγχωρήσεως τούτων διαλεχθείς, καὶ δάκρυσι θερμοτάτοις δεηθεὶς ἵλεων γενέσθαι αὐτῷ τὸν φιλάνθρωπον, ἀπὸ τῆς ἐν τοῖς λόγοις καὶ διαλογισμοῖς τούτοις διατριβῆς, πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα, καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται, καὶ Θεῷ συνόμιλος ἀξιοῦται κληθῆναι· οὗπερ τί γένοιτ᾽ ἂν ὑψηλότερον ἢ μακαριώτερον; Ἀξιώσαί σε οὖν Κύριος τῆς τοιαύτης ἐπιτυχεῖν μακαριότητος. Ἰδοὺ γάρ σοι τὴν ὁδὸν ὑπέδειξα τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ οὐδὲν ὑπεστειλάμην τοῦ ἀναγγεῖλαί σοι πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ· καὶ ἐγὼ μὲν ἤδη τὴν πρὸς σέ μου διακονίαν τετέλεκα· λοιπὸν αὐτὸς ἀναζωσάμενος τὴν ὀσφὺν τῆς διανοίας σου, κατὰ τὸν καλέσαντά σε ἅγιον, καὶ αὐτὸς ἅγιος ἐν πάσῃ ἀναστροφῇ γενοῦ· «ἅγιοι γὰρ γίνεσθε, διότι ἐγὼ ἅγιός εἰμι, λέγει Κύριος» (Λεϋιτ. ιθ΄. 2). Γράφει δὲ καὶ ὁ κορυφαιότατος τῶν Ἀποστόλων. «Εἰ πατέρα, φησίν, ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.» (Α. Πέτρ. α΄. 17).

Ταῦτα οὖν πάντα ἐν καρδίᾳ τιθέμενος, μέμνησο ἀδιαλείπτως, πρὸ ὀφθαλμῶν ἀεὶ ἔχων τὸν φόβον τοῦ Θεοῦ, καὶ τὸ φρικῶδες αὐτοῦ κριτήριον· τὴν φαιδρότητά τε τῶν δικαίων, ἣν μέλλουσιν ἐν ἐκείνῳ ἀπολαβεῖν τῷ αἰῶνι, καὶ τὴν κατήφειαν τῶν ἁμαρτωλῶν ἐν τῷ σκότει τῷ



βαθυτάτῳ· τὴν ἀσθένειάν τε καὶ ματαιότητα τῶν παρόντων, καὶ τὸ τῶν μελλόντων ἀτελεύτητον· «ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα» (Ἠσαΐ. μ΄. 6). Ταῦτα μελέτα διαπαντός· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ εἴη μετὰ σοῦ, φωτίζουσά σε καὶ συνετίζουσα, καὶ εἰς τὴν ὁδὸν ἄγουσα τῆς σωτηρίας, καὶ πᾶν θέλημα πονηρόν, πόῤῥω διώκουσα τοῦ νοός σου· σφραγίζουσα δὲ τὴν ψυχήν σου τῷ τοῦ Σταυροῦ σημείῳ, ἵνα μηδέν σοι πλησιάσῃ τῶν τοῦ πονηροῦ σκανδάλων· ἀλλ᾽ ἀξιωθείης ἐν πάσῃ τελειότητι τῶν ἀρετῶν, τῆς μελλούσης ἐπιτυχεῖν ἀτελευτήτου καὶ ἀδιαδόχου βασιλείας, καὶ τῷ φωτὶ περιλαμφθῆναι τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος, τῆς ἐν Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι δοξαζομένης.

Τοιούτοις οὖν ἠθικοῖς ῥήμασι νουθετήσας ὁ τιμιώτατος γέρων τὸν τοῦ βασιλέως υἱόν, εἰς τὴν ἰδίαν ἀπῄει ξενίαν. Οἱ δὲ ὑπηρέται τοῦ νέου, καὶ οἱ παιδαγωγοί, τὴν συχνὴν αὐτοῦ εἰσέλευσιν ἐν τῷ παλατίῳ ὁρῶντες, ἐθαύμαζον. Εἷς δὲ τῶν προεχόντων ἐν αὐτοῖς, ὃν ὡς πιστότατον καὶ εὐγνώμονα κατέστησεν ὁ βασιλεὺς ἐπὶ τοῦ παλατίου τοῦ υἱοῦ αὐτοῦ, Ζαρδὰν καλούμενος, φησὶ πρὸς τὸν τοῦ βασιλέως υἱόν· οἶδας πάντως, ὦ δέσποτα, ὅσος ἐπ᾽ ἐμοὶ ὁ τοῦ σοῦ πατρὸς φόβος, καὶ ὅση μου ἡ πρὸς αὐτὸν πίστις· διό με καὶ ὡς οἰκέτην πιστότατον, καθυπηρετεῖν σοι παρεκελεύσατο· νυνὶ δὲ τὸν ἄνδρα τοῦτον τὸν ξένον συχνῶς ὁρῶν ὁμιλοῦντά σοι, δέδοικα μήποτε τῆς τῶν χριστιανῶν εἴη θρησκείας, πρὸς ἣν λίαν ἀπεχθῶς διάκειται ὁ σὸς πατήρ, καὶ τῆς θανατηφόρου εὑρεθήσομαι ὑπεύθυνος ψήφου· εἴτε οὖν τὰ περὶ αὐτοῦ τῷ βασιλεῖ γνώρισον, εἴτε τοῦ λοιποῦ παῦσαι τούτῳ προσομιλεῖν· εἰ δὲ μὴ τοῦτο, ἔκβαλόν με τοῦ σοῦ προσώπου, ὡς ἂν μὴ μεμπτέος ὦ, καὶ ἄλλον αἴτησαι τὸν πατέρα σου ἀγαγεῖν ἐνταῦθα. Ὁ δὲ τοῦ βασιλέως υἱὸς ἔφη πρὸς αὐτόν· τοῦτο πρὸ πάντων, ὦ Ζαρδάν, ποίησον· καθέσθητι σὺ ἔνδον παραπετάσματος, καὶ ἄκουσον τῆς αὐτοῦ πρός με συνομιλίας, καὶ εἶθ᾽ οὕτω λαλήσω σοι τί δεῖ ποιῆσαι.

Μέλλοντος δὲ τοῦ Βαρλαὰμ πρὸς αὐτὸν εἰσελθεῖν, εἰσήγαγε τὸν Ζαρδὰν ἐντὸς τοῦ παραπετάσματος, καὶ λέγει τῷ γέροντι· ἀνακεφαλαίωσαί μοι τὰ τῆς ἐνθέου σου διδασκαλίας, ὡς ἂν κραταιότερον ἐμφυτευθῇ μου τῇ καρδίᾳ. Ὑπολαβὼν δὲ ὁ Βαρλαάμ, πολλὰ περὶ Θεοῦ, καὶ τῆς εἰς αὐτὸν εὐσεβείας ἐφθέγγετο, καὶ ὡς αὐτὸν μόνον δεῖ ἀγαπᾷν ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας, καὶ φυλάττειν τὰς αὐτοῦ ἐντολὰς φόβῳ τε καὶ πόθῳ· καὶ ὅτι αὐτός ἐστιν ὁ ποιητὴς ὁρατῶν τε πάντων καὶ ἀοράτων· πρὸς τούτοις, καὶ τὴν

www.tezaurliturgic.ro



τοῦ πρώτου ἀνθρώπου διάπλασιν ἀνεμίμνησκε· τήν τε δοθεῖσαν αὐτῷ
ἐντολήν, καὶ τὴν ταύτης παράβασιν, καὶ τὴν ἐπὶ παραβάσει τοῦ πλά-
σαντος καταδίκην· εἶτα καθεξῆς τὰ ἀγαθὰ ἀπηριθμεῖτο, ὧν, ἀθετή-
σαντες τὴν ἐντολήν, ἑαυτοὺς ἀπεκλείσαμεν· καὶ αὖθις ἐμέμνητο τῶν
λυπηρῶν, ὅσα μετὰ τὴν ἐκείνων ἀποτυχίαν κατέλαβεν ἀθλίως ἡμᾶς·
ἐπὶ τούτοις, τὰ τῆς φιλανθρωπίας ἐπῆγεν, ὅπως τῆς ἡμετέρας φρον-
τίζων ὁ δημιουργὸς σωτηρίας, διδασκάλους ἀπέστειλε, καὶ προφήτας,
τὴν τοῦ μονογενοῦς κηρύττοντας σάρκωσιν· ἔπειτα καὶ τὴν ἐκείνου
κάθοδον· τὴν ἐνανθρώπησιν· τὰς εὐεργεσίας· τὰ θαύματα· τὰ ὑπὲρ ἡ-
μῶν τῶν ἀχαρίστων παθήματα· τὸν σταυρόν· τὴν λόγχην· τὸν ἑκού-
σιον θάνατον· τέλος, τὴν ἐπανόρθωσιν ἡμῶν· τὴν ἀνάκλησιν· τὴν εἰς
τὸ πρῶτον ἀγαθὸν ἐπάνοδον· μετὰ ταῦτα, τὴν ἐκδεχομένην τοὺς
ἀξίους οὐρανῶν βασιλείαν· τὴν ἀποκειμένην τοῖς φαύλοις βάσα-
νον· τὸ μὴ σβεννύμενον πῦρ· τὸ μὴ λῆγον σκότος· τὸν ἀθάνατον
σκώληκα· καὶ ὅσην ἄλλην οἱ τῆς ἁμαρτίας δοῦλοι κόλασιν ἑαυτοῖς
ἐθησαύρισαν.

Ταῦτα διεξελθών, καὶ εἰς ἠθικὴν διδασκαλίαν τὸν λόγον τελέσας,
πολλά τε περὶ καθαρότητος βίου διαλεχθείς, καὶ τῆς τῶν παρόντων
ματαιότητος καταγνούς, τὴν ἀθλιότητά τε τῶν τούτοις προστετηκό-
των διελέγξας, εἰς εὐχὴν κατέληξε· καὶ ἀπερίτρεπτον αὐτῷ ἐπευξά-
μενος, καὶ ἀκλινῆ τὴν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως, ἀνεπίλη-
πτόν τε βίον, καὶ καθαρωτάτην πολιτείαν, ὁ μέν, τέλος ἐπιθεὶς τῇ
εὐχῇ, πρὸς τὴν ξενίαν αὖθις ἀπῄει. Ὁ δὲ τοῦ βασιλέως υἱός, τὸν Ζαρ-
δὰν προσκαλεσάμενος, καὶ τὴν αὐτοῦ γυμνάζων διάθεσιν, ἔφη· ἤκου-
σας ὁποῖά μοι ὁ σπερμολόγος οὗτος διαλέγεται, ἀπατῆσαί με θέλων
ταῖς κεναῖς αὐτοῦ πιθανολογίαις πειρώμενος, καὶ ἀποστερῆσαι τῆς
τερπνῆς ταύτης εὐφροσύνης καὶ ἀπολαύσεως, καὶ ξένῳ λατρεῦσαι Θεῷ;
Ὁ δὲ Ζαρδάν, τί σοι ἔδοξεν, ἔφη, ὦ βασιλεῦ, πειράζειν με τὸν σὸν οἰ-
κέτην; οἶδα γὰρ οἶδα κατὰ βάθος εἰσδῦναί σου τῇ καρδίᾳ τοὺς λό-
γους τοῦ ἀνδρός· εἰ μὴ γὰρ τοῦτο ἦν, οὐκ ἂν ἡδέως αὐτῷ καὶ ἀδια-
λείπτως ὡμίλεις· καί γε ἡμεῖς οὐκ ἀγνοοῦμεν τουτὶ τὸ κήρυγμα· ἀλλ'
ἐξ ὅτου ὁ σὸς πατὴρ διωγμὸν ἄσπονδον κατὰ τῶν χριστιανῶν ἐξήγει-
ρεν, ἀπηλάθησαν αὐτοὶ τῶν ἐνταῦθα, καὶ ἐσίγησε τὸ κήρυγμα αὐτῶν·
εἰ δὲ νῦν ἀρεστόν σοι τὸ δόγμα κατεφάνη, καὶ τὸ σκληρὸν αὐτοῦ καὶ
ἐπίπονον ἀναδέξασθαι ἰσχύεις, κατευθυνθείη σου τὰ θελήματα εἰς τὸ
ἀγαθόν· ἐγὼ δὲ τί ποιήσω, πρὸς μὲν τὴν τοιαύτην σκληρότητα μηδ'
ἀντοφθαλμῆσαι δυνάμενος, τῷ δὲ φόβῳ τοῦ βασιλέως τὴν ψυχὴν ἐν
ὀδύναις καὶ ἀλγηδόσι μεριζόμενος; τί ἀπολογήσομαι αὐτῷ, ἀμελῶς



τοῖς αὐτοῦ διατεθεὶς προστάγμασι, καὶ τῷ ἀνδρὶ τούτῳ τῆς πρὸς σὲ
παραχωρήσας εἰσόδου;

Ἔφη δὲ πρὸς αὐτὸν ὁ τοῦ βασιλέως υἱός· ἐγὼ μέν, τῆς πολλῆς
σου πρός με εὐγνωμοσύνης μηδεμίαν ἄλλην ἀξίαν ἀμοιβὴν γινώσκων,
ταύτην τὴν ὑπὲρ ἀξίαν εὑρηκώς, ἐπ' εὐεργεσίᾳ τῇ σῇ κατάδηλον ποι-
ῆσαί σοι τὸ ὑπὲρ φύσιν ἀγαθὸν ἔργον πεποίηκα, τοῦ γνωρίσαι σε εἰς
ὃ γεγένησαι, καὶ τὸν δημιουργὸν ἐπιγνῶναι· ἀπολιπόντα σε τὸ σκό-
τος, τῷ φωτὶ προσδραμεῖν· καὶ ἤλπιζον ἅμα τὸ ἀκοῦσαί σε, πόθῳ ἀ-
σχέτῳ τούτῳ ἀκολουθῆσαι· ἀλλ' ἐψεύσθην, καθὼς ὁρῶ, τῆς ἐλπίδος,
χλιαρῶς σε βλέπων πρὸς τὰ λαληθέντα διακείμενον· τῷ δὲ βασιλεῖ
καὶ πατρί μου, εἰ ταῦτα δηλώσεις, οὐδὲν ἕτερον ποιήσεις, ἢ μερίμναις
καὶ λύπαις τὴν ψυχὴν αὐτοῦ ἀηδίσεις· ἀλλ' εἴπερ αὐτῷ εὐγνωμονεῖς,
μηδόλως ἄχρι καιροῦ τοῦ προσήκοντος ἀναγγείλῃς τι περὶ τούτων.
Τοιαῦτα μὲν πρὸς αὐτὸν λαλήσας, ἐφ' ὑδάτων ἐδόκει σπείρειν· εἰς
ψυχὴν γὰρ ἀσύνετον, οὐκ εἰσελεύσεται σοφία. Τῇ ἐπαύριον δὲ ὁ Βαρ-
λαὰμ ἐλθών, τὰ τῆς ἀποδημίας ὡμίλει. Ὁ δέ, τὸν τούτου μὴ φέρων
χωρισμόν, τὴν ψυχὴν ἠνιᾶτο, καὶ δακρύων τοὺς ὀφθαλμοὺς ἐπεπλή-
ρωτο. Πολλὰ δὲ ὁ γέρων αὐτῷ διαλεχθείς, καὶ ἀκλόνητον αὐτὸν δια-
μένειν ἐν τῷ ἀγαθῷ μαρτυράμενος, λόγοις τε παρακλητικοῖς στηρί-
ξας αὐτοῦ τὴν καρδίαν, ἱλαρῶς αὐτὸν ἐξαποστεῖλαι ἠξίου· ἅμα δὲ καὶ
προέλεγεν οὐκ εἰς μακρὰν αὐτοὺς ἑνοῦσθαι ἑνώσει ἀδιαιρέτῳ.

Ὁ δὲ τοῦ βασιλέως υἱὸς μὴ δυνάμενος ἐπιπλεῖον κόπους παρέχειν
τῷ γέροντι, καὶ τῆς ποθουμένης αὐτὸν κωλύειν ὁδοῦ, ἅμα δὲ καὶ ὑφο-
ρώμενος μὴ δῆλα τὰ περὶ αὐτὸν ὁ Ζαρδὰν ἐκεῖνος τῷ βασιλεῖ ποιή-
σηται, καὶ τιμωρίαις αὐτὸν ὑποβαλεῖ, λέγει πρὸς αὐτόν. Ἐπείπερ σοι
τοῦτο ἔδοξε, πάτερ πνευματικέ, καὶ διδασκάλων ἄριστε, καὶ καλοῦ
παντὸς ἐμοὶ πρόξενε, καταλιπεῖν με οὕτω, καὶ τῇ τοῦ κόσμου ματαιό-
τητι ἔτι συναναστρέφεσθαι, καί σε πορευθῆναι εἰς τὸν τῆς πνευματι-
κῆς ἀναπαύσεως τόπον, οὐκ ἔτι σε κατέχειν καὶ παρεμποδίζειν τολμῶ.
Ἄπιθι οὖν τῇ τοῦ Θεοῦ εἰρήνῃ φρουρούμενος, καὶ τῆς ἐμῆς ἀθλιότη-
τος ἐν ταῖς τιμίαις εὐχαῖς σου διὰ παντὸς μέμνησο διὰ τὸν Κύριον,
ἵνα δυνηθῶ καταλαβεῖν σε, καὶ τὸ σὸν βλέπειν τίμιον πρόσωπον πάν-
τοτε. Ποίησον δέ μου μίαν αἴτησιν· καὶ ἐπείπερ οὐκ ἠθέλησάς τι λα-
βεῖν ὑπὲρ τῶν συνασκητῶν σου, δέξαι κἂν ὑπὲρ σεαυτοῦ μικρόν τι
χρῆμα εἰς διατροφήν, καὶ ἱμάτιον εἰς ἀμφίασιν. Ὁ δὲ πρὸς αὐτὸν ἀ-
πεκρίνατο· εἰ ὑπὲρ τῶν ἀδελφῶν μου οὐκ ἐδεξάμην τι παρὰ σοῦ, οὐδὲ
γὰρ ἐκεῖνοι χρῄζουσιν ἐπιλαβέσθαι τῶν ὑλῶν τοῦ κόσμου ὧν ἑκόν-
τες ἐμάκρυναν, πῶς ἐμαυτῷ περιποιήσομαι, ὅπερ ἐκείνοις ἀπηγόρευσα;

www.tezaurliturgic.ro



εἰ μὲν γὰρ καλὸν ἦν ἡ τῶν χρημάτων κτῆσις, ἐκείνοις ἂν πρὸ ἐμοῦ τούτων μετέδωκα· ἐπεὶ δὲ ὀλεθρίαν τὴν αὐτῶν ἐπίσταμαι κτῆσιν, οὔτε ἐκείνους, οὔτε μὴν ἐμαυτὸν ὑποβαλῶ τοῖς τοιούτοις βρόχοις.

Ὡς δὲ ἐν τούτῳ πείθειν οὐκ εἶχε, καὶ δευτέραν αἴτησιν ποιεῖται, μὴ πάντη αὐτοῦ παριδεῖν τὰς δεήσεις, μηδὲ πᾶσαν αὐτῷ καταχέαι τὴν ἀθυμίαν, ἀλλὰ καταλιπεῖν αὐτῷ τὸ ἐῤῥικνωμένον ἱμάτιον ἐκεῖνο, καὶ τὸ τραχὺ παλίον, ἅμα μὲν εἰς μνήμην τῆς τοῦ διδασκάλου ἀσκήσεως, ἅμα δὲ εἰς φυλακτήριον αὐτῷ, ἀπὸ πάσης σατανικῆς ἐνεργείας· λαβεῖν δὲ ἀντ᾽ αὐτοῦ ἕτερον παρ᾽ ἐκείνου· ὡς ἂν τὸ παρ᾽ ἐμοῦ, φησι, δοθὲν ὁρῶν, τὴν ἐμὴν ἐπὶ μνήμης φέρεις ταπεινότητα. Ὁ δὲ γέρων ἔφη· τὸ μὲν παλαιὸν καὶ διεῤῥωγὸς δοῦναί σοι, καὶ λαβεῖν καινὸν ἔνδυμα οὐ θέμις· ἵνα μή, τοῦ μικροῦ κόπου μου τὴν ἀμοιβὴν ἐνθάδε ἀπολαβών, κατακριθῶ· ἵνα δέ σου τὴν προθυμίαν μὴ ἐκκόψω, παλαιά, καὶ μηδὲν διαφέροντα τῶν ἐμῶν ἔστωσαν τὰ διδόμενά μοι παρὰ σοῦ. Ζητήσας δὲ ὁ τοῦ βασιλέως υἱὸς τρίχινα ῥάκη παλαιά, καὶ ταῦτα δοὺς τῷ γέροντι, τὰ ἐκείνου λαβών, ἔχαιρε, πάσης πορφύρας καὶ βασιλικῆς ἁλουργίδος τιμιώτερα ταῦτα ἀσυγκρίτως ἡγούμενος.

Ὁ δὲ θειότατος Βαρλαάμ, ἀπιέναι ὅσον οὔπω βουλόμενος, τὰ τῆς ἐκδημίας ὡμίλει, καὶ τελευταίαν αὐτῷ διδασκαλίαν προσῆγεν· ἀδελφέ, λέγων, ἠγαπημένε, καὶ τέκνον γλυκύτατον, ὃν διὰ τοῦ Εὐαγγελίου ἐγέννησα, οἶδας τίνι ἐστρατεύθης βασιλεῖ, καὶ πρὸς τίνα τὰς ὁμολογίας σου διέθου. Δεῖ οὖν βεβαίας ταύτας φυλάξαι, καὶ τὰ τῆς στρατείας προθύμως τελέσαι, ὅσα ὑπέσχου ἐν τῷ τῆς ὁμολογίας χάρτῃ τῷ πάντων Δεσπότῃ, πάσης παρούσης τῆς ἐπουρανίου στρατιᾶς καὶ συμμαρτυρούσης· ἅμα δὲ καὶ ἀπογραφομένης τὰ ὁμολογηθέντα, ἅτινα φυλάττων, μακάριος ἔσῃ. Μηδὲν οὖν τῶν παρόντων, Θεοῦ καὶ τῶν αὐτοῦ προκρίνῃς ἀγαθῶν· τί γὰρ ἂν οὕτω φοβερὸν εἴη τῶν παρόντων, ὡς γέεννα πυρὸς αἰωνίου, μήτε τοῦ καίοντος ὅλως φῶς ἔχοντος, μήτε τοῦ κολάζοντός ποτε λήγοντος; τί δὲ πάλιν τῶν τοῦ κόσμου καλῶν τηλικοῦτον εὐφραίνει, ὡς Θεός, αὐτὸς ἐκεῖνος τοῖς ἀγαπήσασι χαριζόμενος; οὗπερ τὸ κάλλος μὲν ἄφατον· δυναστεία δὲ ἄμαχος, καὶ ἡ δόξα ἀΐδιος· οὗπερ τὰ ἀγαθὰ τὰ τοῖς αὐτοῦ φίλοις ἀποκείμενα, πάντων τῶν ὁρωμένων ἀσυγκρίτως ὑπερέχει· ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ὧν κληρονόμος ἀναδειχθείης, τῇ τοῦ Θεοῦ φρουρούμενος κραταιοτάτῃ χειρί.

Ὁ δὲ τοῦ βασιλέως υἱός, δάκρυσι συγκεχυμένος, ἠνιᾶτο καὶ ἤσχαλλε, φιλοστόργου πατρὸς καὶ διδασκάλου ἀρίστου ἀπολειφθῆναι μὴ ἀνασχόμενος. Καὶ τίς μοί, φησιν, ὦ πάτερ, τὴν σὴν πληρώσει τάξιν; ὑπὸ τίνι δὲ ἐγὼ τοιούτῳ ποιμένι, καὶ ὁδηγῷ ψυχικῆς σωτηρίας γενήσομαι; τί τοῦ σοῦ πόθου παραμύθιον ποιήσομαι; ἰδοὺ γὰρ ἐμὲ τὸν πονηρὸν δοῦλον καὶ ἀποστάτην τῷ Θεῷ προσήγαγες, καὶ εἰς υἱοῦ καὶ κληρονόμου κατέστησας τάξιν· καὶ τὸν ἀπολωλότα καὶ ὀρειάλωτον, καὶ παντὶ θηρίῳ ἕτοιμον εἰς βορὰν ἐζήτησας, καὶ τοῖς ἀπλανέσι κατέμιξας Θεοῦ προβάτοις, καὶ ἔδειξάς μοι τὴν ἐπίτομον τῆς ἀληθείας ὁδόν, ἐξαγαγών με τοῦ σκότους καὶ τῆς σκιᾶς τοῦ θανάτου, καὶ τοὺς πόδας μου μεταγαγὼν ἐκ τῆς ὀλισθηρᾶς, καὶ θανατηφόρου, καὶ σκολιωτάτης, καὶ καμπύλης ἀτραποῦ· μεγάλων μοι καὶ θαυμασίων γέγονας πρόξενος ἀγαθῶν, καὶ ὧν οὐδεὶς ἐξαρκέσειε λόγος τὸ ὑπερέχον διηγήσασθαι· μεγάλων καὶ αὐτὸς ὑπὲρ ἐμοῦ τοῦ μικροῦ μετάσχοις τῶν τοῦ Θεοῦ δωρεῶν· καὶ τὸ τῆς ἐμῆς εὐχαριστίας ὑστέρημα πληρῶσαι Κύριος, ὁ μόνος νικῶν ταῖς τῶν δωρεῶν ἀντιδόσεσι τοὺς αὐτὸν ἀγαπῶντας.



Ὁ δὲ Βαρλαὰμ τῆς θρηνῳδίας αὐτὸν ἐγκόπτων, ἀναστάς, εἰς εὐχὴν ἵστατο· καὶ τὰς χεῖρας εἰς οὐρανοὺς διάρας, ὁ Θεός, ἔλεγε, καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ φωτίσας τὰ πρὶν ἐσκοτισμένα, καὶ τὴν ὁρατὴν ταύτην καὶ ἀόρατον κτίσιν ἐκ τοῦ μὴ ὄντος παραγαγών, ὁ τὸ σὸν ἐπιστρέψας πλάσμα, καὶ μὴ ἐάσας ἡμᾶς ὀπίσω τῆς ἀφροσύνης ἡμῶν πορεύεσθαι· εὐχαριστοῦμέν σοι, καὶ τῇ σῇ δυνάμει καὶ σοφίᾳ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησας· πεσόντας τε ἡμᾶς ἀνέστησας· καὶ πεπλημμεληκόσι, τὰς ἁμαρτίας ἀφῆκας· πλανηθέντας, ἐπανήγαγες· αἰχμαλωτισθέντας, ἐλυτρώσω· τεθνηκότας, ἐζωοποίησας τῷ τιμίῳ τοῦ Υἱοῦ σου καὶ Δεσποτικῷ αἵματι. Σὲ οὖν ἐπικαλοῦμαι, καὶ τὸν μονογενῆ σου Υἱόν, καὶ τὸ πανάγιόν σου Πνεῦμα, ἔπιδε ἐπὶ τὸ λογικόν σου πρόβατον τοῦτο, τὸ προσελθὸν δι᾽ ἐμοῦ τοῦ ἀναξίου εἰς θυσίαν σοι, καὶ ἁγίασον αὐτοῦ τὴν ψυχὴν τῇ σῇ δυνάμει καὶ χάριτι· ἐπίσκεψον τὴν ἄμπελον ταύτην, τὴν φυτευθεῖσαν διὰ τοῦ ἁγίου σου Πνεύματος, καὶ δὸς αὐτῷ καρποφορῆσαι καρπὸν δικαιοσύνης· ἐνίσχυσον αὐτόν, βεβαιῶν ἐν αὐτῷ τὴν διαθήκην σου· καὶ ἐξελοῦ τῆς παγίδος καὶ ἀπάτης τοῦ διαβόλου, τῇ σοφίᾳ τοῦ ἀγαθοῦ σου Πνεύματος· δίδαξον αὐτὸν ποιεῖν τὸ θέλημά σου, καὶ τὴν βοήθειάν σου μὴ ἀφέλῃς ἀπ᾽ αὐτοῦ, ἀξιῶν σὺν ἐμοὶ τῷ ἀχρείῳ σου οἰκέτῃ τῶν ἀτελευτήτων σου ἀγαθῶν κληρονόμον γενέσθαι· ὅτι εὐλογητὸς εἶ καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τελέσας δὲ τὴν εὐχήν, καὶ ἐπιστραφείς, κατησπάσατο τὸ τέκνον ἤδη τοῦ ἐπουρανίου Πατρός. Εἰρήνην τε αὐτῷ καὶ σωτηρίαν αἰώνιον

ΕΛΛΗΝΙΚΗ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



ἐπευξάμενος, ἐξῆλθε τοῦ παλατίου, καὶ ἀπῄει χαίρων καὶ εὐχαριστῶν τῷ Θεῷ, τῷ εὐοδώσαντι τὴν ὁδὸν αὐτοῦ εἰς ἀγαθόν. Ὁ Ἰωάσαφ δέ, μετὰ τὸ ἐξελθεῖν τὸν Βαρλαάμ, εὐχῇ ἑαυτὸν ἐδίδου, καὶ δάκρυσι θερμοτάτοις ἔλεγεν· ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον· ὅτι σοὶ ἐγκαταλέλειπται ὁ πτωχός· ὀρφανῷ σὺ ἦσθα βοηθός· ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὁ πάντας θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· σῶσόν με, καὶ ἐνίσχυσόν με τὸν ἀνάξιον τοῦ πορευθῆναι τὴν ὁδὸν τῶν ἁγίων σου ἐντολῶν· ὅτι ἐγὼ μὲν ἀσθενὴς καὶ ταλαίπωρος, καὶ ποιῆσαι τὸ ἀγαθὸν οὐχ ἱκανός· σὺ δὲ σώζειν με δυνατὸς ὤν, ὁ πάντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα συγκρατῶν καὶ συνέχων, μὴ ἐάσῃς με ὀπίσω τῶν θελημάτων τῆς σαρκὸς τῶν πονηρῶν πορεύεσθαι· ἀλλὰ τὸ σὸν δίδαξον ποιεῖν θέλημα, καὶ συντήρησόν με εἰς τὴν αἰωνίαν καὶ μακαρίαν ζωήν, ὦ Πάτερ, Υἱέ, καὶ θεῖον Πνεῦμα, ἡ ὁμοούσιος καὶ ἀδιαίρετος Θεότης· σὲ ἐπικαλοῦμαι, καὶ σὲ δοξάζω· σὲ γὰρ ὑμνεῖ πᾶσα κτίσις, καὶ σὲ δοξολογοῦσιν αἱ νοεραὶ τῶν ἀσωμάτων δυνάμεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἔκτοτε οὖν πάσῃ φυλακῇ ἐτήρει ἑαυτόν, καθαρότητα ψυχῆς τε καὶ σώματος περιποιούμενος· ἐγκρατείᾳ τε συζῶν, καὶ προσευχαῖς καὶ δεήσεσιν ὁλονύκτοις· ἡμέρας μὲν γὰρ πολλάκις περικοπτόμενος, τῇ τε τῶν συνόντων αὐτῷ συναυλίᾳ, ἔσθ' ὅτε καὶ τῇ τοῦ βασιλέως πρὸς αὐτὸν ἐπιδημίᾳ, ἢ τῇ αὐτοῦ πρὸς αὐτὸν μετακλήσει· ἡ νὺξ δὲ αὐτῷ τὰ τῆς ἡμέρας ἀνεπλήρου ὑστερήματα, ἐν εὐχαῖς καὶ δάκρυσι μέχρι διαφαύματος ἱσταμένου αὐτοῦ, καὶ τὸν Θεὸν ἐπικαλουμένου. Ὅθεν το προφητικὸν ἐκεῖνο ῥῆμα ἐπ' αὐτὸν ἐπληροῦτο, τὸ λέγον· «Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον» (Ψαλμ. ρλγ'. 2). Ὁ δὲ Ζαρδὰν ἐκεῖνος, τὴν τοιαύτην αὐτοῦ αἰσθόμενος διαγωγήν, καὶ λύπης πληρούμενος, μερίμναις τε τὴν ψυχὴν βαλλόμενος, οὐκ εἶχεν ὅ,τι καὶ δράσειε· τέλος, τῇ ἀνίᾳ καταπονηθείς, εἰς τὸν ἑαυτοῦ ἀπεδήμησεν οἶκον, ἀρρωστεῖν προσποιούμενος. Ὡς δὲ εἰς γνῶσιν τῷ βασιλεῖ τοῦτο ἐληλύθει, ἄλλον μὲν ἀντ' αὐτοῦ τῶν πιστοτάτων καθυπηρετεῖν τῷ υἱῷ ἐξαπέστειλεν· αὐτὸς δὲ τῆς τοῦ Ζαρδὰν ἐπιμελούμενος ὑγείας, ἰατρὸν αὐτῷ πέμπει δοκιμώτατον, καὶ διὰ φροντίδος ὅτι πολλῆς ἀξιοῖ θεραπεῦσαι αὐτόν. Ὁ δὲ ἰατρός, ἐπεὶ τῷ βασιλεῖ οὕτω κεχαριτμένος ἦν, ἐπιμελῶς αὐτὸν ἐπεσκέψατο· καὶ ἄριστα γνοὺς τὰ κατ' αὐτόν, τῷ βασιλεῖ θᾶττον ἀναγγέλλει, ὡς ἐγώ, φησιν, οὐδενὸς νοσήματος αἴτιόν τι ἐν τῷ ἀνθρώπῳ εὑρεῖν δεδύνημαι· ἔνθεν τοι καὶ ὑπολαμβάνω ἀθυμίᾳ τινὶ τὴν ψυχὴν βληθέντα τοῦτον καταμαλακισθῆναι. Ὁ δὲ βασιλεὺς τούτων ἀκούσας



τῶν ῥημάτων, ὑπέλαβε βαρέως αὐτῷ τὸν υἱὸν διατεθῆναι, καὶ τούτου χάριν λυπηθέντα αὐτὸν ὑποχωρῆσαι· μαθεῖν δὲ τὸ πρᾶγμα ἀκολούθως βουλόμενος, δεδήλωκε τῷ Ζαρδάν, ὡς αὔριον ἐλεύσομαί, φησι, θεωρῆσαί σε, καὶ τὰ τῆς ἐπισυμβάσης σοι διαγνῶναι ἀρρωστίας. Ὁ Ζαρδὰν δὲ ταύτης ἀκούσας τῆς ἀγγελίας, ἅμα πρωῒ περιβαλλόμενος αὐτοῦ τὸ ἱμάτιον, πορεύεται πρὸς τὸν βασιλέα· καὶ εἰσελθών, προσεκύνησεν αὐτῷ ἐπὶ τῆς γῆς. Ὁ δὲ βασιλεύς, τί, φησι, παρεβιάσω ἑαυτὸν παραγενέσθαι; αὐτὸς γὰρ ἤθελον ἐπισκέψασθαί σε, καὶ πᾶσι γνωρίσαι τὴν πρὸς σέ μου φιλίαν. Ὁ δὲ ἀντέφησεν· ἡ ἐμή, βασιλεῦ, ἀσθένεια οὐκ ἔστι τῶν συνήθων ἀνθρώποις ἀρρωστιῶν, ἀλλ' ἐκ λυπηρᾶς καὶ ἐμμερίμνου ψυχῆς τῆς καρδίας ὀδυνωμένης, συνωδυνήθη τὸ σῶμα· ἀφροσύνη δέ μοι ἦν, οὕτως ἔχοντά με, μὴ δουλικῶς πρὸς τὸ σὸν παραγενέσθαι κράτος, ἀλλὰ τὴν σὴν βασιλείαν προσμένειν ἕως ἐμοῦ τοῦ οἰκέτου σου σκυλῆναι.

Τοῦ βασιλέως οὖν πυνθανομένου τίς ἡ τῆς ἀθυμίας αἰτία, ὑπολαβὼν ὁ Ζαρδάν, μέγας ἐπ' ἐμοὶ κίνδυνος, ἔφη, καὶ μεγάλων τιμωριῶν ἐγὼ ἄξιος· πολλῶν δὲ θανάτων ἔνοχος καθέστηκα, ὅτι σου τοῖς προστάγμασιν ἀμελῶς διατεθείς, ἀνίας σοι πολλῆς ὅσον οὐδέπω πρόξενος καθέστηκα. Αὖθις δὲ ὁ βασιλεύς· καὶ τίνα σὺ ἀμέλειαν ἠμέληκας ἤρετο; τί δὲ τὸ περιέχον σε δέος; Ἐν τῇ περὶ τὸν κύριόν μου τὸν υἱόν σου ἀκριβείᾳ ἠμέληκα, ἔφη· πονηρὸς γὰρ ἄνθρωπος καὶ γόης ἐλθών, ὡμίλησεν αὐτῷ τὰ τῆς θρησκείας τῶν χριστιανῶν. Εἶτα διηγεῖται κατὰ μέρος τῷ βασιλεῖ τὰ λαληθέντα παρὰ τοῦ γέροντος πρὸς τὸν υἱὸν αὐτοῦ· καὶ μεθ' ὅσης ἡδονῆς ἐκεῖνος τὸν λόγον ἐδέξατο· καὶ ὡς ὅλος τοῦ Χριστοῦ ἐγεγόνει· πρὸς δέ, καὶ τὴν κλῆσιν ἐδήλου τοῦ γέροντος, Βαρλαὰμ τοῦτον καλεῖσθαι εἰπών· ἠκηκόει γὰρ καὶ πρότερον ὁ βασιλεὺς τὰ περὶ τοῦ Βαρλαάμ, καὶ τῆς ἀκροτάτης ἀσκήσεως αὐτοῦ. Ὡς δὲ εἰς ἀκοὰς ταῦτα ἦλθε τῷ βασιλεῖ, κλόνῳ εὐθὺς ἐκ τῆς περιπεσούσης αὐτῷ ἀθυμίας βάλλεται· θυμοῦ πληροῦται· μικροῦ καὶ ἀποπήγνυται τῷ ἀκούσματι· καὶ αὐτίκα προσκαλεῖται Ἀραχῆν τινα οὕτω καλούμενον, ὃς καὶ τῶν δευτερείων μετὰ τὸν βασιλέα ἠξιοῦτο, καὶ πρῶτος αὐτῷ ἐν πάσαις ταῖς ἀποκρύφοις συμβουλίαις ἐτύγχανεν· ἅμα δὲ καὶ τῆς ἀστρολογικῆς τέχνης ἐπιστήμων ἦν ὁ ἀνήρ· πρὸς ὅν, παραγενόμενον, τὸ συμβὰν ὁ βασιλεὺς σὺν ἀθυμίᾳ πολλῇ, καὶ ἀδημονίᾳ διηγεῖται. Ὁ δέ, τὸν τάραχον αὐτοῦ τῆς ψυχῆς καὶ τὴν σύγχυσιν θεασάμενος, ἀτάραχά σοι, φησίν, ἔστω, καὶ ἄλυπα, ὦ βασιλεῦ· οὐχ ἀνέλπιστον γὰρ ἡμῖν εἰσέτι τὸ μεταπείσειν αὐτόν, ἀλλὰ καὶ λίαν βε-

www.tezaurliturgic.ro



βαιότατα γινώσκω, θᾶττον αὐτὸν ἐξαρνήσασθαι τὴν τοῦ πλάνου ἐκείνου διδασκαλίαν, καὶ τῷ σῷ συνθέσθαι θελήματι.

Τούτοις οὖν τοῖς ῥήμασι τὸν βασιλέα εἰς τὸ εὐθυμότερον ὁ Ἀραχῆς μεταβαλών, τῇ περὶ τὸ πρᾶγμα διασκέψει μελέτην ἐποιοῦντο· καὶ τοῦτό, φησιν, ὦ βασιλεῦ, πρὸ πάντων ποιήσωμεν· καταλαβεῖν σπεύσωμεν τὸν δεινὸν Βαρλαάμ· καὶ εἰ τοῦτον ἐπιτύχωμεν, οὐκ ἀστοχήσωμεν, εὖ οἶδα, τῆς ἐλπίδος· οὐ ψευσθησόμεθα τοῦ σκοποῦ· ἀλλ᾽ ἐκεῖνος αὐτὸς ἢ ῥήμασι πιθανοῖς, ἢ βασάνων ὀργάνοις πολυειδέσι πεισθείς, ἄκων ἀνομολογήσειε ψευδῆ καὶ πεπλανημένα φάσκειν, καὶ τὸν κύριόν μου καὶ υἱόν σου τοῦ πατρῴου ἔχεσθαι μεταπείσειε δόγματος· εἰ δὲ ἐκεῖνον μὲν καταλαβεῖν οὐ δυνηθείημεν, ἕτερον ἐγὼ ἐπίσταμαι πρεσβύτην μονερημίτην, Ναχὼρ καλούμενον, ὅμοιον τῷ Βαρλαὰμ κατὰ πάντα, ὃν οὐκ ἔστι διαγνῶναι μὴ ἐκεῖνον ὑπάρχειν, τῆς ἡμετέρας δόξης ὄντα, καὶ διδάσκαλον ἐμὸν ἐν τοῖς μαθήμασι γενόμενον· τούτῳ ὑπαγορεύσας ἐγὼ νύκτωρ ἀπελθών, πάντα κατὰ μέρος ἀφηγήσομαι· εἶτα κρατηθῆναι τὸν Βαρλαὰμ διαφημήσαντες, τοῦτον παραστησόμεθα· ὃς καὶ Βαρλαὰμ ἑαυτὸν ὀνομάσας, τὰ τῶν χριστιανῶν πρεσβεύειν προσποιήσηται, καὶ τούτοις διεκδικῶν φανεῖται· εἶτα μετὰ πολλὴν διάλεξιν ἡττώμενος, κατὰ κράτος ἐκνικηθήσεται· καὶ ταῦτα ὁ τοῦ βασιλέως θεώμενος υἱός, ὡς ὁ Βαρλαὰμ μὲν ἡττήθη, τὰ δὲ ἡμέτερα ὑπερνικᾷ, τοῖς νικῶσι πάντως συνθήσεται· μέγα πρὸς τούτοις καὶ τὸ τὴν σὴν αἰδεῖσθαι βασιλείαν, καὶ τὰ σοὶ κεχαρισμένα ποιεῖν τιθέμενος· ἐπιστραφήσεται γὰρ καὶ ὁ τὸ προσωπεῖον τοῦ Βαρλαὰμ ὑποδύς, καὶ πεπλανῆσθαι αὐτὴν διαβεβαιώσειεν.

Ἥσθη ὁ βασιλεὺς ἐπὶ τοῖς λαληθεῖσι, καὶ ἄριστα βουλεύσασθαι ἔδοξε, κεναῖς ἐλπίσιν ἐπερειδόμενος· ἔνθεν τοι καὶ τὸν Βαρλαὰμ ἐναγχος μαθὼν ὑποχωρῆσαι, χειρώσασθαι ἔσπευδε. Λόχοις οὖν καὶ λοχαγοῖς τῶν διεξόδων τὰς πλείους διειληφώς, μίαν δὲ τῶν ὁδῶν, ἣν πασῶν μᾶλλον ὑφωρᾶτο αὐτός, ἵπποις ἐπιβάς, ἀνακράτος ἐδίωκε, προκαταλαβεῖν αὐτὸν ἐκ παντὸς τρόπου διανοούμενος· ἐν ὅλαις δὲ ἓξ ἡμέραις κοπιάσας, μάτην ἐτεταλαιπωρήκει· εἶτα αὐτὸς μὲν ἔν τινι τῶν βασιλικῶν προαστείων, ἐν παλατίῳ ἐν τοῖς ἀγροῖς διακειμένῳ προσμείνας, τὸν Ἀραχῆν μετὰ ἱππέων οὐκ ὀλίγων ἕως αὐτῆς τῆς Σενααρίτιδος ἐρήμου ἐπὶ ζήτησιν ἀπέστειλε τοῦ Βαρλαάμ. Καταλαβὼν δὲ ἐκεῖνος τὸν τόπον, πάντας τοὺς περιοίκους διετάραξε· καὶ τῶν δὲ μὴ ἑωρακέναι τὸν ἄνδρα βεβαιωσαμένων, ἐπὶ τὰς ἐρήμους ὁ ἄρχων τοὺς εὐσεβεῖς θηρεύσων ἐξῄει· πολλήν τε τῆς ἐρήμου ὁδεύσας ὁδόν, ὄρη τε περικυκλώσας, καὶ ἀτριβεῖς φάραγγας περιζεύσας μετὰ τοῦ σὺν



αὐτῷ ὄχλου, ἀκρώρειάν τινα καταλαβών, καὶ στὰς ἐπ᾽ αὐτῆς, ὁρᾷ κατὰ τὴν ὑπώρειαν φάλαγγα ἐρημιτῶν περιπατοῦσαν[1]· καὶ εὐθὺς τῷ τοῦ ἄρχοντος προστάγματι πάντες ἐπ᾽ αὐτοὺς θέουσιν ἀπνευστί, ἄλλος ἄλλον τοῖς δρόμοις φθάσαι φιλονεικοῦντες· καὶ φθάσαντες περιεχύθησαν αὐτοῖς κύνες ὡσεὶ πολλοί, ἢ θηρία τινὰ πονηρὰ καὶ μισάνθρωπα· καὶ κρατοῦσι τοὺς ἄνδρας, τῷ τε εἴδει καὶ τῇ καταστάσει σεμνοτάτους, καὶ τὰ σήμαντρα τῆς ἐρημικῆς ἀσκήσεως ἐπὶ τῶν προσώπων φέροντας· καὶ τούτους σύροντες τῷ ἄρχοντι παρέστησαν· οὐ θορυβηθέντας ὅλως, οὐκ ἀγενές τι καὶ σκυθρωπὸν ἐνδειξαμένους, ἢ φθεγξαμένους. Ὁ δὲ προάγων αὐτοὺς καὶ οἱονεὶ καθηγούμενος, πήραν ἐβάσταζε τριχίνην μεστὴν λειψάνων, προεκδημησάντων τινῶν ἁγίων Πατέρων.

Κατανοήσας δὲ αὐτοὺς ὁ Ἀραχῆς. ὡς οὐκ εἶδε τὸν Βαρλαάμ, (ἐγίνωσκε γὰρ αὐτὸν) συνεχύθη τῇ λύπῃ, καὶ λέγει πρὸς αὐτούς· ποῦ ἐστιν ὁ ἀπατεὼν ἐκεῖνος, ὁ τὸν υἱὸν πλανήσας τοῦ βασιλέως; Ὁ δὲ τὴν πήραν βαστάζων ἀπεκρίνατο· οὐκ ἔστιν ἐκεῖνος ἐν ἡμῖν· μὴ γένοιτο· φεύγει γὰρ ἡμᾶς, τῇ τοῦ Χριστοῦ διωκόμενος χάριτι· ἐν ὑμῖν δὲ τὰς οἰκήσεις ἔχει[2]. Ἔφη ὁ ἄρχων· γινώσκεις οὖν αὐτόν; ναί, φησιν, ὁ ἐρημίτης· οἶδα τὸν ἀπατεῶνα λεγόμενον, ὅς ἐστιν ὁ διάβολος, ὁ μέσον ὑμῶν κατοικῶν, καὶ παρ᾽ ὑμῶν λατρευόμενός τε καὶ θεραπευόμενος. Ὁ ἄρχων λέγει περὶ τοῦ Βαρλαὰμ ἐγὼ τὴν ζήτησιν ἔχω, καὶ τοῦτον ἠρόμην σοι μαθεῖν ποῦ ἐστίν. Ὁ δὲ μοναχός, καὶ ἵνα τί, φησιν, ἀλληνάλως ἐλάλησας, περὶ τοῦ ἀπατήσαντος τὸν υἱὸν τοῦ βασιλέως τὴν πεῦσιν προαγαγών; Εἰ γὰρ τὸν Βαρλαὰμ ἐζήτεις, ἔδει σε πάντως εἰπεῖν, ποῦ ἐστιν ὁ ἐκ τῆς πλάνης ἐπιστρέψας, καὶ σώσας τὸν τοῦ βασιλέως υἱόν; ἐκεῖνος γὰρ ἀδελφὸς ἡμῶν ὑπάρχει καὶ συνασκητής· ἐκ πολλῶν δὲ ἡμερῶν οὐ τεθεάμεθα αὐτόν. Καί φησιν ὁ Ἀραχῆς· τὸ οἴκημα αὐτοῦ ἡμῖν ὑπόδειξον. Ὁ ἀσκητὴς ἀπεκρίνατο· εἰ θεάσασθαι ὑμᾶς ἤθελεν, ἐκεῖνος ἂν εἰς συνάντησιν ὑμῶν ἐξῆλθεν· ἡμῖν δὲ οὐκ ἔξεστι τὸ δωμάτιον αὐτοῦ ὑμῖν ὑποδεῖξαι. Θυμοῦ ἐπὶ τοῦτο ἐμπίπλαται ὁ ἄρχων, καί φησι πρὸς αὐτὸν ὀργίλως ἅμα καὶ θηριωδῶς ἐμβλέψας· ξένῳ νυνὶ θανάτῳ ὑμᾶς θανατώσω, εἰ ἐξαυτῆς τὸν Βαρλαὰμ οὐ παραστήσατέ μοι.

Καὶ τί, φησιν ὁ ἀσκητής, ἐν ἡμῖν ὁρᾷς, οὗπερ ἀντεχόμενοι, δυσαποσπάστως τῆς παρούσης διακεισόμεθα ζωῆς, καὶ τὸν παρὰ σοῦ ἐπαχθησόμενον θάνατον φοβηθῶμεν; χάριν γάρ σοι μᾶλλον ὁμολογήσω

---

[1] Ὡραιοτάτη ἑτέρα ἄθλησις, ἑτέρων θείων πατέρων.

[2] Ἀστεία ὄντως ἀπόκρισις τοῦ θειοτάτου πατρός

www.tezaurliturgic.ro



μεν, ὅτι τῆς ἀρετῆς ἐχομένους, τοῦ βίου ἐξήγαγες· δεδοίκαμεν γὰρ οὐ μικρῶς τὸ τοῦ τέλους ἄδηλον, μὴ εἰδότες πῶς ἔχοντας ἡμᾶς τοῦτο καταλήψεται· μήπου γνώμης ὄλισθος, ἢ ἐπήρειά τις δαιμονική, τῆς προαιρέσεως τὴν ἔνστασιν μεταστρέψει, καὶ ἕτερα φρονεῖν, ἢ ποιεῖν παρὰ τὰ τῷ Θεῷ ὁμολογημένα μεταπείσειεν· ὅθεν τυχεῖν ὧν ἐλπίζετε ὅλως ἀπειπόντες, μὴ ὀκνήσητε ποιεῖν ὅπερ βούλεσθε· οὔτε γὰρ τὸ τοῦ θεοφιλοῦς ἡμῶν ἀδελφοῦ οἰκητήριον καίτοι γε εἰδότες ὑποδείξομεν, οὔτε ἄλλα τινὰ ὑμῖν λανθάνοντα μοναστήρια προδώσωμεν, ταύτῃ τοι τὸν θάνατον φυγεῖν κακῶς ἀνεχόμενοι, ἀλλὰ καλῶς μᾶλλον θανούμεθα, ἱδρῶτας ἀρετῆς πρότερον, καὶ νῦν ἀνδραγαθίας αἷμα τῷ Θεῷ προσενέγκαντες.

Οὕτω παῤῥησιασαμένους αὐτούς, οὐκ ἐνεγκὼν ὁ ἀλιτήριος, ἀλλὰ πρὸς τὸ γενναῖον τοῦ φρονήματος ὀξύτατα κινηθείς, πολλαῖς αὐτοὺς περιέβαλε πληγαῖς καὶ βασάνοις· ὧν τὸ μεγαλόψυχον καὶ γενναῖον, καὶ τῷ τυράννῳ ἄξιον θαύματος ἐνομίσθη. Ὡς δὲ μετὰ πολλὰς τιμωρίας πείθειν οὐκ εἶχεν, οὔτε ὑποδεῖξαί τις τὸν Βαρλαὰμ ἠνέσχετο, λαβὼν τούτους, ἐπὶ τὸν βασιλέα κελεύει τυπτομένους, καὶ προπηλακιζομένους ἄγεσθαι, βαστάζοντας! καὶ τὴν πήραν τῶν λειψάνων· δι' ἡμερῶν δὲ οὐκ ὀλίγων, προσάγει τούτους τῷ βασιλεῖ, καὶ τὰ κατ' αὐτοὺς δῆλα τίθησιν· εἶτα παριστᾷ κατὰ πρόσωπον αὐτοῦ, δεινὰ θυμομαχοῦντος. Καὶ ὅς, ἰδὼν αὐτούς, τῷ θυμῷ ὑπερζέσας, μαινομένῳ ἐῴκει. Τύπτεσθαι δὲ αὐτοὺς ἀνηλεῶς κελεύσας, ὡς εἶδε χαλεπῶς ταῖς πληγαῖς κατακοπέντας, μόλις τῆς πολλῆς ἀνενεγκὼν μανίας, παύσασθαι τοὺς τύπτοντας κελεύει, καί φησι πρὸς αὐτούς· τί τὰ ὀστᾶ ταῦτα τῶν τεθνεώτων περιφέρετε; εἰ, ὧν τὰ ὀστᾶ εἰσι, ποθοῦντες ταῦτα, βαστάζετε, ταύτῃ τῇ ὥρᾳ θήσομαι καὶ ἡμᾶς μετ' αὐτῶν, ἵνα τῶν ποθουμένων τυχόντες, χάριν μοι ὁμολογήσητε. Ὁ δὲ τῆς θείας ἐκείνης φάλαγγος ἔξαρχος καὶ καθηγητής, παρ' οὐδὲν τιθέμενος τὰς τοῦ βασιλέως ἀπειλάς, ὡς μηδενὸς αὐτῷ συμβεβηκότος ἀνιαροῦ, ἐλευθέρᾳ φωνῇ, καὶ λαμπρῷ τῷ προσώπῳ, καὶ τὴν ἐνοικοῦσαν τῇ ψυχῇ σημαίνοντι χάριν, ἔφη· τὰ ὀστᾶ ταῦτα τὰ καθαρὰ καὶ ἅγια περιφέρομεν, ὦ βασιλεῦ, τὸν πόθον ἀφοσιούμενοι, ὧν εἰσι θαυμασίων ἀνδρῶν, καὶ τῆς ἀσκήσεως αὐτῶν καὶ θεοφιλοῦς πολιτείας εἰς μνήμην ἑαυτοὺς ἄγοντες, καὶ πρὸς τὸν ὅμοιον διεγείροντες ζῆλον, τὴν ἀνάπαυσίν τε ἐνοπτριζόμενοι καὶ τρυφήν, ἐν ᾗ νῦν διάγουσι· καὶ τούτους μὲν μακαρίζοντες, ἀλλήλους δὲ παραθήγοντες, τοῖς αὐτῶν ἐξακολουθεῖν ἴχνεσι σπεύδομεν· πρὸς δέ, καὶ τὴν τοῦ θανάτου ἑαυτοῖς περιποιούμενοι μνήμην, πάνυ ὠφέλιμον οὖσαν, καὶ πρὸς τοὺς τῆς ἀσκήσεως ἀγῶνας προθύμως ἀναπτεροῦσαν· καὶ ἁγιασμὸν δὲ τῇ τούτων ἀρυόμεθα προσψαύσει.



Αὖθις δὲ ὁ βασιλεύς· εἰ ὠφέλιμός, φησιν, ἡ τοῦ θανάτου μνήμη, ὥς φατε, τί μὴ τοῖς ἐν τοῖς σώμασιν ὑμῶν ὀστέοις τὴν τούτου ὑποδέχεσθε μνήμην, τοῖς οἰκείοις ὑμῖν καὶ ὅσον οὔπω φθαρησομένοις, ἤπερ τοῖς ἀλλοτρίοις τούτοις καὶ διεφθαρμένοις; καὶ ὁ μοναχός· πέντε μέν, φησιν, ἐμοῦ εἰρηκότος αἰτίας τῆς τῶν λειψάνων περιφορᾶς, πρὸς μίαν αὐτὸς ἀνταποκρινόμενος, χλευάζειν ἡμᾶς δοκεῖς· ἀλλ' ἐναργέστερον, εὖ ἴσθι, τὰ τῶν προτετελευτηκότων ὀστᾶ τὴν τοῦ θανάτου παριστῶσι μνήμην, ἤ γε τῶν ζώντων. Ἀλλ' ἐπείπερ ταῦτα οὕτως εἶναι γινώσκεις, καὶ τὰ ἐν τῇ σαρκί σου ὀστᾶ τὸν θάνατόν σοι ὑποτυποῦσι, τί μὴ καὶ αὐτὸς τῆς ὅσον οὔπω ἐλευσομένης μνημονεύων τελευτῆς, εὖ τὰ σεαυτοῦ διατιθῇς, ἀλλὰ πάσαις μὲν τὴν ψυχήν σου ἐκδέδωκας παρανομίαις, βιαίως δὲ καὶ ἀνηλεῶς ἀναιρεῖς τοὺς λατρευτὰς τοῦ Θεοῦ, καί τῆς εὐσεβείας ἐραστάς, τοὺς μηδέν σοι ἠδικηκότας, μηδέ σοι τῶν παρόντων τι συμμεριζομένους, ἢ ἀφελέσθαι φιλονεικοῦντας; Ὁ δὲ βασιλεὺς ἔφη· τοὺς δεινοὺς ὑμᾶς καὶ λαοπλάνους εἰκότως κολάζω, ὅτι πάντας ἀπατᾶτε, ἀπέχεσθαι τῶν τερπνῶν τοῦ βίου ὑποτιθέμενοι, καὶ ἀντὶ τῆς γλυκείας ζωῆς, καὶ τῆς ποθεινοτάτης ἐπιθυμίας καὶ ἡδονῆς, τὴν σκληρὰν καὶ ῥυπώδη ταύτην καὶ πιναρὰν ἐκλέγεσθαι ἀγωγήν· ἐκβιάζεσθαι δὲ καὶ τὴν τῶν Θεῶν τιμήν, καὶ τῷ Ἰησοῦ ἀπονέμειν κηρύττετε. Ἵν' οὖν μὴ τῇ ὑμετέρᾳ ἀπάτῃ ἐξακολουθοῦντες οἱ λαοί, ἔρημον τὴν γῆν καταλείπωσι, καὶ τῶν πατρίων ἀποστάντες Θεῶν, ἀλλοτρίῳ λατρεύσωσι, τιμωρίαις ὑμᾶς καὶ θανάτοις πάσχειν δίκαιον ἔκρινα.

Ὁ δὲ μοναχός, εἰ πάντας, φησί, μετέχειν τῶν ἀγαθῶν τοῦ βίου ὀρέγῃ, τί μὴ πᾶσιν ἐπίσης μεταδίδως τῆς τρυφῆς καὶ τοῦ πλούτου, ἀλλ' οἱ μὲν πλείους πενίᾳ ταλαιπωροῦνται, σὺ δὲ τὰ αὐτῶν προσαφαρπάζων, τοῖς σεαυτοῦ προστιθείς; Οὐκ ἄρα τῆς τῶν πολλῶν φροντίζεις σωτηρίας, ἀλλὰ τὴν ἰδίαν πιαίνεις σάρκα, ὕλην ἑτοιμάζων τῇ τῶν σκωλήκων καταβρώσει· διὰ τοῦτο, καὶ τὸν πάντων ἀπαρνησάμενος Θεόν, τοὺς μὴ ὄντας προσαγορεύεις θεούς, τοὺς πάσης παρανομίας ἐφευρετάς, ἵνα σοι κατὰ μίμησιν αὐτῶν ἀσελγαίνοντι καὶ παρανομοῦντι, τὸ μιμητὴς ἀναγορεύεσθαι τῶν θεῶν σου προσγένηται· οἷα γὰρ οἱ θεοὶ ὑμῶν ἔπραξαν, πῶς οὐχὶ καὶ οἱ προσέχοντες αὐτοῖς ἄνθρωποι πράξουσι; Πλάνην οὖν μεγάλην πεπλάνησαι, ὦ βασιλεῦ· δέδοικας δὲ μή τινας τοῦ λαοῦ πείσαιμεν, τοῖς ἡμετέροις συνθεμένους, ἀποστῆναί σου τῆς χειρός, καὶ τῇ τὰ πάντα συνεχούσῃ προσοικειῶσαι

www.tezaurliturgic.ro



χειρί· θέλεις γὰρ πολλοὺς εἶναι τοὺς ὑπουργοὺς τῆς σῆς πλεονεξίας, ἵν' αὐτοὶ μὲν ταλαιπωρῶσι, σοὶ δὲ τὰ παρ' αὐτῶν εἰσγένοιντο κέρδη· ὃν τρόπον τις κύνας τρέφων, ἢ ὄρνεα εἰς θήραν τιθασευμένα, πρὸ μὲν τῆς θήρας κολακεύειν ταῦτα φαίνεται· ἡνίκα δέ τι κατάσχωσι τῶν θηρευομένων, βιαίως αὐτῶν τοῦ στόματος τὸ θηρευθὲν ἀφαρπάζειν, οὕτω δὴ καὶ σύ, πολλοὺς θέλων ἔχειν τοὺς φόρους καὶ τέλη ἐκ γῆς καὶ θαλάσσης κομίζοντας, λέγεις μὲν τῆς αὐτῶν φροντίζειν σωτηρίας, ἀπώλειαν δὲ αὐτοῖς προξενῶν αἰωνίαν, πρὸ δὲ πάντων σεαυτῷ· ἵνα μόνῳ σοι ὡς σκυβάλων καὶ σαπριῶν ἀχρηστότητος βρίθοιτο πλοῦτος· λέληθας σκότος ἀντὶ φωτὸς κατέχων. Ἀλλ' ἀνάνηψον τοῦ καταχθονίου ὕπνου τούτου, καὶ διάνοιξόν σου τοὺς μεμυκότας ὀφθαλμούς, καὶ ἴδε τὴν περιλάμπουσαν πᾶσι τοῦ Θεοῦ ἡμῶν δόξαν, καὶ σύ ποτε σεαυτοῦ γενοῦ. «Σύνετε γὰρ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροὶ ποτὲ φρονήσατε» φησὶν ὁ Προφήτης· (Ψαλμ. ϟγ'. 8)· σύνες, ὅτι οὐκ ἔστι Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν, καὶ οὐκ ἔστι σωτηρία, εἰμὴ ἐν αὐτῷ.

Ὁ δὲ βασιλεύς, τῆς μωρᾶς σοῦ, φησι, φλυαρίας ταύτης παυσάμενος, τὸν Βαρλαὰμ αὐτίκα μοι ὑπόδειξον, ἢ πειραθήσῃ κολαστηρίων ὀργάνων, ὧν οὐδέποτε πεῖραν εἴληφας. Ὁ μεγαλόφρων οὖν καὶ γενναιότατος ἀσκητής, καὶ τῆς οὐρανίου φιλοσοφίας ἐραστής, κατ' οὐδένα τρόπον ταῖς τοῦ βασιλέως ἀπειλαῖς μετετρέπετο· ἀλλ' ἀτρέμας ἑστώς, ἔλεγεν· οὐ τὰ παρὰ σοῦ θεσπιζόμενα ποιεῖν, ὦ βασιλεῦ, προστετάγμεθα, ἀλλὰ τὰ παρὰ τοῦ Δεσπότου ἡμῶν καὶ Θεοῦ κεκελευσμένα· ὃς σωφροσύνην ἡμᾶς ἐκδιδάσκει, τοῦ πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν, καὶ ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα πόνον, καὶ πᾶσαν κάκωσιν ὑπὲρ τῆς δικαιοσύνης ὑπομένειν. Ὅσα οὖν ἐπάξεις ἡμῖν ὑπὲρ τῆς εὐσεβείας δεινά, μᾶλλον εὐεργετήσεις. Ποίει οὖν ὃ βούλει· ἡμεῖς γὰρ ἔξω τοῦ καθήκοντος, πρᾶξαί τι οὐκ ἀνεξόμεθα, οὐδ' ἁμαρτίᾳ ἑαυτοὺς ἐκδώσομεν· μὴ μικρὰν γὰρ νομίσῃς ταύτην ἁμαρτίαν, εἰ τὸν συναγωνιστὴν ἡμῶν καὶ συστρατιώτην εἰς τὰς σὰς προδώσομεν χεῖρας· ἀλλ' οὐδὲ γελάσεις καθ' ἡμῶν τὸν γέλωτα τοῦτον, κἂν μυρίους ἡμᾶς περιβαλεῖς θανάτους· οὐχ οὕτω γὰρ ἡμεῖς ἄνανδροι, ὡς φόβῳ τῶν σῶν βασάνων τὴν ἡμετέραν προδοῦναι φιλοσοφίαν, καὶ ἀνάξιόν τι δρᾶσαι τῆς θείας νομοθεσίας. Πρὸς ταῦτα πᾶν εἴ τι γινώσκεις ἀμυντήριον εὐτρέπιζε ὄργανον· ἡμῖν γὰρ τὸ ζῆν Χριστός ἐστι, καὶ τὸ θανεῖν ὑπὲρ αὐτοῦ, κέρδος ἄριστον.

Ἐπὶ τούτοις, θυμῷ ἐξαφθεὶς ὁ κρατῶν, ἐκέλευσε τὰς μὲν θεολόγους αὐτῶν ἐκκοπῆναι γλώσσας, ἐξορυχθῆναι δὲ τοὺς ὀφθαλμούς, χεῖράς τε ὁμοῦ ἀποτμηθῆναι καὶ πόδας. Τῆς δ' ἀποφάσεως δοθείσης, οἱ μὲν ὑ-



πασπισταὶ περιστάντες αὐτοῖς καὶ δορυφόροι, μισανθρώπως καὶ ἀνηλεῶς ἠκρωτηρίαζον· καὶ τὰς μὲν γλώσσας ὀγκινίσκοις τῶν στομάτων ἐξελκύσαντες, θηριωδῶς ἀπέτεμνον· τοὺς ὀφθαλμοὺς δὲ σιδηροῖς ἐξώρυττον ὄνυξιν· ἀρθρεμβόλοις δὲ ὀργάνοις τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας ἐξαρθροῦντες ἀπέτεμνον. Οἱ δὲ μακάριοι ἐκεῖνοι, καὶ ἀοίδιμοι, καὶ γενναῖοι τὸν λογισμόν, ὡς πρὸς εὐωχίαν καλούμενοι, ἀνδρείως προσήρχοντο ταῖς βασάνοις, ἀλλήλους παραθήγοντες, καὶ πρὸς τὸν διὰ Χριστὸν θάνατον ἀφόβως χωροῦντες. Ἐν τοιαύταις δὲ πολυειδέσι τιμωρίαις τὰς καρτερικὰς αὐτῶν ψυχὰς τῷ Κυρίῳ παρέθεντο οἱ ἱεροὶ ἀσκηταί, ἑπτακαίδεκα τὸν ἀριθμὸν τελοῦντες. Ὁμολογουμένως οὖν αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, καθάπερ τις τῶν οὐχ ἡμετέρων ἔφησεν (Ἰώσηπ.), ἄθλους ἱεροὺς διηγούμενος πρεσβύτου ἱερέως, καὶ ἑπτὰ νεανιῶν, σὺν ὁμόφρονι μητρί, τοῦ πατρῴου ὑπεραθλησάντων νόμου· ὧν τῆς καρτερίας καὶ μεγαλοψυχίας οὐδὲν καθυστέρησαν οἱ θαυμάσιοι Πατέρες, καὶ τῆς ἄνω Ἱερουσαλὴμ πολῖται καὶ κληρονόμοι.

Τούτων οὖν εὐσεβῶς τελειωθέντων, ὁ βασιλεὺς τῷ πρωτοσυμβούλῳ ἔφησεν Ἀραχῇ, πρὸς τὴν δευτέραν ἀποβλέψαι βουλήν, τοῦ πρώτου διαμαρτόντας, καὶ τὸν Ναχὼρ ἐκεῖνον προσκαλέσασθαι. Ὁ γοῦν Ἀραχῆς νυκτὶ βαθείᾳ τὸ ἐκείνου καταλαβὼν σπήλαιον, (τὰς ἐρήμους γὰρ ᾤκει, μαντικαῖς σχολάζων τέχναις·) καὶ πάντα αὐτῷ τὰ βεβουλευμένα σαφηνίσας, πρὸς τὸν βασιλέα ἅμα πρωῒ ἐπανέρχεται· καὶ δὴ ἱππεῖς αὐτῷ αὖθις ζητήσας, ἐπὶ ἔρευναν τοῦ Βαρλαὰμ ἐξέρχεσθαι προσεποιεῖτο. Ἐξελθόντι δέ, καὶ τὰς ἐρήμους ἐμπεριπατοῦντι, ὁρᾶται αὐτῷ ἀνήρ τις ἐκ φάραγγός τινος ἐξερχόμενος. Τοῦ δὲ καταδιώκειν αὐτὸν κελεύσαντος, φθάνουσι τὸ τάχος, καὶ συλλαβόντες, πρὸς αὐτὸν ἄγουσι. Τοῦ δὲ πυνθανομένου, τίς τε εἴη, καὶ ποίας θρησκείας, ἢ τίς καλούμενος, χριστιανὸν μὲν ἐκεῖνος ἑαυτὸν ἀπεκάλεσε· Βαρλαὰμ δὲ ὠνόμασε, καθάπερ δεδίδακτο. Χαρᾶς δὲ πλησθεὶς ὁ Ἀραχῆς ὡς ἐδείκνυε, τάχιστα τοῦτον λαβών, πρὸς τὸν βασιλέα ἐπανέρχεται· καὶ δὴ μηνύσας, παρίστησιν αὐτόν. Καί φησιν ὁ βασιλεὺς εἰς ἐπήκοον τῶν παρισταμένων· σὺ εἶ ὁ τοῦ δαίμονος ἐργάτης Βαρλαάμ; Ὁ δὲ ἀντέφησε· τοῦ Θεοῦ ἐργάτης εἰμί, καὶ οὐ τῶν δαιμόνων. Μὴ οὖν λοιδόρει με· πολλὰς γάρ μοι ὁμολογεῖν χάριτας ὀφειλέτης εἶ, ὅτι τὸν υἱόν σου θεοσεβεῖν ἐδίδαξα, πάσης ἀπαλλάξας ἀπάτης, καὶ τῷ ἀληθινῷ καταλλάξας Θεῷ, πᾶσαν παιδεύσας ἀρετῆς ἰδέαν.

Αὖθις δὲ ὁ βασιλεύς, ὀργιζόμενος ὥσπερ, ἔφη· ἔδει μέν σε μηδὲ λόγου τὸ παράπαν ἀξιώσαντα, ἢ τόπον ἀπολογίας δόντα, ἀνερωτήτως θανατῶσαι· ἀλλ' ἀνέχομαί σου τοῦ θράσους, τῆς προσούσης μοι

www.tezaurliturgic.ro



ἕνεκεν φιλανθρωπίας, ἕως τακτῇ ἡμέρᾳ ἐξετάσω τὰ περὶ σοῦ καὶ εἰ μὲν πεισθείης μοι, συγγνώμης ἀξιωθείσῃ· εἰ δὲ μή, κακῶς ἀπολεῖ. Οὕτως εἰπών, τῷ Ἀραχῇ τοῦτον παραδίδωσι, φυλάττειν ἀκριβέστατα ἐντειλάμενος. Τῇ δὲ ἐπαύριον ἀναζεύξας ἐκεῖθεν, πρὸς τὸ ἴδιον ἐπάνεισι παλάτιον· καὶ ἐξηκούετο κρατηθῆναι τὸν Βαρλαάμ, ὥστε καὶ τὸν τοῦ βασιλέως υἱὸν ἀκούσαντα, δεινῶς τὴν ψυχὴν ἀλγῆσαι, καὶ μηδόλως τῶν δακρύων ἐγκρατῆ δύνασθαι εἶναι· στεναγμοῖς δὲ καὶ θρήνοις τὸν Θεὸν ἐδυσώπει, καὶ εἰς βοήθειαν αὐτὸν ἐπεκαλεῖτο τοῦ γέροντος. Οὐ παρεῖδεν αὐτὸν ὀδυρόμενον ὁ ἀγαθός· χρηστός γάρ ἐστι τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν· ὃς καὶ τῷ νέῳ δι' ὁράματος νυκτερινοῦ πάντα γνωρίζει, καὶ ἰσχὺν αὐτῷ ἐντίθησι, καὶ εἰς τὸν τῆς εὐσεβείας παραθαρρύνει ἀγῶνα. Ἔξυπνος δὲ γενόμενος, χαρᾶς τε πλήρη καὶ θάρσους, καὶ φωτὸς γλυκυτάτου, τὴν πρὸ μικροῦ λυπουμένην αὐτοῦ καὶ ἀλγοῦσαν εὑρίσκει καρδίαν.

Ὁ δὲ βασιλεύς, οὕτω ταῦτα δράσας, καὶ οὕτω διανοηθείς, ἔχαιρε, καλῶς διασκέπτεσθαι οἰόμενος, καὶ τῷ Ἀραχῇ μεγίστην ἀπονέμων τὴν χάριν· ἀλλ' ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ, τὸ τοῦ θείου φάναι Δαβίδ· καὶ ἡ δικαιοσύνη νικᾷ τὴν ἀνομίαν, τέλεον αὐτὴν καταβαλοῦσα, καὶ τὸ μνημόσυνον αὐτῆς ἀπολέσασα μετ' ἤχου, ὡς ἐν τοῖς ἑξῆς ὁ λόγος δηλώσειε. Μετὰ οὖν δύο ἡμέρας παραγίνεται ὁ βασιλεὺς πρὸς τὸ τοῦ υἱοῦ παλάτιον· καὶ τούτου εἰς ὑπάντησιν ἐξελθόντος, οὐκ ἠσπάσατο συνήθως ὁ πατήρ, ἀλλ' ἀχθομένῳ ὥσπερ καὶ ὀργιζομένῳ ἐοικώς, εἰσελθὼν ἐν τῷ βασιλικῷ κοιτῶνι, σκυθρωπάζων ἐκαθέσθη. Εἶτα, τὸν υἱὸν προσκαλεσάμενος, ἔφη· τίς ἡ διηχοῦσά μου τὰς ἀκοὰς φήμη, τέκνον, καὶ ἀθυμίαις μου τὴν ψυχὴν κατατήκουσα; οὐδένα γὰρ τῶν ἀνθρώπων τοσαύτης ἐμπεπλῆσθαί ποτε χαρᾶς, οἶμαι, ἐπὶ τέκνου γεννήσει, ὅσης ἐγὼ ἐπὶ σοὶ μετέσχον θυμηδίας· οὐδ' αὖ πάλιν λυπηθῆναί τινα, καὶ κακῶς παρὰ παιδὸς διατεθῆναι δοκῶ, ὡς σύ με νῦν διέθηκας, καὶ τὴν ἐμὴν ἠτίμωσας πολιάν· τὸ φῶς τε περιῆρας τῶν ὀφθαλμῶν μου, καὶ τὴν τῶν ἐμῶν νεύρων ἐξέκοψας ἰσχύν· φόβος γάρ, ὃν ἐφοβούμην περὶ σοῦ, ἦλθέ μοι· καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι· καὶ γέγονας τῶν ἐχθρῶν μου ἐπίχαρμα, καὶ τῶν ὑπεναντίων μου κατάγελως, ἀπαιδεύτῳ φρενί, καὶ νηπιώδει γνώμῃ τοῖς τῶν ἀπατεώνων ῥήμασιν ἐξακολουθήσας, καὶ τὴν βουλὴν τῶν κακοφρόνων τῆς ἐμῆς προκρίνας βουλῆς· καὶ τῶν ἡμετέρων θεῶν τὸ σέβας καταλιπών, ἀλλοτρίῳ ἐλάτρευσας Θεῷ.

Ἵνα τί τέκνον οὕτω ταῦτα πεποίηκας; καὶ ὃν ἤλπιζον ἐν πάσῃ ἐκ-



τρέφειν ἀσφαλείᾳ, καὶ τοῦ γήρους ἔχειν βακτηρίαν καὶ ἰσχύν, διάδοχόν τε ἄριστον καταλιμπάνειν τῆς βασιλείας, τὰ τῶν ἐχθρῶν οὐκ ᾐδέσθης καὶ πολεμίων ἐνδείξασθαι εἰς ἐμέ; Οὐκ ἔδει σε ἐμοὶ μᾶλλον πείθεσθαι, καὶ τοῖς ἐμοῖς ἕπεσθαι δόγμασιν, ἢ τοῦ δολίου καὶ σαπροῦ γέροντος εἴκειν ταῖς φληνάφοις μωρολογίαις, τοῦ πικράν σοι καὶ τεθλιμμένην ἀντὶ τῆς γλυκείας ὑποθεμένου ζωήν; καὶ ἀντὶ τῆς ποθεινοτάτης τρυφῆς, τὴν σκληρὰν καὶ τραχεῖαν ὁδεύειν ὁδόν, ἣν ὁ τῆς Μαρίας Υἱὸς ἰέναι προτρέπεται; οὐ δέδοικας δὲ καὶ τὴν τῶν μεγίστων θεῶν ὀργήν, μὴ κεραυνῷ σε βάλλουσιν, ἢ σκηπτῷ σε θανατώσουσιν, ἢ χάσματι γῆς καταποντίσουσιν, ἀνθ' ὧν τοὺς τοσαῦτα ἡμᾶς εὐεργετηκότας, καὶ διαδήματι βασιλείας κατακοσμήσαντας, καὶ ἔθνη πολυάνθρωπα ὑποτάξαντας, καὶ σὲ παρ' ἐλπίδα δι' εὐχῆς ἐμῆς καὶ δεήσεως γεννηθῆναι, καὶ τοῦ γλυκυτάτου μετέχειν φωτὸς τούτου παρασκευάσαντας παρωσάμενος καὶ ἐξουθενήσας, τῷ ἐσταυρωμένῳ προσεκολλήθης, ταῖς ματαίαις ἐλπίσι τῶν αὐτοῦ θεραπόντων φενακισθείς, καινούς τινας μυθολογούντων αἰῶνας, καὶ νεκρῶν σωμάτων ἀνάστασιν ληρούντων, καὶ ἄλλα μυρία πρὸς ἀπάτην τῶν ἀνοήτων παρεισαγόντων; Ἀλλά γε νῦν, φίλτατε υἱέ, εἴτι μοι πείθῃ τῷ σῷ πατρί, μακρὰ τοῖς μακροῖς τούτοις λήροις χαίρειν εἰπών, θῦσον προσελθὼν τοῖς εὐμενέσι θεοῖς. Ἑκατόμβοις τε αὐτοὺς καὶ σπονδαῖς ἐκμειλιξώμεθα, ἵνα συγγνώμην σοι τοῦ πταίσματος παράσχωσι· δυνατοὶ γάρ εἰσι καὶ ἰσχύοντες, εὐεργετεῖν τε καὶ τιμωρεῖσθαι· καί σοι παράδειγμα τῶν λεγομένων ἡμεῖς, οἱ δι' αὐτῶν εἰς ταύτην τὴν ἀρχὴν προελθόντες, καὶ χάριτας αὐτοῖς τὰς εὐεργεσίας, τάς τε πρὸς τοὺς σεβομένους τιμάς, καὶ τάς πρὸς τοὺς μὴ πειθομένους αὐτοῖς θύειν κολάσεις παρέχοντες.

Πολλὰς οὖν τοιαύτας βαττολογίας τοῦ βασιλέως διεξελθόντος, τὰ μὲν ἡμέτερα διακωμῳδοῦντος καὶ διαβάλλοντος, τὰ τῶν εἰδώλων δὲ ἐγκωμιάζοντος καὶ ἐπαινοῦντος, ἰδὼν ὁ θειότατος νεανίας, ὡς οὐκ ἔτι δεῖται τὸ πρᾶγμα γωνίας καὶ ἐπικρύψεως, ἀλλὰ λυχνίας καὶ περιωπῆς μᾶλλον, ὥστε φανερὸν ἅπασι καταστῆναι, παῤῥησίας καὶ θάρσους ὑποπλησθείς, ἔφη. Ὅ μοι πέπρακται δέσποτα, οὐκ ἂν ἀρνηθείην. Τὸ σκότος ἐξέφυγον, τῷ φωτὶ προσδαμών· καὶ τὴν πλάνην κατέλιπον, τῇ ἀληθείᾳ οἰκειωθείς· καὶ τοῖς δαίμοσιν ἀποταξάμενος, Χριστῷ συνεταξάμην τῷ τοῦ Θεοῦ καὶ Πατρὸς Υἱῷ καὶ Λόγῳ· οὗ τῷ ῥήματι παρήχθη τὸ πᾶν ἐκ μὴ ὄντων· ὅς, καὶ τὸν ἄνθρωπον ἐκ χοὸς διαπλάσας, ζωτικὴν ἐνεφύσησε πνοήν, ἐν παραδείσῳ τε τῆς τρυφῆς ἔθετο διαιτᾶσθαι· παραβάντα δὲ τὴν ἐντολὴν αὐτοῦ, καὶ τῷ θανάτῳ ὑπόδικον γενόμενον, τῇ ἐξουσίᾳ δὲ τοῦ δεινοῦ κοσμοκράτορος ὑπαχθέντα, οὐκ

www.tezaurliturgic.ro



ἀπέστη πάντα ποιῶν, πρὸς τὴν ἀρχαίαν βουλόμενος ἐπαναγαγεῖν τιμήν.

Διό, αὐτὸς ὁ πάσης τῆς κτίσεως ποιητής, καὶ τοῦ ἡμετέρου γένους δημιουργός, ἄνθρωπος ἐγένετο δι' ἡμᾶς· καὶ ἐπὶ γῆς ἐλθών, ἐκ Παρθένου ἁγίας, τοῖς ἀνθρώποις συνανεστρέφετο· καὶ ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων οἰκετῶν, ὁ δεσπότης θάνατον κατεδέξατο, καὶ θάνατον τὸν διὰ σταυροῦ, ὅπως λυθῇ τῆς ἁμαρτίας ἡ τυραννίς· ὅπως ἡ προτέρα καταδίκη ἀναιρεθῇ· ὅπως ἀνοιγῶσι πάλιν ἡμῖν οὐρανοῦ πύλαι· ἐκεῖ γὰρ ἡμῶν τὴν φύσιν ἀνήγαγε, καὶ ἐπὶ θρόνου δόξης κεκάθηκε· βασιλείαν τε τὴν ἀτελεύτητον ἐδωρήσατο τοῖς αὐτὸν ἀγαπῶσι, καὶ ἀγαθὰ κρείττονα καὶ λόγου καὶ ἀκοῆς· αὐτὸς γάρ ἐστιν ὁ κραταιὸς καὶ μόνος δυνάστης· ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν Κυριευόντων· οὗ τὸ κράτος ἄμαχον, καὶ ἡ δυναστεία ἀνείκαστος· ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος· ὁ σὺν Πατρί, καὶ ἁγίῳ Πνεύματι δοξαζόμενος· εἰς ἃ βεβάπτισμαι, καὶ ὁμολογῶ· δοξάζω τε καὶ προσκυνῶ ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσιν· ὁμοούσιόν τε καὶ ἀσύγχυτον· ἄκτιστόν τε καὶ ἀθάνατον· αἰώνιον καὶ ἄπειρον· ἀπεριόριστον· ἀσώματον· ἀπαθῆ· ἄτρεπτον· ἀναλλοίωτον· ἀόριστον· πηγὴν ἀγαθότητος καὶ δικαιοσύνης, καὶ φωτὸς ἀϊδίου· πάντων κτισμάτων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· συνέχοντά τε πάντα καὶ συντηροῦντα· πάντων προνοούμενον· κρατοῦντά τε πάντων καὶ βασιλεύοντα· οὔτε γὰρ ἐγένετό τι τῶν ὄντων χωρὶς αὐτοῦ, οὔτε τῆς προνοίας αὐτοῦ ἄνευ, συνίστασθαί τι δύναται· αὐτὸς γάρ ἐστι πάντων ἡ ζωή· πάντων ἡ σύστασις· πάντων ὁ φωτισμός· ὅλος γλυκασμός, καὶ ἐπιθυμία ἀκόρεστος, καὶ πάντων τῶν ἐφετῶν τὸ ἀκρότατον.

Τὸ καταλιπεῖν οὖν τὸν οὕτως ἀγαθόν, οὕτω σοφόν, οὕτω δυνατόν, καὶ δαίμοσιν ἀκαθάρτοις, δημιουργοῖς πάντων τῶν παθῶν λατρεῦσαι, ξοάνοις τε κωφοῖς καὶ ἀλάλοις σέβας ἀπονεῖμαι, τοῖς μήτε οὖσί τι, μήτε ἐσομένοις, πόσης οὐκ ἂν εἴη πάτερ ἀνοίας καὶ παραφροσύνης; πότε γὰρ ἠκούσθη τις λαλιά, ἢ λόγος παρ' αὐτῶν; πότε κἂν μικρὰν ἀπόκρισιν τοῖς εὐχομένοις αὐτοῖς δεδώκασι; πότε περιεπάτησαν, ἢ αἴσθησίν τινα ἐδέξαντο; οὔτε γὰρ οἱ ἱστάμενοι καθέδρας ἐμνήσθησάν ποτε, οὔτε οἱ καθήμενοι ἀναστάντες ὤφθησαν. Τούτων τὸ εἰδεχθὲς καὶ δυσῶδες καὶ ἀναίσθητον, ἔτι δὲ καὶ τῶν ἐν αὐτοῖς ἐνεργούντων, καὶ δι' αὐτῶν ὑμᾶς ἀπατώντων δαιμόνων, τὸ σαθρὸν καὶ ἀσθενὲς παρὰ ἀνδρὸς ἁγίου μαθών, καὶ τῆς αὐτῶν κακίας καταπτύσας, καὶ τέλειον μῖσος μισήσας αὐτά, τῷ ζῶντι συνεταξάμην καὶ ἀληθινῷ Θεῷ, καὶ αὐτῷ δουλεύσω μέχρι τελευταίας μου ἀναπνοῆς, ἵνα καὶ εἰς τὰς χεῖρας αὐτοῦ ἔλθοι μου τὸ πνεῦμα.



Τῶν τοιούτων οὖν συναντησάντων μοι ἀνεκδιηγήτων ἀγαθῶν, ἔχαιρον μὲν τῆς δουλείας ἀπαλλαγεὶς τῶν πονηρῶν δαιμόνων, καὶ τῆς δεινῆς ἀνακληθεὶς αἰχμαλωσίας, καὶ τῷ φωτὶ περιλαμφθεὶς τοῦ προσώπου Κυρίου· ἠνιώμην δέ, καὶ τὴν ψυχὴν ἐμεριζόμην, ὅτι μὴ καὶ αὐτὸς ὁ δεσπότης μου καὶ πατήρ, τῶν τοιούτων μετεῖχες εὐεργεσιῶν· ἀλλὰ δεδοικώς σου τῆς γνώμης τὸ δυσπειθές, κατεῖχον ἐν ἑαυτῷ τὴν λύπην, μὴ βουλόμενος παροργίσαι σε· τῷ Θεῷ δὲ ἀπαύστως ἱκέτευον ἑλκύσαι σε πρὸς ἑαυτόν, καὶ τῆς μακρᾶς ἀνακαλέσασθαι ἐξορίας, ἧς αὐτὸς εἶ πρόξενος ἑαυτῷ, δραπέτης οἴμοι! τῆς εὐσεβείας γενόμενος, καὶ κακίας ὑπηρέτης πάσης καὶ ἀσεβείας. Ἐπεὶ δὲ αὐτός, ὦ πάτερ, εἰς ἐμφανὲς τὰ κατ' ἐμὲ ἤγαγες, τὸ πᾶν τῆς ἐμῆς ἄκουε γνώμης. Οὐ ψεύσομαι τὰς πρὸς Χριστόν μου συνθήκας, οὔ, μὰ τὸν ἐξαγοράσαντά με τῆς δουλείας τῷ τιμίῳ αἵματι αὐτοῦ· κἂν μυριάκις με δεῖ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, ἀποθανοῦμαι. Τὰ περὶ ἐμοῦ τοίνυν οὕτως εἰδώς, μηκέτι κόπους σεαυτῷ πάρεχε, μεταπείθειν με ἐπιχειρῶν τῆς καλῆς ὁμολογίας· ὡς γάρ σοι τοῦ οὐρανοῦ ἐπιλαβέσθαι δόξαντι χειρί, ἢ τὰ θαλάττια ξηρᾶναι πελάγη, ἄπρακτον ἂν τὸ ἐγχείρημα ἦν καὶ ἀνήνυτον, οὕτω δὴ καὶ τοῦτο γίνωσκε εἶναι. Ἢ τοίνυν αὐτὸς τῆς ἐμῆς ἀκούσας βουλῆς τῷ Χριστῷ οἰκειώθητι, καὶ τῶν ὑπὲρ ἔννοιαν πείρᾳ λήψῃ ἀγαθῶν, κοινωνοί τε ἀλλήλων ἐσόμεθα ὥσπερ τῆς φύσεως, οὕτω δὴ καὶ τῆς πίστεως, ἢ τῆς σῆς ἀποστήσομαι εὖ ἴσθι υἱότητος, καὶ τῷ Θεῷ λατρεύσω καθαρῷ συνειδότι. Ταῦτα οὖν πάντα ὡς ἤκουσεν ὁ βασιλεύς, ὀξύτατα κινηθείς, καὶ θυμῷ ἀσχέτῳ ληφθείς, ὀργίλως αὐτῷ ἐλάλει, καὶ πικρῶς τοὺς ὀδόντας ἔβρυχε, μαινομένῳ ἐοικώς. Καὶ τίς, φησιν, ὁ τοιούτων μοι αἴτιος τῶν κακῶν, ἢ αὐτὸς ἐγώ, οὕτω σοι διατεθείς, καὶ τοιαῦτα ἐπὶ σοὶ ἐργασάμενος, ἃ οὐδεὶς πώποτε τῶν πατέρων πεποίηκε; Διό σου τῆς γνώμης τὸ σκολιὸν καὶ φιλόνεικον, δύναμιν τῇ ἐξουσίᾳ προσλαβόμενον, κατὰ τῆς ἐμῆς κεφαλῆς μανῆναι πεποίηκε. Δικαίως ἐν τῇ σῇ γεννήσει οἱ ἀστρολόγοι δεινὸν εἶπον ἀποβήσεσθαί σε, καὶ παμπόνηρον ἄνδρα, ἀλαζόνα τε καὶ γονεῦσιν ἀπειθῆ· ἀλλὰ νῦν, εἰ τὴν ἐμὴν ἀκυρώσεις βουλήν, καὶ τῆς ἐμῆς ἀποστήσῃ υἱότητος, ὡς ἐχθρῷ σοι διατεθείς, ἐκεῖνα ποιήσω σοι, ἅπερ οὐδὲ τοῖς πολεμίοις τις ἐνεδείξατο.

Αὖθις ἐκεῖνος· τί, φησιν, ὦ βασιλεῦ, εἰς ὀργὴν ἀνήφθης; Ὅτι τοιούτων ἐγὼ ἠξίωμαι ἀγαθῶν λελύπησαι; καὶ τίς ποτε πατὴρ ἐπὶ τῇ τοῦ υἱοῦ εὐτυχίᾳ ἀχθόμενος ὠράθη; ἢ πῶς πατὴρ ὁ τοιοῦτος, καὶ οὐκ ἐχθρὸς κληθείη; Οὐκοῦν, οὐδὲ ἐγὼ πατέρα μου τοῦ λοιποῦ καλέσω σε· ἀλλὰ ἀποστήσομαί σου, ὥσπερ τις φεύγει ἀπὸ ὄφεως, εἰ γνώσομαι

www.tezaurliturgic.ro



φθονεῖν σε τῇ ἐμῇ σωτηρίᾳ, εἰς ἀπώλειαν δὲ συνωθεῖν με βιαίᾳ χειρί. Εἰ γὰρ βιάζειν με καὶ τυραννεῖν θελήσειας, καθὰ δὴ καὶ εἶπας, οὐδὲν ἄλλο κερδανεῖς, εὖ ἴσθι, ἢ τό, ἀντὶ πατρός, τύραννος καὶ φονεὺς κληθῆναι μόνον· ἐπεί, ῥᾷόν σοι ἀετοῦ ἴχνεσιν ἐφικέσθαι, καὶ κατ᾽ αὐτὸν τὸν ἀέρα διίπτασθαι, ἢ τὴν ἐμὴν μεταπείσειν εἰς Χριστὸν πίστιν, καὶ ἣν αὐτῷ ὡμολόγησα καλὴν ὁμολογίαν. Ἀλλὰ σύνες, ὦ πάτερ, καὶ τὴν ἀχλὺν ἀποτινάξας τῶν τοῦ νοὸς ὀφθαλμῶν, ἀνάβλεψον ἰδεῖν τὸ πᾶσι περιλάμπον τοῦ Θεοῦ μου φῶς· καὶ αὐτός ποτε περιλάμφθητι τῷ γλυκυτάτῳ τούτῳ φωτί. Ἵνα τί γὰρ ὅλως τοῖς πάθεσι καὶ θελήμασιν ἐξεδόθης τῆς σαρκός, καὶ ἀνάνευσις οὐκ ἔστι. Γνῶθι, «ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ πέπτωκε· τὸ δὲ ῥῆμα τοῦ Κυρίου μου τὸ εὐαγγελισθὲν ἐπὶ πάντας, μένει εἰς τὸν αἰῶνα» (Ἠσ. μ΄. 6).

Τί οὖν οὕτως ἐμμανῶς ἀντέχῃ καὶ περιέχῃ τῆς δίκην τῶν ἐαρινῶν ἀνθέων μαραινομένης καὶ φθειρομένης δόξης, καὶ τῆς βδελυρᾶς καὶ δυσώδους τρυφῆς; καὶ τῶν τῆς γαστρὸς καὶ ὑπὸ γαστέρα μιαρωτάτων παθῶν, ἅτινα πρὸς καιρὸν μὲν ἡδύνουσι τὰς αἰσθήσεις τῶν ἀνοήτων, ὕστερον δὲ πικροτέρας χολῆς ποιοῦνται τὰς ἀναδόσεις, ὅταν αἱ μὲν σκιαὶ αὗται, καὶ τὰ ἐνύπνια τοῦ ματαίου τούτου παρέλθωσι βίου, ἐν ὀδύνῃ δὲ διηνεκεῖ πυρὸς ἀσβέστου καὶ σκοτεινοῦ κατακλεισθῶσιν οἱ τούτων ἐρασταί, καὶ τῆς ἀνομίας ἐργάται, ἔνθα ὁ σκώληξ αὐτοὺς ὁ ἀκοίμητος ἀτελεύτητα κατεσθίει, καὶ τὸ πῦρ ἄληκτα καὶ ἀκατάσβεστα εἰς αἰῶνας κατακαύσει τοὺς ἀπεράντους; μεθ᾽ ὧν οἴμοι! καὶ αὐτὸς κατακλεισθείς, καὶ χαλεπῶς ὀδυνώμενος, πολλὰ μὲν μεταγνώσῃ τῶν δεινῶν βουλευμάτων· πολλὰ δὲ ἐπιζητήσεις τὰς νῦν ἡμέρας, καὶ τῶν ἐμῶν ἐπιμνησθείσῃ ῥημάτων, ἀλλ᾽ ὄφελος τῆς μεταμελείας οὐκ ἔσται· ἐν γὰρ τῷ ᾅδῃ ἐξομολόγησις καὶ μετάνοια οὐχ ὑπάρχει· ἀλλ᾽ ὁ παρὼν ὡρίσθη καιρὸς τῆς ἐργασίας, ὁ δὲ μέλλων τῆς ἀνταποδόσεως.

Εἰ μὲν γὰρ τὰ παρόντα τερπνὰ οὐκ ἀφανισμῷ ὑπέκειντο καὶ ῥοῇ, ἀλλὰ συνδιαιωνίζειν ἔμελλε τοῖς ἑαυτῶν δεσπόταις, οὐδ᾽ οὕτως ἔδει τῶν τοῦ Χριστοῦ δωρεῶν, καὶ ὑπὲρ ἔννοιαν ἀγαθῶν ταῦτα προκρῖναι· καθόσον γὰρ ὁ ἥλιος τῆς βαθείας νυκτὸς λαμπρότερος καὶ διαυγέστερος, τοσοῦτον καὶ πολλῷ πλέον τὰ ἐπηγγελμένα ἀγαθὰ τοῖς ἀγαπῶσι τὸν Θεόν, πάσης ἐπιγείου βασιλείας καὶ δόξης ἐνδοξότερα ὑπάρχει καὶ μεγαλοπρεπέστερα· καὶ ἔδει πάντως τὰ μείζονα τῶν εὐτελεστέρων προκρῖναι· ἐπεὶ δὲ καὶ ῥευστὰ τὰ τῇδε πάντα, καὶ φθορᾷ ὑποκείμενα, ὡς ὄναρ τε καὶ ὡς σκιὰ καὶ ἐνύπνιον παρέρχεται, καὶ ἀφανίζεται, καὶ αὔραις μᾶλλόν ἐστι πιστεύειν οὐχ ἱσταμέναις, καὶ νηὸς



ποντοπορούσης ἴχνεσιν, ἢ ἀνθρώπων εὐημερίᾳ· πόσης εὐηθείας, ἢ μᾶλλον εἰπεῖν ἀνοίας τε καὶ παραφροσύνης, τὰ φθαρτὰ καὶ ἐπίκηρα, ἀσθενῆ τε καὶ οὐδαμινά, τῶν ἀφθάρτων προκρῖναι καὶ αἰωνίων, ἀκηράτων τε καὶ ἀτελευτήτων, καὶ τῇ προσκαίρῳ τούτων ἀπολαύσει τῆς ἀδιαδόχου τε καὶ ἀνεκφράστου στερηθῆναι τῶν ἀγαθῶν ἐκείνων ἀπολαύσεως;

Οὐ συνήσεις ταῦτα, ὦ πάτερ; οὐ παραδραμεῖς τὰ παρατρέχοντα, καὶ προστεθήσῃ τοῖς ἐπιμένουσιν; οὐ προτιμήσεις τὴν κατοικίαν, τῆς παροικίας; τὸ φῶς, τοῦ σκότους; τὸ πνεῦμα, τῆς σαρκός; τὴν αἰώνιον ζωήν, τῆς σκιᾶς τοῦ θανάτου; τὰ μὴ λυόμενα, τῶν ῥεόντων; οὐκ ἐκφεύξῃ τῆς χαλεπῆς δουλείας τοῦ δεινοῦ κοσμοκράτορος, τοῦ πονηροῦ, φημι, διαβόλου, καὶ τῷ ἀγαθῷ καὶ εὐσπλάγχνῳ καὶ πανοικτίρμονι οἰκειωθήσῃ Δεσπότῃ; οὐ τῆς τῶν πολλῶν ἀποστὰς καὶ ψευδωνύμων θεῶν λατρείας, τῷ ἑνὶ λατρεύσεις ἀληθινῷ καὶ ζῶντι Θεῷ; Εἰ γὰρ καὶ ἥμαρτες αὐτῷ, πολλὰ βλασφημήσας, καὶ τοὺς αὐτοῦ θεράποντας δειναῖς ἀνελὼν τιμωρίαις, ἀλλὰ δέξεταί σε, εὖ οἶδα, ὁ ἀγαθὸς ἐπιστρέψαντα, καὶ πάντων σου ἀμνημονήσει τῶν πλημμελημάτων· «οὐ βούλεται γὰρ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν» (Ἰεζ. λγ΄. 11), ὁ ἐκ τῶν ἀνεκδιηγήτων ὑψωμάτων κατελθὼν ἐπὶ ζήτησιν τῶν πλανηθέντων ἡμῶν, σταυρόν τε καὶ μάστιγας, καὶ θάνατον ὑπομείνας δι᾽ ἡμᾶς, καὶ τῷ τιμίῳ αὐτοῦ αἵματι ἀγοράσας ἡμᾶς τοὺς πεπραμένους ὑπὸ τῆς ἁμαρτίας. Αὐτῷ δόξα καὶ αἴνεσις εἰς τοὺς αἰῶνας, ἀμήν.

Τὸν δὲ βασιλέα ἐκπλήξει τε ἅμα καὶ ὀργῇ ληφθέντα, τὸ μέν, ἐπὶ τῇ τοῦ παιδὸς συνέσει, καὶ τοῖς ἀναντιῤῥήτοις αὐτοῦ ῥήμασι· τὸ δέ, ἐφ᾽ ᾧ τοὺς ἐκείνου οὐ διέλειπεν ἐνδιαβάλλειν θεούς, καὶ ὅλον αὐτοῦ μυκτηρίζων καὶ χλευάζων τὸν βίον· τὸ μὲν τοῦ λόγου φαιδρόν, διὰ τὴν ἔνδον οὐκ ἐδέξατο τοῦ σκότους παχύτητα· τιμωρήσασθαι δὲ αὐτόν, ἢ κακῶς διαθέσθαι τῇ φυσικῇ μὴ δυνάμενος στοργῇ· τὸ δὲ μεταπείθειν αὐτὸν ἀπειλαῖς πάντῃ ἀπογνούς, φοβηθεὶς μή, πλείονας κινήσας πρὸς αὐτὸν λόγους, ἐκείνου παῤῥησιαζομένου, καὶ τὰ τῶν αὐτοῦ θεῶν διακωμῳδοῦντος καὶ χλευάζοντος, εἰς πλείονα θυμὸν ἐξαφθείς, τῶν ἐναντίων εἰς αὐτόν τι διαπράξοιτο, μετ᾽ ὀργῆς ἀναστάς, ὑπεχώρησεν, εἴθε μηδόλως ἐγεννήθης, εἰπών, μήτε εἰς φῶς προῆλθες, τοιοῦτος μέλλων ἔσεσθαι βλάσφημος εἰς τοὺς θεούς, καὶ τῆς πατρικῆς ἀποστὰς φιλίας καὶ νουθεσίας· ἀλλ᾽ οὐκ εἰς τέλος τῶν ἀηττήτων καταμωκήσῃ θεῶν, οὐδὲ ἐπι πολὺ χαρήσονται οἱ ὑπεναντίοι, οὐδὲ αἱ τούτων ἰσχύσουσι γοητεῖαι· εἰ μὴ γὰρ εὐήκοος γενήσῃ μοι, καὶ τοῖς θεοῖς εὐγνώμων, πολλαῖς πρότερον ἐκδεδωκώς σε βασάνοις, καὶ ποικί-

www.tezaurliturgic.ro



λαις τιμωρίαις, κακηγκάκως θανατώσω· οὐχ ὡς υἱῷ σοι διατεθείς, ἀλλ' ὡς ἐχθρῷ τινι καὶ ἀποστάτῃ.

Ταῦτα τοῦ βασιλέως καὶ πατρὸς ἀπειλησαμένου, καὶ μετ' ὀργῆς ὑποχωρήσαντος, εἰς τὸν αὐτοῦ κοιτῶνα ὁ υἱὸς εἰσελθών, καὶ πρὸς τὸν οἰκεῖον ἀγωνοθέτην τοὺς ὀφθαλμοὺς ἀνατείνας, Κύριε ὁ Θεός μου, ἐκ βάθους ἀνακράξας τῆς καρδίας, ἡ γλυκεῖα ἐλπίς, καὶ ἀψευδὴς ἐπαγγελία, ἡ κραταιὰ καταφυγὴ τῶν σοὶ προσανακειμένων, ἴδε μου τὴν συντριβὴν τῆς καρδίας ἱλέῳ καὶ εὐμενεῖ ὄμματι, καὶ μὴ ἐγκαταλίπῃς με, μηδὲ ἀποστῇς ἀπ' ἐμοῦ· ἀλλὰ κατὰ τὴν ἀψευδῆ σου ὑπόσχεσιν, γενοῦ μετ' ἐμοῦ τοῦ ἀναξίου καὶ εὐτελοῦς· σὲ γὰρ γινώσκω καὶ ὁμολογῶ ποιητὴν καὶ προνοητὴν πάσης κτίσεως. Αὐτὸς οὖν με ἐνίσχυσον ἐν ταύτῃ τῇ καλῇ ὁμολογίᾳ, μέχρι τελευταίας μου διαμεῖναι ἀναπνοῆς· ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, καὶ παράστηθι, ἐκ πάσης διατηρῶν με σατανικῆς ἐνεργείας ἀλώβητον· ἐπίβλεψον, Βασιλεῦ· διαπέφλεκται γὰρ ἰσχυρῶς ἡ ψυχή μου τῷ σῷ πόθῳ, καὶ ἐκκέκαυται ὡς ἐν δίψῃ καύματος ἐν ἀνύδρῳ, σὲ ἐπιποθοῦσα τὴν πηγὴν τῆς ἀθανασίας· μὴ παραδῷς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι· τῆς ψυχῆς τοῦ πτωχοῦ σου μὴ ἐπιλάθῃ εἰς τέλος· ἀλλὰ παράσχου μοι τῷ ἁμαρτωλῷ παρ' ὅλην μου τὴν ζωὴν ὑπὲρ τοῦ σοῦ ὀνόματος, καὶ τῆς σῆς ὁμολογίας πάντα παθεῖν, καὶ ὅλον ἐμαυτόν σοι καταθῦσαι· σοῦ γὰρ ἐνδυναμοῦντος, καὶ οἱ ἀσθενεῖς ὑπερισχύουσιν. Ὅτι σὺ μόνος εἶ σύμμαχος ἀήττητος, καὶ Θεὸς ἐλεήμων· ὃν εὐλογεῖ πᾶσα κτίσις τὸν δεδοξασμένον εἰς τοὺς Αἰῶνας. Ἀμήν. Οὕτως οὖν εὐξάμενος, θείας ᾔσθετο παρακλήσεως, τῇ αὐτοῦ ἐπιφοιτησάσης καρδίᾳ· καὶ θάρσους ἐμπλησθείς, διετέλεσεν ὅλην τὴν νύκτα εὐχόμενος.

Ὁ δὲ βασιλεύς, Ἀραχῇ τῷ φίλῳ κοινολογησάμενος τὰ περὶ τοῦ παιδός, καὶ τὴν ἀπότομον αὐτοῦ παῤῥησίαν, καὶ ἀμετάθετον δηλώσας γνώμην, βουλὴν τίθεται φίλιον ὁ Ἀραχῆς ὅτι μάλιστα καὶ θεραπευτικὴν πρὸς αὐτὸν ποιήσασθαι τὴν ὁμιλίαν, ταῖς κολακείαις ἐλπίζων ἴσως ἐφελκύσασθαι. Ἔρχεται τοιγαροῦν τῇ ἐπαύριον πρὸς τὸν υἱόν, καὶ καθίσας, ἐγγύτερον τοῦτον προσεκαλέσατο. Εἶτα περιπλακείς, κατεφίλει, πράως ὑπερχόμενος καὶ ἠπίως· ὦ τέκνον ποθεινότατον, εἰρηκώς, καὶ φιλούμενον, τίμησον τὴν τοῦ σοῦ πατρὸς πολιάν· καὶ τῆς ἐμῆς ἀκούσας δεήσεως, προσελθών, προσάγαγε θυσίαν τοῖς θεοῖς· οὕτω γὰρ ἐκείνους τε εὐμενεῖς ἕξεις, καὶ μακρότητα ἡμερῶν· δόξης τε πάσης, καὶ βασιλείας ἀνεπηρεάστου, καὶ παντοίων ἀγαθῶν μετουσίαν παρ' αὐτῶν ἀπολήψῃ· ἐμοί τε τῷ πατρὶ ἔσῃ κεχαρισμένος διὰ βίου παντός, καὶ πᾶσιν ἀνθρώποις τίμιός τε καὶ ἐπαινετός· μέγα γὰρ



εἰς ἐπαίνου λόγον τὸ πατρὶ ὑπακούειν καὶ μάλιστα ἐπ' ἀγαθῷ, καὶ τῇ εἰς τοὺς θεοὺς εὐνοίᾳ.

Τί δέ, τέκνον, ὑπέλαβες; πότερον ὡς ἑκὼν τῆς ἀγαθῆς ἐκκλίνας ὁδοῦ, τὴν ἐναντίαν ἰέναι προέκρινα, ἢ ἀγνοίᾳ καὶ ἀπειρίᾳ τοῦ ἀγαθοῦ τοῖς ὀλεθρίοις ἐμαυτὸν ἐξέδωκα; Ἀλλ' εἰ μὲν ἑκόντα με νομίζεις τοῦ συμφέροντος προτιμᾷν τὰ κακά, καὶ τῆς ζωῆς προκρίνειν τὸν θάνατον, πάνυ μοι δοκεῖς, τέκνον, τῆς ὀρθῆς ἀποσφαλῆναι κρίσεως· ἢ οὐχ ὁρᾷς, ὅσῃ κακουχίᾳ καὶ ταλαιπωρίᾳ πολλάκις ἐμαυτὸν ἐκδίδωμι ἐν ταῖς κατὰ τῶν ἐχθρῶν ἐκστρατείαις, ἢ ἄλλαις τισὶ τοῦ κοινοῦ προστασίαις ἀσχολούμενος, ὡς καὶ πείνης, καὶ δίψης, πεζοπορίαις τε καὶ χαμαικοιτίαις, εἰ οὕτω δεήσειε, μὴ φείσασθαι; πλούτου δὲ καὶ χρημάτων τοσαύτη μοι πρόσεστιν ὑπεροψία τε καὶ καταφρόνησις, ὡς ἔσθ' ὅτε τὰ ταμιεῖα πάντα τοῦ ἐμοῦ παλατίου κατακενῶσαι, εἰς τὸ ἀνοικοδομῆσαι τοὺς τῶν θεῶν μεγίστους ναούς, καὶ παντοίῳ τούτους κατακοσμῆσαι κόσμῳ; ἢ τοῖς στρατοπέδοις ἀφθόνως διανεῖμαι τοὺς θησαυροὺς τῶν χρημάτων; Τοιαύτης οὖν μετέχων τῶν ἀπολαυστικῶν ὑπεροψίας, καὶ τῆς ἐν τοῖς δεινοῖς καρτερίας, εἰ τὴν τῶν Γαλιλαίων ἐγίνωσκον θρησκείαν κρείττονα τῆς ἐν χερσὶν ὑπάρχειν, πόσης ἂν οὐκ ἔκρινα τὸ πρᾶγμα σπουδῆς ἄξιον, πάντων μὲν ὑπεριδεῖν, καὶ τὴν ἐμαυτοῦ περιποιήσασθαι σωτηρίαν; Εἰ δὲ ἄγνοιάν μου καὶ ἀπειρίαν τοῦ καλοῦ καταγινώσκεις, σύνες, ὅσας πολλάκις νύκτας ἄϋπνος διετέλεσα, ζητήματός τινος προτεθέντος, ἔσθ' ὅτε καὶ οὐ πολὺ ἀναγκαίου, μὴ παρέχων ὅλως ἐμαυτῷ ἀνάπαυσιν, πρὶν ἢ τοῦ ζητουμένου σαφῆ καὶ εὐπρεπεστάτην εὕροι μοι τὴν λύσιν.

Εἰ οὖν τῶν προσκαίρων τούτων πραγμάτων οὐδὲ τὸ σμικρότατον εὐκαταφρόνητον ἔχω, ἄχρις οὗ πάντα συμφερόντως, καὶ ἐπὶ λυσιτελείᾳ τῶν ἁπάντων ἐπιτελεσθείη· καὶ οὐδενὶ ἑτέρῳ ἀκριβέστερον ἢ τῶν ἀποῤῥήτων διάγνωσις ἐν πάσῃ, ὡς οἶμαι, τῇ ὑφηλίῳ διερευνᾶσθαι ὡς ἐμοὶ παρὰ πάντων μεμαρτύρηται, πῶς τὰ θεῖα, καὶ ἃ σέβεσθαι καὶ θεολογεῖν θέμις, εὐκαταφρόνητα ἂν ἐλογισάμην, καὶ μὴ πάσῃ σπουδῇ, πάσῃ δυνάμει, ὅλῃ τῇ ψυχῇ, καὶ ὅλῳ τῷ νοὶ εἰς τὴν τούτων ἀπησχολησάμην ἐμαυτὸν ζήτησιν, τοῦ εὑρεῖν τὰ ἀληθῆ καὶ πρεπωδέστατα; καί γε ἐζήτησα ἐμπόνως, πολλὰς μὲν νύκτας ἴσα ταῖς ἡμέραις ἐν τούτοις ἀναλώσας· πολλοὺς δὲ σοφοὺς καὶ ἐπιστήμονας εἰς τήν δε τὴν βουλὴν συγκαλέσας· πολλοῖς δὲ καὶ τῶν λεγομένων χριστιανῶν ὁμιλήσας, καὶ τῇ ἀόκνῳ συζητήσει, καὶ διαπύρῳ ἐρεύνῃ, εὑρέθη μοι ἡ τῆς ἀληθείας ὁδὸς παρὰ σοφῶν, τῇ τε λογιότητι καὶ συνέσει τετιμημένων μαρτυρηθεῖσα, ὡς οὐκ ἔστιν ἄλλη πίστις, εἰμή, ἣν σήμερον πορεύο-

www.tezaurliturgic.ro



μεθα, τοῖς μεγίστοις θεοῖς λατρεύοντες, καὶ τῆς γλυκείας βιοτῆς καὶ ἐνηδόνου ἀντεχόμενοι, τοῖς πᾶσιν ἀνθρώποις παρ᾽ αὐτῶν δεδωρημένοις. ἥτις τερπνότητος ὅτι πλείστης καὶ θυμηδίας πεπλήρωται· ἣν οἱ τῶν Γαλιλαίων ἔξαρχοι καὶ μυσταγωγοὶ ἀφρόνως ἀπώσαντο, ὡς καὶ τὸ γλυκὺ τοῦτο φῶς, καὶ τὰ τερπνὰ πάντα, ἅπερ εἰς ἀπόλαυσιν ἐχαρίσαντο ἡμῖν οἱ θεοί, ἐπ᾽ ἐλπίδι τινος ἑτέρας ἀδήλου ζωῆς ἑτοίμως προΐεσθαι, μὴ εἰδότες τί λέγουσιν, ἢ περὶ τίνος διαβεβαιοῦνται.

Σὺ δέ, φίλτατε υἱέ, τῷ σῷ πείσθητι πατρί, δι᾽ ἀκριβοῦς καὶ ἀληθεστάτης ἐρεύνης τὸ ὄντως καλὸν εὑρηκότι. Ἰδοὺ γὰρ ἀποδέδεικται, ὡς οὔτε, ἑκών, οὔτε μὴν ἀγνοίας τρόπῳ διήμαρτον τοῦ ἀγαθοῦ, ἀλλ᾽ εὗρον, καὶ προσελαβόμην· ἐπιποθῶ δὲ καὶ σὲ μὴ ἀνοήτως πλανᾶσθαι, ἀλλ᾽ ἐμοὶ ἀκολουθῆσαι. Αἰδέσθητι οὖν τὸν πατέρα σου· ἢ οὐκ οἶδας, ὁποῖόν ἐστι καλὸν τῷ πατρὶ πείθεσθαι, καὶ αὐτῷ ἐν πάσῃ χαρίζεσθαι; ὡς ἔμπαλιν ὀλέθριον καὶ ἐπάρατον τὸ πατέρα παραπικραίνειν, καὶ τὰς αὐτοῦ παρ᾽ οὐδὲν τιθέναι ἐντολάς; ὅσοι γὰρ τοῦτο ἐποίησαν, κακηγκάκως ἀπώλοντο· οἷς σύ, τέκνον, μὴ συναριθμηθείης· ἀλλὰ τῷ τεκόντι κεχαρισμένα ποιῶν, πάντων ἐπιτύχοις τῶν ἀγαθῶν, καὶ κληρονόμος γένοιο τῆς ἐμῆς εὐλογίας τε καὶ βασιλείας. Ὁ δὲ μεγαλόφρων ὡς ἀληθῶς καὶ εὐγενὴς νεανίας, τῆς τοῦ πατρὸς περιττολογίας, καὶ ἀνοήτου ἀντιβολῆς ἀκούσας, καὶ γνοὺς τὰς τοῦ σκολιοῦ δράκοντος μηχανάς, ὡς ἐκ τῶν δεξιῶν αὐτοῦ τοῖς ποσὶν ἡτοίμασε παγίδα, κατακάμψαι τὴν θεοειδῆ ψυχὴν τεχναζόμενος, καὶ πρὸς τὸ προκείμενον ἐμποδίσαι βραβεῖον, τὸ Δεσποτικὸν πρὸ ὀφθαλμῶν ἔθετο πρόσταγμα «οὐκ ἦλθον βαλεῖν εἰρήνην, εἰπόντος, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι υἱὸν κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς· καὶ τὰ ἑξῆς». Καὶ ὅτι «ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὅστις με ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς» (Ματθ. ι. 33. 35).

Ταῦτα λογισάμενος, καὶ τῷ θείῳ φόβῳ τὴν ψυχὴν πεδήσας, τῷ πόθῳ τε καὶ τῷ ἔρωτι ἐνισχύσας, τὸ Σολομώντειον ἐκεῖνο ῥῆμα πάνυ κατὰ καιρὸν ἐξελάβετο· «καιρός, φάσκοντος, τοῦ φιλῆσαι, καὶ καιρὸς τοῦ μισῆσαι· καιρὸς πολέμου, καὶ καιρὸς εἰρήνης» (Ἐκκλ. γ΄. 8). Καὶ πρῶτα μὲν κατὰ νοῦν εὐξάμενος. «ἐλέησόν με, εἶπεν, ὁ Θεός, ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία. Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με· καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ» (Ψαλμ. νς΄. 1). Εἶτά φησι πρὸς τὸν βασιλέα· τὸ μὲν θεραπεύειν



πατέρα, καὶ τοῖς αὐτοῦ ὑπείκειν προστάγμασιν, εὐνοίᾳ τε καὶ φιλίᾳ καθυπηρετεῖν, ὁ κοινὸς ἡμῶν διδάσκει Δεσπότης, φυσικὴν ἡμῖν τὴν τοιαύτην ἐγκατασπείρας στοργήν[1]· ὅταν δὲ ἡ τῶν γονέων σχέσις καὶ φιλία πρὸς αὐτὴν φέρει τὸν κίνδυνον τὴν ψυχήν, καὶ τοῦ δημιουργοῦ πόρρω ποεῖ, ἐγκόπτειν ταύτην παντάπασι προστετάγμεθα· καὶ μηδόλως εἴκειν τοῖς χωρίζουσιν ἡμᾶς τοῦ Θεοῦ, ἀλλὰ μισεῖν τούτους καὶ ἀποστρέφεσθαι, κἂν πατὴρ ᾖ ὁ τὰ ἀπευκταῖα ἐπιτάττων, κἂν μήτηρ, κἂν βασιλεύς, κἂν τῆς ζωῆς αὐτῆς κύριος.

Διὰ ταῦτα τῆς πατρικῆς μὲν σχέσεως ἕνεκα τὸν Θεὸν ζημιωθῆναι τῶν ἀδυνάτων μοι ἐστί· διὸ μήτε σαυτῷ κόπους πάρεχε, μήτε ἐμοί· ἀλλ᾽ ἢ πείσθητι, καὶ τῷ ζῶντι ἄμφω καὶ ἀληθινῷ λατρεύσωμεν Θεῷ, (ἃ γὰρ νῦν σέβῃ, εἴδωλά εἰσι, χειρῶν ἀνθρώπων ἔργα, πνοῆς ἔρημα, καὶ κωφά, μηδὲν ὅλως, ἢ μόνην ἀπώλειαν καὶ τιμωρίαν τοῖς αὐτὰ σεβομένοις προξενοῦντα·) εἰ δὲ μὴ τοῦτο βούλει, ποίει εἰς ἐμὲ ὅπερ σοι δοκεῖ· δοῦλος γάρ εἰμι τοῦ Χριστοῦ· καὶ οὔτε θωπείαις, οὔτε κολάσεσι τῆς αὐτοῦ ἀποστήσομαι ἀγάπης, καθὰ δὴ καὶ τῇ προτεραίᾳ εἶπόν σοι, μέσον ἐμβαλὼν τὸ τοῦ Δεσπότου μου ὄνομα, καὶ ἀσφαλέστατα τὸν λόγον ἐμπεδωσάμενος. Ὅτι δὲ μήτε ἑκὼν ἔφησας κακουργεῖν, μήτε μὴν ἀγνοίᾳ διαμαρτάνειν τοῦ ἀγαθοῦ, ἀλλὰ πολλῇ καὶ ἐμπόνῳ ζητήσει τοῦτο ἔγνως ὄντως εἶναι καλόν, τὸ εἰδώλοις λατρεύειν, καὶ ταῖς ἡδοναῖς τῶν παθῶν προσηλῶσθαι, καὶ κακουργεῖν μέν σε ἐθελοντί, οὐκ ἔχω λέγειν. Ὅτι δὲ πολλή σοι περικέχυται ἀγνωσίας ἀχλύς, καὶ ὡς ἐν σκότει ψηλαφητῷ πορευόμενος, οὐδόλως ὁρᾷς φωτὸς κἂν μικράν τινα μαρμαρυγήν, ὅθεν τὴν εὐθεῖαν ἀπολέσας, κρημνοῖς καὶ φάραγξι δεινοῖς περιπλανώμενος, οὐκ ὀρθοποδεῖς, τοῦτο κἀγὼ βεβαίως ἐπίσταμαι, καὶ σέ, πάτερ, γινώσκειν βούλομαι.

Διό, σκότος ἀντὶ φωτὸς κατέχων, καὶ θανάτου ἤπερ ζωῆς ἀντεχόμενος, οἴει συμφερόντως βεβουλεῦσθαι, καὶ λυσιτελῶς ἐντεθυμεῖσθαι; ἀλλ᾽ οὐκ ἔστι ταῦτα· οὐκ ἔστιν· οὔτε γάρ, ἅπερ σέβῃ, θεοί εἰσιν, ἀλλὰ στῆλαι δαιμόνων, πᾶσαν αὐτῶν τὴν μυσαρὰν ἐνέργειαν ἔνδον ἔχουσαι· οὔτε, ἥνπερ γλυκεῖαν ἀποκαλεῖς καὶ ἐνήδονον βιοτήν, τερπνότητός τε καὶ θυμηδίας δοκεῖς πεπληρῶσθαι, τοιαύτης ἔχει φύσεως· ἀλλὰ βδελυκτή ἐστιν αὕτη, κατά γε τὸν τῆς ἀληθείας λόγον, καὶ ἀποτρόπαιος· πρὸς καιρὸν γὰρ γλυκαίνει, καὶ λεαίνει τὸν φάρυγγα, ὕστερον δὲ πικροτέρας χολῆς ποιεῖται τὰς ἀναδόσεις, ὡς ὁ ἐμὸς ἔφη διδάσκαλος, καὶ ἠκονημένης μᾶλλον μαχαίρας διστόμου· καὶ πῶς ἄν σοι

[1] Ὅρα πάνσοφον καὶ ἐξαίσιον καὶ θεολογικωτάτην διδασκαλίαν τοῦ πανσόφου ὡς ἀληθῶς Ἰωάσαφ, ὅς, ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐνισχυόμενος, ἔλεγεν.

www.tezaurliturgic.ro



τὰ ταύτης κακὰ διηγησαίμην; ἐξαριθμήσομαι αὐτά, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· ἄγκιστρον γάρ ἐστι τοῦ διαβόλου, ὡς δέλεαρ τὴν βδελυρὰν περικειμένη ἡδονήν, δι᾽ οὗ τοὺς ἀπατωμένους εἰς τὸν τοῦ ᾅδου καθέλκει πυθμένα.

Τὰ δὲ παρὰ τοῦ ἐμοῦ Δεσπότου ἐπηγγελμένα ἀγαθά, ἅπερ σὺ ἀδήλου ζωῆς ἐλπίδα ὠνόμασας, ἀψευδῆ εἰσι, καὶ ἀναλλοίωτα· τέλος οὐκ οἶδε· φθορᾷ οὐχ ὑπόκειται· λόγος οὐκ ἔστιν ὁ παραστῆσαι τὸ μέγεθος τῆς δόξης ἐκείνης καὶ τερπνότητος ἰσχύων· τῆς χαρᾶς τῆς ἀνεκλαλήτου· τῆς διηνεκοῦς εὐφροσύνης. Πάντες μὲν γὰρ καθάπερ ὁρᾷς, ἀποθνήσκομεν· «καὶ οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον» (Ψαλμ. πή. 49)· μέλλομεν δὲ πάλιν ἀνίστασθαι, ἡνίκα ἐλεύσεται Κύριος Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἐν δόξῃ ἀνεκλαλήτῳ, καὶ δυνάμει φοβερᾷ· ὁ μόνος Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων· ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ τοσαύτην ἐμποιήσει τότε τὴν ἔκστασιν, ὡς καὶ αὐτὰς ἐκπλαγῆναι τὰς οὐρανίους δυνάμεις· παραστήσονται δὲ αὐτῷ τρόμῳ χίλιαι χιλιάδες, καὶ μύριαι μυριάδες Ἀγγέλων καὶ Ἀρχαγγέλων, καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστά· σαλπιεῖ γὰρ εἷς τῶν Ἀρχαγγέλων ἐν σάλπιγγι Θεοῦ, καὶ εὐθὺς ὁ οὐρανὸς μὲν ἑλιγήσεται ὡς βιβλίον· ἡ γῆ δέ, ἀναῤῥηγνυμένη, ἀναδώσει τὰ τεθνεῶτα σώματα τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν ὁ πρῶτος ἄνθρωπος Ἀδάμ, μέχρι τῆς ἡμέρας ἐκείνης· καὶ τότε πάντες οἱ ἀπ᾽ αἰῶνος θανόντες, ζῶντες ἐν ῥιπῇ ὀφθαλμοῦ παραστήσονται τῷ βήματι τοῦ ἀθανάτου Δεσπότου, καὶ ἕκαστος λόγον δώσει ὑπὲρ ὧν ἔπραξε. Τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, οἱ πιστεύσαντες εἰς Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, καὶ ἐν ἔργοις ἀγαθοῖς τελέσαντες τὸν παρόντα βίον. Πῶς δέ σοι διηγήσομαι τὴν μέλλουσαν αὐτοὺς τότε διαδέχεσθαι δόξαν; κἂν γὰρ τῷ ἡλιακῷ παραβάλλω φωτὶ τὴν λαμπρότητα αὐτῶν καὶ τὸ κάλλος, κἂν ἀστραπῇ τῇ φανοτάτῃ, οὐδὲν τῆς λαμπρότητος ἐκείνης ἄξιον ἐρῶ· «ὀφθαλμὸς γὰρ οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν» (Α΄. Κορινθ. β΄. 9), ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἐν τῷ φωτὶ τῷ ἀπροσίτῳ, ἐν τῇ δόξῃ τῇ ἀποῤῥήτῳ τε καὶ ἀτελευτήτῳ. Καὶ οἱ μὲν δίκαιοι τεύξονται τῶν ἀγαθῶν, καὶ τῆς τοιαύτης μακαριότητος.

Οἱ δέ, τὸν ὄντως ὄντα Θεὸν ἀρνησάμενοι, καὶ τὸν πλάστην καὶ δημιουργὸν ἀγνοήσαντες, δαίμοσι δὲ μιαροῖς λατρεύσαντες, καὶ εἰδώλοις κωφοῖς τὸ σέβας ἀπονείμαντες, τὰς ἡδονάς τε τοῦ ματαίου



τούτου βίου ποθήσαντες, καὶ δίκην χοίρων ἐν τῷ βορβόρῳ τῶν παθῶν κυλισθέντες, καὶ πάσης κακίας ὁρμητήριον τὰς ἑαυτῶν ψυχὰς ποιησάμενοι, στήσονται γυμνοὶ καὶ τετραχηλισμένοι, κατησχυμένοι, κατηφεῖς, ἐλεεινοὶ καὶ τῷ σχήματι καὶ τῷ πράγματι, ὄνειδος προκείμενοι πάσῃ τῇ κτίσει· πάντα δὲ αὐτῶν τὰ ἔργα, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν διανοίᾳ, πρὸ προσώπου αὐτῶν ἐλεύσονται. Εἶτα μετὰ τὴν αἰσχύνην τὴν χαλεπωτάτην, καὶ τὸ ὄνειδος ἐκεῖνο τὸ ἀφόρητον, καταδικασθήσονται εἰς τὸ πῦρ τῆς γεέννης τὸ ἄσβεστον καὶ ἀφεγγές· εἰς τὸ σκότος τὸ ἐξώτερον· εἰς τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ σκώληκα τὸν ἰοβόλον. Αὕτη ἡ μερὶς αὐτῶν· οὗτος ὁ κλῆρος· οἷς εἰς αἰῶνας συνέσονται τοὺς ἀτελευτήτους τιμωρούμενοι, ἀνθ᾽ ὧν τὰ ἐν ἐπαγγελίαις ἀγαθὰ παρωσάμενοι, διὰ πρόσκαιρον ἁμαρτίας ἡδονὴν κόλασιν αἰώνιον ἐξελέξαντο.

Ὑπὲρ δὴ τούτων, ὥστε τῆς ἀῤῥήτου μὲν χαρᾶς ἐκείνης ἐπιτυχεῖν, καὶ τῆς ἀποῤῥήτου δόξης ἀπολαύειν, τοῖς Ἀγγέλοις δὲ ἀντιλάμπειν, καὶ τῷ ἀγαθῷ καὶ γλυκυτάτῳ Δεσπότῃ μετὰ παῤῥησίας παρίστασθαι· τὰς πικροτάτας δὲ τιμωρίας καὶ ἀτελευτήτους, καὶ τὴν ὀδυνηρὰν ἐκείνην ἐκφυγεῖν αἰσχύνην, πόσα οὐκ ἄξιον προέσθαι καὶ σώματα, καὶ χρήματα, μᾶλλον δὲ καὶ αὐτὰς τὰς ψυχάς; Τίς οὕτως ἀγεννής; τίς οὕτως ἀσύνετος; ὡς μὴ μυρίους ὑποστῆναι προσκαίρους θανάτους, ἵνα τοῦ αἰωνίου ἀπαλλαγῇ καὶ ἀτελευτήτου θανάτου, τὴν ζωὴν δὲ κληρονομήσῃ τὴν μακαρίαν τε καὶ ἀνώλεθρον, καὶ τῷ φωτὶ περιλαμφθῇ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος; Τούτων ἀκούσας ὁ βασιλεὺς τῶν ῥημάτων, καὶ τὸ στερέμνιον καὶ ἀνένδοτον ἰδὼν τοῦ παιδός, μήτε κολακείαις εἴκοντα, μήτε λόγων πειθοῖ, μὴ τιμωριῶν ἀπειλαῖς, ἐθαύμαζε μὲν ἐπὶ τῇ πιθανότητι τοῦ λόγου, καὶ ταῖς ἀναντιῤῥήτοις ἀποκρίσεσιν, ἠλέγχετο δὲ ὑπὸ τοῦ συνειδότος ἀληθῆ λέγειν αὐτόν, καὶ δίκαια ὑποδεικνύοντος, ἀλλ᾽ ἀνθείλκετο ὑπὸ τῆς πονηρᾶς συνηθείας, καὶ τῶν ἐν ἕξει βεβαιωθέντων ἐν αὐτῷ παθῶν· ὑφ᾽ ὧν ὡς ἐν κημῷ κατείχετο καὶ χαλινῷ, τῷ φωτὶ μὴ συγχωρούμενος προσβλέψαι τῆς ἀληθείας.

Ὅθεν πάντα λίθον, τὸ τοῦ λόγου, κινῶν, εἴχετο τοῦ πάλαι σκοποῦ, τὴν προμελετηθεῖσαν αὐτῷ μετὰ τοῦ Ἀραχῆ σκῆψιν εἰς ἔργον ἀγαγεῖν βουλόμενος· καί φησι τῷ παιδί· ἔδει μέν σε, τέκνον, τοῖς ἐμοῖς εἴκειν ἐν πᾶσι προστάγμασιν· ἀλλ᾽ ἐπεί, σκληρὸς ὢν καὶ ἀπειθής, ἰσχυρῶς οὕτως ἀντέστης μοι, τὴν ἰδίαν ἐνιστάμενος γνώμην κυριωτέραν πάντων ποιήσασθαι, δεῦρο δὴ τῇ ματαίᾳ ἐνστάσει χαίρειν ἄμφω εἰπόντες, πειθοῖ πολιτευσώμεθα· καὶ ἐπεὶ ὁ σὲ ἀπατήσας Βαρλαάμ,

www.tezaurliturgic.ro



σιδηροδέσμιος παρ᾽ ἐμοὶ τυγχάνει, ἐκκλησιάσας ἐκκλησίαν μεγάλην, καὶ πάντας ἡμετέρους τε καὶ Γαλιλαίους ἐπὶ τὸ αὐτὸ συγκαλέσας, κήρυκάς τε διαῤῥήδην βοᾷν θεσπίσας τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι, ἀλλὰ ἀφόβως πάντας συνελθεῖν, κοινῇ διασκεψώμεθα γνώμῃ· καὶ ἤ, πείσαντες ὑμεῖς μετὰ τοῦ ὑμετέρου Βαρλαάμ, τεύξεσθε, ὧν ἐσπουδάκατε, ἤ, πεισθέντες, σὺν ἑκουσίᾳ τῇ γνώμῃ τοῖς προστάγμασί μου ὑπείκειν προθυμηθείητε.

Ὁ δὲ φρόνιμος τῷ ὄντι καὶ ἐχέφρων νεανίας, διὰ τοῦ θεόθεν αὐτῷ ἐμφανισθέντος ὁράματος τὴν τοῦ βασιλέως προδεδιδαγμένος σκαιωρίαν, ἔφη· τὸ θέλημα τοῦ Κυρίου γενέσθω, καὶ ἔστω καθὼς ἐκέλευσας· αὐτὸς γὰρ ὁ ἀγαθὸς δεσπότης καὶ Θεός, δώῃ τῆς εὐθείας μὴ πλανηθῆναι ἡμᾶς· ἐπ᾽ αὐτῷ γὰρ πέποιθεν ἡ ψυχή μου, καὶ αὐτὸς ἐλεήσει με. Τότε δὴ τότε κελεύει ὁ βασιλεὺς πάντας ἀθροίζεσθαι εἰδωλολάτρας τε καὶ χριστιανούς, γραμμάτων μὲν πανταχοῦ διαπεφοιτηκότων, κηρύκων δὲ ἀνὰ πάσας τὰς κωμοπόλεις βοώντων, τοῦ μηδένα τῶν χριστιανῶν δεδοικέναι ὥστε ἀδόκητόν τι ὑποστῆναι· ἀλλ᾽ ἀδεῶς πάντας καθ᾽ ἑταιρίαν καὶ συγγένειαν ἐπὶ τὸ αὐτὸ συνελθεῖν, ἐπὶ φιλαλήθει καὶ οὐ βεβιασμένῃ συζητήσει, μετὰ τοῦ ἐξάρχου καὶ καθηγεμόνος αὐτῶν Βαρλαὰμ μελλούσῃ γενέσθαι· ὡσαύτως δὲ καὶ τοὺς μύστας καὶ νεωκόρους τῶν εἰδώλων, καὶ σοφοὺς τῶν Χαλδαίων καὶ Ἰνδῶν, τοὺς κατὰ πᾶσαν τὴν ὑπ᾽ αὐτὸν ἀρχὴν ὄντας συνεκαλέσατο· καί τινας οἰωνοσκόπους καὶ γόητας καὶ μάντεις, ὅπως ἂν χριστιανῶν περιγένοιντο.

Καὶ δὴ συνῆλθον πρὸς τὸν βασιλέα πλῆθος πολὺ τῆς μυσαρᾶς αὐτοῦ θρησκείας· χριστιανῶν δέ, εἷς εὑρέθη μόνος, εἰς βοήθειαν ἐλθὼν τοῦ νομιζομένου Βαρλαάμ, ὀνόματι Βαραχίας· οἱ μὲν γὰρ τῶν πιστῶν, θανόντες ἦσαν, ὑπὸ τῆς τῶν κατὰ πόλιν ἀρχόντων μανίας κατασφαγέντες· οἱ δέ, ἐν ὄρεσι καὶ σπηλαίοις κατεκρύπτοντο, τῷ φόβῳ τῶν ἐπικειμένων δεινῶν· ἄλλοι δέ, ἐδεδοίκεισαν τὴν ἀπειλὴν τοῦ βασιλέως, καὶ οὐκ ἐτόλμων εἰς φῶς ἑαυτοὺς ἀγαγεῖν, ἀλλὰ νυκτερινοὶ ἦσαν θεοσεβεῖς, ἐν τῷ λεληθότι τῷ Χριστῷ λατρεύοντες, καὶ μηδαμῶς παῤῥησιαζόμενοι· ἐκεῖνος δὲ μόνος γενναῖος ὢν τὴν ψυχήν, εἰς συναγωνισμὸν ἦλθε τῆς ἀληθείας. Προκαθίσας τοίνυν ὁ βασιλεὺς ἐπὶ βήματος ὑψηλοῦ τε καὶ μετεώρου, συνεδριάζειν αὐτῷ τὸν υἱὸν ἐκέλευσεν. Ὁ δέ, τῇ πρὸς τὸν πατέρα εὐλαβείᾳ καὶ τιμῇ τοῦτο μὴ θελήσας ποιῆσαι, ἐπὶ τῆς γῆς πλησίον αὐτοῦ ἐκάθισε. Παρέστησαν τοίνυν οἱ ἐπιστήμονες τῆς μωρανθείσης παρὰ τοῦ Θεοῦ σοφίας· «ὧν ἐπλανήθη ἡ ἀσύνετος αὐτῶν καρδία, καθώς φησιν ὁ Ἀπόστολος· δοκοῦντες γὰρ σοφοὶ εἶναι, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ



ἐν ὁμοιώμασι θνητῶν ἀνθρώπων καὶ ἑρπετῶν καὶ τετραπόδων» (Ῥωμ. ά. 21). Οὗτοι συνῆλθον συνᾶραι λόγον πρὸς τὸν τοῦ βασιλέως υἱόν, καὶ τοὺς περὶ αὐτόν· καὶ ἐπληροῦτο ἐπ᾽ αὐτοῖς τὸ τῆς παροιμίας· ὅτι πρὸς λέοντα δορκὰς μάχης ἥπτετο· ὁ μὲν γάρ, τὸν Ὕψιστον ἔθετο καταφυγὴν αὐτοῦ, καὶ ἐν τῇ σκιᾷ ἤλπισε τῶν αὐτοῦ πτερύγων· οἱ δέ, τοῖς ἄρχουσιν ἐπεποίθησαν τοῦ αἰῶνος τούτου τοῖς καταργουμένοις, καὶ τῷ κοσμοκράτορι τοῦ σκότους, ᾧ καθυπέταξαν ἑαυτοὺς ἐλεεινῶς καὶ ἀθλίως.

Ἄγεται τοίνυν ὁ Ναχώρ, τὸν Βαρλαὰμ ὑποκρινόμενος· καὶ οἱ μὲν περὶ τὸν βασιλέα τοῦ τοιούτου εἴχοντο σκοποῦ· ἕτερα δὲ πάλιν ἡ σοφὴ πρόνοια ἄνωθεν ᾠκονόμει. Παρισταμένων γὰρ τούτων ἁπάντων, φησὶν ὁ βασιλεὺς τοῖς ῥήτορσι καὶ φιλοσόφοις, μᾶλλον δὲ τοῖς λαοπλάνοις καὶ ἀσυνέτοις τῇ καρδίᾳ. Ἰδοὺ δὴ ἀγὼν ὑμῖν πρόκειται, καὶ ἀγώνων ὁ μέγιστος· δυοῖν γὰρ θάτερον γενήσεται ὑμῖν σήμερον· ἤ, τὰ ἡμέτερα κρατύναντες, πλανᾶσθαι τε τῷ Βαρλαάμ, καὶ τοὺς σὺν αὐτῷ ἐλέγξαντες, δόξης μεγίστης καὶ τιμῆς παρ᾽ ἡμῶν τε καὶ πάσης τύχοιτε τῆς συγκλήτου, καὶ στεφάνοις νίκης καταστεφθείητε· ἤ, ἡττηθέντες, σὺν πάσῃ αἰσχύνῃ καγκηκάκως θανατωθείητε· πάντα δὲ τὰ ὑμέτερα τῷ δήμῳ δοθῆναι, ὡς ἂν παντάπασιν ἐξαρθῇ τὸ μνημόσυνον ὑμῶν ἀπὸ τῆς γῆς· τὰ μὲν γὰρ σώματα ὑμῶν, θηρίοις δώσω παρανάλωμα· τὰ δὲ τέκνα ὑμῶν διηνεκεῖ καταδικάσω δουλείᾳ. Τούτων οὕτως εἰρημένων τῷ βασιλεῖ, ὁ υἱὸς αὐτοῦ ἔφη· κρίμα δίκαιον σήμερον ἔκρινας, ὦ βασιλεῦ· κρατύναι Κύριος ταύτην σου τὴν γνώμην· κἀγὼ δὲ τὰ αὐτά φημι τῷ ἐμῷ διδασκάλῳ· καὶ ἐπιστραφεὶς λέγει τῷ Ναχώρ, ὃς ἐνομίζετο Βαρλαὰμ εἶναι. Οἶδας, ὦ Βαρλαάμ, ἐν τίνι με εὕρηκας δόξῃ καὶ τιμῇ καὶ τρυφῇ, καὶ λόγοις ἔπεισάς με πλείστοις, τῶν μὲν πατρῴων ἀποστῆναι νόμων τε καὶ ἐθῶν, ἀγνώστῳ δὲ λατρεῦσαι Θεῷ, ἀῤῥήτων τινῶν καὶ αἰωνίων ἀγαθῶν ἐπαγγελίαις ἑλκύσας μου τὸν νοῦν τοῖς σοῖς ἐπακολουθῆσαι δόγμασι, καὶ τὸν ἐμὸν παραπικρᾶναι πατέρα καὶ δεσπότην[1]. Νῦν οὖν ὡς ἐπὶ τρυτάνης νόμιζε σεαυτὸν ἑστάναι· εἰ μὲν γὰρ νικήσεις τὴν προκειμένην πάλην, καὶ ἀληθῆ σου τὰ δόγματα δείξεις, ἅ μοι ἐδίδαξας, πλανωμένους δὲ ἐλέγξεις τοὺς σήμερον ἡμῖν ἀντιπίπτοντας, σὺ μὲν δοξασθήσῃ ὡς οὐδεὶς τῶν πώποτε γεγονότων, καὶ κῆρυξ ἀληθείας κληθήσῃ· ἐγὼ δὲ τῇ σῇ ἐμμενῶ διδαχῇ, καὶ τῷ Χριστῷ λατρεύσω, καθὰ δὴ καὶ ἐκήρυξας, μέχρι τελευταίας μου ἀναπνοῆς· εἰ δὲ ἡττηθεὶς εἴτε δόλῳ, εἴτε καὶ ἀληθείᾳ, αἰ-

1 Ὅρα σόφισμα ἐνθεώτατον, τοῦ ὡς ἀληθῶς σοφωτάτου Ἰωάσαφ.

www.tezaurliturgic.ro



σχύνης μοι σήμερον πρόξενος γένη, θᾶττόν μου ἐκδικήσω τὴν ὕβριν χερσὶν οἰκείαις, τήν τε καρδίαν σου καὶ τὴν γλῶσσαν ἐξορύξας, κυσί τε βορὰν ταῦτα σὺν τῷ λοιπῷ του σώματι παραδούς, ἵνα παιδευθῶσι πάντες διὰ σοῦ, μὴ πλανᾷν υἱοὺς βασιλέων.

Τούτων ἀκούσας ὁ Ναχὼρ τῶν ῥημάτων, σκυθρωπὸς ἦν λίαν καὶ κατηφής, ὁρῶν ἑαυτὸν ἐμπίπτοντα τῷ βόθρῳ, ᾧ εἰργάσατο, καὶ τῇ παγίδι, ᾗ ἔκρυψε συλλαμβανόμενον, καὶ τὴν ῥομφαίαν αὐτοῦ εἰς τὴν καρδίαν αὐτοῦ κατανοῶν εἰσδυομένην. Συλλογισάμενος οὖν καθ' ἑαυτόν, τῷ τοῦ βασιλέως μᾶλλον υἱῷ ἔγνω προστεθῆναι, καὶ τὰ ἐκείνου κρατῦναι, τοῦ διαφυγεῖν τὸν ἐπηρτημένον αὐτῷ κίνδυνον· ὡς ἐκείνου εὐλόγως δυναμένου τιμωρήσασθαι αὐτόν, εἴπερ παραπικραίνων εὑρεθείη· τὸ δὲ πᾶν, τῆς θείας ἦν προνοίας, σοφῶς διὰ τῶν ἐναντίων τὰ ἡμέτερα βεβαιούσης. Ὡς γὰρ εἰς λόγους ἦλθον ἀλλήλοις οἱ μύσται τῶν εἰδώλων, καὶ ὁ Ναχώρ, καθάπερ τις ἄλλος Βαλαάμ, ὅς, ἐπὶ τοῦ Βαλάκ ποτε ἐπαράσασθαι τὸν Ἰσραὴλ προθέμενος, πελυειδέσιν αὐτὸν εὐλόγησεν εὐλογίαις, οὕτω καὶ ὁ Ναχὼρ ἰσχυρῶς τοῖς ἀσόφοις καὶ ἀσυνέτοις σοφοῖς ἀντικαθίστατο. Καθεζομένου γὰρ τοῦ βασιλέως ἐπὶ τοῦ θρόνου, συνεδριάζοντος δὲ τοῦ υἱοῦ καθάπερ ἔφημεν, παρεστώτων δὲ τῶν ὡς ῥομφαίαν τὰς γλώσσας ἀκονησάντων ἐπὶ καθαιρέσει τῆς ἀληθείας ἀσόφων ῥητόρων, οἵ, τὸ τοῦ Ἡσαΐου, κύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν, συνελθόντων δὲ ἀπείρων λαῶν εἰς θέαν τοῦ ἀγῶνος, ὥστε μαθεῖν ὁπότερον μέρος τὴν νίκην ἀποίσεται, λέγει τῷ Ναχὼρ εἷς τῶν ῥητόρων, ὁ τῶν σὺν αὐτῷ πάντων διαφορώτατος. Σὺ εἶ ὁ ἀναισχύντως καὶ ἰταμῶς εἰς τοὺς θεοὺς ἡμῶν ἐξυβρίζων, Βαρλαάμ, καὶ τὸν φίλτατον τοῦ βασιλέως υἱὸν τοιαύτῃ περιβαλὼν τῇ πλάνῃ, καὶ τῷ ἐσταυρωμένῳ διδάξας λατρεύειν; Καὶ ὁ Ναχώρ, ἐγώ εἰμι, ἀπεκρίνατο, ἐγώ εἰμι Βαρλαάμ, ὁ τοὺς θεούς σου μὲν ἐξουθενῶν, καθὰ εἴρηκας, τὸν υἱὸν δὲ τοῦ Βασιλέως οὐ πλάνῃ περιβαλών, ἀλλὰ πλάνης ἀπαλλάξας, καὶ τῷ ἀληθινῷ προσοικειωσάμενος Θεῷ. Καὶ ὁ ῥήτωρ· τῶν μεγάλων, φησί, καὶ θαυμασίων ἀνδρῶν, τῶν πᾶσαν σοφίας ἐπιστήμην ἐξευρηκότων, θεοὺς ὑψηλοὺς καὶ ἀθανάτους ἐκείνους ὀνομαζόντων, καὶ πάντων τῶν ἐπὶ γῆς βασιλέων καὶ ἐνδόξων αὐτοὺς προσκυνούντων καὶ σεβομένων, πῶς αὐτὸς γλῶσσαν κατ' αὐτῶν κινεῖς, καὶ ὅλως ἀποθρασύνεσθαι τὰ τοιαῦτα τολμᾷς; τίς δὲ ἡ ἀπόδειξις, μὴ τούτους εἶναι θεούς, ἀλλὰ τὸν ἐσταυρωμένον, ὅν, πάνυ καλῶς ποιήσαντες οἱ Γαλιλαῖοι ἐκεῖνοι, ὡς ἀγύρτην, καὶ πλάνον, καὶ στασιαστήν, ἀτίμῳ θανάτῳ κρίναντες ἄξιον, παρέδωκαν ἵνα σταυρωθῇ; τοῦτον λοιπὸν κηρύττων ὡς Θεόν, πῶς οὐκ αἰσχύνῃ; ἀναιδέστατε;



**Δημηγορία ἐξαίρετος τοῦ Ναχώρ, μᾶλλον δὲ τῆς χάριτος· ἐν ᾗ στηλιτεύεται ἡ πλάνη τῶν εἰδωλομανούντων, καταγγέλλεται δὲ ἡ εὐαγὴς ἡμῶν θρησκεία.**

Ὑπολαβὼν δὲ ὁ Ναχώρ, τὸν μὲν ῥήτορα ἐκεῖνον οὐδόλως ἀποκρίσεως ἠξίωσε. Κατασείσας δὲ τῇ χειρὶ τὸ πλῆθος σιγᾷν, ἀνοίξας τὸ στόμα αὐτοῦ, καθάπερ ὁ τοῦ Βαλαὰμ ὄνος, ἃ οὐ προέθετο εἰπεῖν, ἐκεῖνα λελάληκε, καί φησι πρὸς τὸν βασιλέα· ἐγώ, βασιλεῦ, προνοίᾳ Θεοῦ ἦλθον εἰς τὸν κόσμον· καὶ θεωρήσας τὸν οὐρανόν, γῆν καὶ θάλασσαν, ἥλιον καὶ σελήνην, καὶ τὰ λοιπά, ἐθαύμασα τὴν διακόσμησιν τούτων· ἰδὼν δὲ τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ πάντα, ὅτι κατὰ ἀνάγκην κινεῖται, συνῆκα τὸν κινοῦντα καὶ διακρατοῦντα εἶναι Θεόν· πᾶν γὰρ τὸ κινοῦν, ἰσχυρότερον τοῦ κινουμένου· καὶ τὸ διακρατοῦν, ἰσχυρότερον τοῦ διακρατουμένου ἐστίν. Αὐτὸν οὖν εἶναι λέγω Θεόν, τὸν συστησάμενον τὰ πάντα, καὶ διακρατοῦντα, ἄναρχον καὶ ἀΐδιον, ἀθάνατον καὶ ἀπροσδεῆ, ἀνώτερον πάντων τῶν παθῶν καὶ ἐλαττωμάτων, ὀργῆς τε καὶ λήθης καὶ ἀγνοίας, καὶ τῶν λοιπῶν· δι' αὐτοῦ δὲ τὰ πάντα συνέστηκεν· οὐ χρῄζει θυσίας καὶ σπονδῶν, οὐδέ τινος πάντων τῶν φαινομένων· πάντες δὲ αὐτοῦ χρῄζουσι. Τούτων δὲ οὕτως εἰρημένων περὶ Θεοῦ, καθὼς ἐμὲ ἐχώρησε περὶ αὐτοῦ λέγειν, ἔλθωμεν καὶ ἐπὶ τὸ ἀνθρώπινον γένος, ὅπως ἴδωμεν, τίνες αὐτῶν μετέχουσι τῆς ἀληθείας, καὶ τίνες τῆς πλάνης. Φανερὸν γάρ ἐστιν ἡμῖν, ὦ βασιλεῦ, ὅτι τρία γένη εἰσὶν ἐν τῷδε τῷ κόσμῳ, ὧν εἰσιν οἱ τῶν παρ' ὑμῶν λεγομένων θεῶν προσκυνηταί, καὶ Ἰουδαῖοι, καὶ Χριστιανοί· αὐτοὶ δὲ πάλιν οἱ τοὺς πολλοὺς σεβόμενοι θεούς, εἰς τρία διαιροῦνται γένη, Χαλδαίους τε καὶ Ἕλληνας, καὶ Αἰγυπτίους· οὗτοι γὰρ γεγόνασιν ἀρχηγοὶ καὶ διδάσκαλοι τοῖς λοιποῖς ἔθνεσι, τῆς τῶν πολυωνύμων θεῶν λατρείας καὶ προσκυνήσεως. Ἴδωμεν οὖν τίνες τούτων μετέχουσι τῆς ἀληθείας, καὶ τίνες τῆς πλάνης.

Οἱ μὲν γὰρ Χαλδαῖοι, μὴ εἰδότες Θεόν, ἐπλανήθησαν ὀπίσω τῶν στοιχείων, καὶ ἤρξαντο σέβεσθαι τὴν κτίσιν παρὰ τὸν κτίσαντα αὐτούς· ὧν καὶ μορφώματά τινα ποιήσαντες, ὠνόμασαν ἐκτυπώματα οὐρανοῦ τε καὶ γῆς, καὶ τῆς θαλάσσης, ἡλίου τε καὶ σελήνης, καὶ τῶν λοιπῶν στοιχείων, καὶ φωστήρων. Καὶ συγκλείσαντες ναοῖς, προσκυνοῦσι, θεοὺς καλοῦντες, οὓς καὶ τηροῦσιν ἀσφαλῶς, ἵνα μὴ κλαπῶσιν ὑπὸ λῃστῶν· καὶ οὐ συνῆκαν, ὅτι πᾶν τὸ τηροῦν, μεῖζον τοῦ τηρουμένου ἐστί, καὶ ὁ ποιῶν, μείζων τοῦ ποιουμένου ἐστίν· εἰ γὰρ ἀδυνατοῦσιν οἱ θεοὶ αὐτῶν περὶ τῆς ἰδίας σωτηρίας, πῶς ἄλλοις σωτηρίαν χαρί-

www.tezaurliturgic.ro



σονται; Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, σεβόμενοι ἀγάλματα νεκρὰ καὶ ἀνωφελῆ· καὶ θαυμάζειν μοι ἐπέρχεται, ὦ βασιλεῦ, πῶς οἱ λεγόμενοι φιλόσοφοι αὐτῶν οὐδόλως συνῆκαν, ὅτι καὶ αὐτὰ τὰ στοιχεῖα φθαρτά ἐστι, καὶ ὑποτασσόμενα κατὰ ἀνάγκην· πῶς οὖν εἰσι θεοί; εἰ δὲ τὰ στοιχεῖα οὐκ εἰσὶ θεοί, πῶς τὰ ἀγάλματα, ἃ γέγονεν εἰς τιμὴν αὐτῶν, θεοὶ ὑπάρχουσιν; Ἔλθωμεν οὖν, ὦ βασιλεῦ, ἐπ' αὐτὰ τὰ στοιχεῖα, ὅπως ἀποδείξωμεν περὶ αὐτῶν, ὅτι οὐκ εἰσὶ θεοί, ἀλλὰ φθαρτὰ καὶ ἀλλοιούμενα, ἐκ τοῦ μὴ ὄντος παραχθέντα προστάγματι τοῦ ὄντως Θεοῦ· ὅς ἐστιν ἄφθαρτός τε καὶ ἀναλλοίωτος, καὶ ἀόρατος· αὐτὸς δὲ πάντα ὁρᾷ, καὶ καθὼς βούλεται ἀλλοιοῖ καὶ μεταβάλλει. Τί οὖν λέγω περὶ τῶν στοιχείων; οἱ νομίζοντες τὸν οὐρανὸν εἶναι Θεόν, πλανῶνται· ὁρῶμεν γὰρ αὐτὸν τρεπόμενον, καὶ κατ' ἀνάγκην κινούμενον, καὶ ἐκ πολλῶν συνεστῶτα, διὸ καὶ κόσμος καλεῖται· κόσμος δέ, κατασκευή ἐστί τινος τεχνίτου· τὸ κατασκευασθὲν δέ, ἀρχὴν καὶ τέλος ἔχει· κινεῖται δὲ ὁ οὐρανὸς κατὰ ἀνάγκην σὺν τοῖς αὐτοῦ φωστῆρσι· τὰ γὰρ ἄστρα, τάξει καὶ διαστήματι φερόμενα ἀπὸ σημείου εἰς σημεῖον, οἱ μὲν δύνουσιν, οἱ δὲ ἀνατέλλουσι· καὶ κατὰ καιροὺς πορείαν ποιοῦνται, τοῦ ἀποτελεῖν θέρη, καὶ χειμῶνας, καθὼς ἐπιτέτακται αὐτοῖς παρὰ τοῦ Θεοῦ· καὶ οὐ παραβαίνουσι τοὺς ἰδίους ὅρους, κατ' ἀπαραίτητον φύσεως ἀνάγκην σὺν τῷ οὐρανίῳ κόσμῳ. Ὅθεν φανερόν ἐστι μὴ εἶναι τὸν οὐρανὸν θεόν, ἀλλ' ἔργον Θεοῦ.

Οἱ δὲ νομίζοντες τὴν γῆν εἶναι θεάν, ἐπλανήθησαν· ὁρῶμεν γὰρ αὐτὴν ὑπὸ τῶν ἀνθρώπων ὑβριζομένην καὶ κατακυριευομένην, σκαπτομένην καὶ φυρομένην, καὶ ἄχρηστον γινομένην· ἐὰν γὰρ ὀπτηθῇ, γίνεται νεκρά, καθότι ἐκ τοῦ ὀστράκου φύεται οὐδέν· ἔτι δέ, καὶ ἐὰν ἐπὶ πλέον βραχῇ, φθείρεται καὶ αὐτή, καὶ οἱ καρποὶ αὐτῆς· καταπατεῖται δὲ ὑπό τε ἀνθρώπων καὶ τῶν λοιπῶν ζώων· αἵμασι φονευομένων μιαίνεται· διορύσσεται· γεμίζεται· νεκρῶν θήκη γίνεται σωμάτων. Τούτων οὕτως ἐχόντων, οὐκ ἐνδέχεται τὴν γῆν εἶναι θεάν, ἀλλ' ἔργον Θεοῦ, εἰς χρῆσιν ἀνθρώπων. Οἱ δὲ νομίζοντες τὸ ὕδωρ εἶναι θεόν, ἐπλανήθησαν· καὶ αὐτὸ γὰρ εἰς χρῆσιν ἀνθρώπων γέγονε, καὶ κατακυριεύεται ὑπ' αὐτῶν, μιαίνεται, καὶ φθείρεται, καὶ ἀλλοιοῦται· ἑψόμενον καὶ ἀλλασσόμενον χρώμασι, καὶ ὑπὸ τοῦ κρύους πηγνύμενον, καὶ αἵμασι μολυνόμενον, καὶ εἰς πάντων τῶν ἀκαθάρτων πλύσιν ἀγόμενον. Διὸ ἀδύνατον τὸ ὕδωρ εἶναι θεόν, ἀλλ' ἔργον Θεοῦ. Οἱ δὲ νομίζοντες τὸ πῦρ εἶναι θεόν, πλανῶνται· τὸ γὰρ πῦρ ἐγένετο εἰς χρῆσιν ἀνθρώπων, καὶ κατακυριεύεται ὑπ' αὐτῶν, περιφερόμενον ἐκ τόπου εἰς τόπον· εἰς ἕψησιν καὶ ὄπτησιν παντοδαπῶν κρεῶν, ἔτι δὲ καὶ νεκρῶν



σωμάτων· φθείρεται δὲ καὶ κατὰ πολλοὺς τρόπους, ὑπὸ τῶν ἀνθρώπων σβεννύμενον. Διὸ οὐκ ἐνδέχεται τὸ πῦρ εἶναι θεόν, ἀλλ' ἔργον Θεοῦ. Οἱ δὲ νομίζοντες τὴν τῶν ἀνέμων πνοὴν εἶναι θεάν, πλανῶνται· φανερὸν γάρ ἐστιν, ὅτι δουλεύει ἑτέρῳ· καὶ χάριν τῶν ἀνθρώπων κατεσκεύασται ὑπὸ τοῦ Θεοῦ, πρὸς μεταγωγὴν πλοίων, καὶ συγκομιδὰς τῶν σιτίων, καὶ εἰς λοιπὰς αὐτῶν χρείας· αὔξει τε καὶ λήγει κατ' ἐπιταγὴν Θεοῦ. Διὸ οὐκ ἐνδέχεται τὴν τῶν ἀνέμων πνοὴν εἶναι θεάν, ἀλλ' ἔργον Θεοῦ.

Οἱ δὲ νομίζοντες τὸν ἥλιον εἶναι θεόν, πλανῶνται· ὁρῶμεν γὰρ αὐτὸν κινούμενον κατὰ ἀνάγκην, καὶ τρεπόμενον, καὶ μεταβαίνοντα ἀπὸ σημείου εἰς σημεῖον· δύνοντα καὶ ἀνατέλλοντα, τοῦ θερμαίνειν τὰ βλαστάνοντα φυτὰ εἰς χρῆσιν τῶν ἀνθρώπων· ἔτι δὲ καὶ μερισμοὺς ἔχοντα μετὰ τῶν λοιπῶν ἀστέρων, καὶ ἐλάττονα ὄντα τοῦ οὐρανοῦ πολύ, καὶ ἐκλείποντα τοῦ φωτός, καὶ μηδεμίαν αὐτοκράτειαν ἔχοντα. Διὸ οὐ νενόμισται τὸν ἥλιον εἶναι θεόν, ἀλλ' ἔργον Θεοῦ. Οἱ δὲ νομίζοντες τὴν σελήνην εἶναι θεάν, πλανῶνται· ὁρῶμεν γὰρ αὐτὴν κινουμένην κατὰ ἀνάγκην, καὶ τρεπομένην, καὶ μεταβαίνουσαν ἀπὸ σημείου εἰς σημεῖον, δύνουσάν τε καὶ ἀνατέλλουσαν εἰς χρείαν τῶν ἀνθρώπων, καὶ ἐλάττονα οὖσαν τοῦ ἡλίου, αὐξουμένην τε καὶ μειουμένην, καὶ ἐκλείψεις ἔχουσαν. Διὸ οὐκ ὀφειλόμενόν ἐστι τὴν σελήνην εἶναι θεάν, ἀλλ' ἔργον Θεοῦ. Οἱ δὲ νομίζοντες τὸν ἄνθρωπον εἶναι θεόν, πλανῶνται· ὁρῶμεν γὰρ αὐτὸν κινούμενον κατά ἀνάγκην, καὶ τρεφόμενον, γηράσκοντα καὶ μὴ θέλοντος αὐτοῦ· καὶ ποτὲ μὲν χαίρει, ποτὲ δὲ λυπεῖται· δεόμενος βρώματος, καὶ ποτοῦ, καὶ ἐσθῆτος· εἶναι δὲ αὐτὸν ὀργίλον, καὶ ζηλωτήν, καὶ ἐπιθυμητήν, καὶ μεταμελλόμενον, καὶ ἐλαττώματα πολλὰ ἔχοντα· φθείρεται δὲ καὶ κατὰ πολλοὺς τρόπους, ὑπὸ στοιχείων, καὶ ζώων, καὶ τοῦ ἐπικειμένου αὐτῷ θανάτου. Οὐκ ἐνδέχεται οὖν τὸν ἄνθρωπον εἶναι θεόν, ἀλλ' ἔργον Θεοῦ. Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἱ Χαλδαῖοι, ὀπίσω τῶν ἐπιθυμιῶν αὐτῶν· σέβονται γὰρ τὰ φθαρτὰ στοιχεῖα, καὶ τὰ νεκρὰ ἀγάλματα, καὶ οὐκ αἰσθάνονται ταῦτα θεοποιούμενοι.

Ἔλθωμεν οὖν καὶ ἐπὶ τοὺς Ἕλληνας, ἵνα ἴδωμεν τίνα ἄρα φρονοῦσι περὶ Θεοῦ. Οἱ οὖν Ἕλληνες, σοφοὶ εἶναι λέγοντες, ἐμωράνθησαν χεῖρον τῶν Χαλδαίων, παρεισάγοντες θεοὺς πολλοὺς γεγενῆσθαι, τοὺς μὲν ἄῤῥενας, τοὺς δὲ θηλείας, παντοίων παθῶν, καὶ παντοδαπῶν δημιουργοὺς ἀνομημάτων. Ὅθεν γελοῖα καὶ μωρὰ καὶ ἀσεβῆ παρεισήγαγον Ἕλληνες, βασιλεῦ, ῥήματα, τοὺς μὴ ὄντας προσαγορεύοντες θεούς, κατὰ τὰς ἐπιθυμίας αὐτῶν τὰς πονηράς, ἵνα τού-

www.tezaurliturgic.ro



τους συνηγόρους ἔχοντες τῆς κακίας, μοιχεύωσιν, ἁρπάζωσι, φονεύωσι, καὶ τὰ πάνδεινα ποιῶσιν· εἰ γὰρ οἱ θεοὶ αὐτῶν τοιαῦτα ἐποίησαν, πῶς καὶ αὐτοὶ οὐ τοιαῦτα πράξουσιν; Ἐκ τούτων οὖν τῶν ἐπιτηδευμάτων τῆς πλάνης, συνέβη τοῖς ἀνθρώποις, πολέμους ἔχειν συχνούς, καὶ σφαγάς, καὶ αἰχμαλωσίας πικράς. Ἀλλὰ καὶ καθ' ἕκαστον τῶν θεῶν αὐτῶν, εἰ θελήσομεν ἐπεξελθεῖν τῷ λόγῳ, πολλὴν ὄψει, βασιλεῦ, τὴν ἀτοπίαν. Παρεισάγεται γὰρ αὐτοῖς πρὸ πάντων θεὸς Κρόνος, καὶ τούτῳ θύουσι τὰ ἴδια τέκνα· ὃς ἔσχε παῖδας πολλοὺς ἐκ τῆς Ῥέας· καὶ μανείς, τὰ ἴδια τέκνα ἤσθιε. Φασὶ δὲ τὸν Δία κόψαι αὐτοῦ τὰ ἀναγκαῖα, καὶ βαλεῖν εἰς τὴν θάλασσαν, ὅθεν Ἀφροδίτη μυθεύεται γεννᾶσθαι. Δήσας οὖν τὸν ἴδιον πατέρα ὁ Ζεῦς, ἔβαλεν εἰς τὸν τάρταρον. Ὁρᾷς τὴν πλάνην αὐτῶν καὶ ἀσέλγειαν, ἣν παρεισάγουσι κατὰ τοῦ Θεοῦ αὐτῶν; ἐνδέχεται οὖν θεὸν εἶναι δέσμιον καὶ ἀπόκοπον; ὢ τῆς ἀνοίας! τίς τῶν νοῦν ἐχόντων ταῦτα φήσειε; Δεύτερος παρεισάγεται ὁ Ζεύς, ὃν φασὶ βασιλεῦσαι τῶν θεῶν αὐτῶν, καὶ μεταμορφοῦσθαι εἰς ζῶα, ὅπως μοιχεύσῃ θνητὰς γυναῖκας. Παρεισάγουσι γὰρ τοῦτον μεταμορφούμενον εἰς ταῦρον πρὸς Εὐρώπην· καὶ εἰς χρυσὸν πρὸς Δανάην· καὶ εἰς κύκνον πρὸς Λύδαν· καὶ εἰς σάτυρον πρὸς Ἀντιόπην· καὶ εἰς κεραυνὸν πρὸς Σεμέλην· εἶτα γενέσθαι τέκνα πολλά, Διόνυσον, καὶ Ζῆθον, καὶ Ἀμφίονα, καὶ Ἡρακλῆν, καὶ Ἀπόλλωνα, καὶ Ἄρτεμιν, καὶ Περσέα, Κάστορά τε καὶ Ἑλένην, καὶ Πολυδεύκην, καὶ Μίνωα, καὶ Ῥαδάμανθυν, καὶ Σαρπηδόνα, καὶ τὰς ἐννέα θυγατέρας, ἃς προσηγόρευσαν Μούσας. Εἶθ' οὕτω παρεισάγουσι τὰ κατὰ τὸν Γανυμήδην.

Συνέβη οὖν, βασιλεῦ, τοῖς ἀνθρώποις μιμεῖσθαι ταῦτα πάντα, καὶ γίνεσθαι μοιχούς, καὶ ἀρρενομανεῖς, καὶ ἄλλων δεινῶν ἔργων ἐργάτας, κατὰ μίμησιν τοῦ Θεοῦ αὐτῶν. Πῶς οὖν ἐνδέχεται θεὸν εἶναι μοιχόν, ἢ ἀνδροβάτην, ἢ πατροκτόνον; Σὺν τούτῳ δὲ καὶ Ἥφαιστόν τινα παρεισάγουσι θεὸν εἶναι, καὶ τοῦτον χωλόν, κρατοῦντα σφύραν καὶ πυράλαβον, καὶ χαλκεύοντα χάριν τροφῆς. Ἆρ' οὖν ἐπενδεής ἐστιν, ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι χωλόν, οὐδὲ προσδεόμενον ἀνθρώπων. Εἶτα τὸν Ἑρμῆν παρεισάγουσι θεὸν εἶναι, ἐπιθυμητήν, καὶ πλεονέκτην, καὶ κλέπτην, καὶ μάγον, καὶ κυλλόν, καὶ λόγων ἑρμηνευτήν· ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι τοιοῦτον. Τὸν δὲ Ἀσκληπιὸν παρεισάγουσι θεὸν εἶναι, ἰατρὸν ὄντα, καὶ κατασκευάζοντα φάρμακα, καὶ σύνθεσιν ἐμπλάστρων, χάριν τροφῆς· ἐπιδεὴς γὰρ ἦν· ὕστερον δὲ κεραυνοῦσθαι αὐτὸν ὑπὸ τοῦ Διός, διὰ Τυνδάρεων Λακεδαίμονος υἱόν, καὶ ἀποθανεῖν. Εἰ δὲ Ἀσκληπιός, θεὸς ὤν, καὶ κεραυνωθείς, οὐκ ἠδυ-



νήθη ἑαυτῷ βοηθῆσαι, πῶς ἄλλοις βοηθήσει; Ἄρης δὲ παρεισάγεται θεὸς εἶναι, πολεμιστὴς καὶ ζηλωτής, ἐπιθυμητὴς θρεμμάτων, καὶ ἑτέρων τινῶν· ὕστερον δὲ αὐτὸν μοιχεύοντα τὴν Ἀφροδίτην δεθῆναι αὐτὸν ὑπὸ τοῦ νηπίου Ἔρωτος, καὶ ὑπὸ τοῦ Ἡφαίστου. Πῶς οὖν θεὸς ἦν ὁ ἐπιθυμητής, καὶ πολεμιστής, καὶ δέσμιος, καὶ μοιχός; Τὸν δὲ Διόνυσον παρεισάγουσι θεὸν εἶναι, νυκτερινὰς ἄγοντα ἑορτάς, καὶ διδάσκαλον μέθης, καὶ ἀποσπῶντα τὰς τῶν πλησίον γυναῖκας, καὶ μαινόμενον, καὶ φεύγοντα, ὕστερον δὲ αὐτὸν σφαγῆναι ὑπὸ τῶν Τιτάνων. Εἰ οὖν Διόνυσος σφαγεὶς οὐκ ἠδυνήθη ἑαυτῷ βοηθῆσαι, ἀλλὰ καὶ μαινόμενος ἦν, καὶ μέθυσος, καὶ δραπέτης, πῶς ἂν εἴη θεός;

Τὸν δὲ Ἡρακλῆν παρεισάγουσι θεὸν εἶναι, μεθυσθῆναί τε καὶ μανῆναι, καὶ τὰ ἴδια τέκνα σφάξαι, εἶτα πυρὶ ἀναλωθῆναι, καὶ οὕτως ἀποθανεῖν. Πῶς δ' ἂν εἴη θεός, μέθυσος καὶ τεκνοκτόνος καὶ κατακαιόμενος; ἢ πῶς ἄλλοις βοηθήσει, ὁ ἑαυτὸν βοηθῆσαι μὴ δυνάμενος; Τὸν δὲ Ἀπόλλωνα παρεισάγουσι θεὸν εἶναι ζηλωτήν· ἔτι δὲ τόξον καὶ φαρέτραν κρατοῦντα, ποτὲ δὲ κιθάραν καὶ ἐπαυθίδα, καὶ μαντευόμενον τοῖς ἀνθρώποις χάριν μισθοῦ. Ἆρα ἐπενδεής ἐστιν, ὅπερ οὐκ ἐνδέχεται θεὸν εἶναι ἐνδεῆ, καὶ ζηλωτήν, καὶ κιθαρῳδόν. Ἄρτεμιν δὲ παρεισάγουσιν ἀδελφὴν αὐτοῦ εἶναι, κυνηγὸν οὖσαν, καὶ τόξον ἔχειν μετὰ φαρέτρας, καὶ ταύτην ῥέμβεσθαι κατὰ τῶν ὀρέων μόνην μετὰ τῶν κυνῶν, ὅπως θηρεύσῃ ἔλαφον, ἢ κάπρον. Πῶς οὖν ἔσται θεὸς ἡ τοιαύτη; Ἀφροδίτην δὲ λέγουσι καὶ αὐτὴν θεὰν εἶναι μοιχαλίδα, καὶ ποτὲ μὲν ἔσχε μοιχὸν τὸν Ἄρην, ποτὲ δὲ Ἀγχίσην, ποτὲ δὲ Ἄδωνιν· οὗτινος καὶ τὸν θάνατον κλαίει, ζητοῦσα τὸν ἐραστὴν αὐτῆς· ἣν λέγουσι καὶ εἰς ᾅδου καταβαίνειν ὅπως ἐξαγοράσῃ τὸν Ἄδωνιν ἀπὸ τῆς Περσεφόνης. Εἶδες, ὦ βασιλεῦ, μείζονα ταύτης ἀφροσύνην, θεὰν παρεισάγειν τὴν μοιχεύουσαν, καὶ θρηνοῦσαν, καὶ κλαίουσαν; Ἄδωνιν δὲ παρεισάγουσι θεὸν εἶναι κυνηγόν, καὶ τοῦτον βιαίως ἀποθανεῖν, πληγέντα ὑπὸ τοῦ υἱοῦ, καὶ μὴ δυνηθέντα βοηθῆσαι τῇ ταλαιπωρίᾳ ἑαυτοῦ. Πῶς οὖν τῶν ἀνθρώπων φροντίδα ποιήσεται ὁ μοιχὸς καὶ κυνηγὸς καὶ βιαιοθάνατος; Ταῦτα πάντα, καὶ ἄλλα τοιαῦτα, καὶ πολλῷ πλεῖον αἰσχρότερα καὶ πονηρὰ παρεισήγαγον οἱ Ἕλληνες, ὦ βασιλεῦ, περὶ τῶν θεῶν αὐτῶν, ἃ οὔτε λέγειν θέμις, οὔτ' ἐπὶ μνήμης ὅλως φέρειν. Ὅθεν λαμβάνοντες οἱ ἄνθρωποι ἀφορμὴν ἀπὸ τῶν θεῶν αὐτῶν, ἔπραττον πᾶσαν ἀνομίαν καὶ ἀσέλγειαν καὶ ἀσέβειαν, καταμιαίνοντες γῆν τε καὶ ἀέρα, ταῖς δειναῖς αὐτῶν πράξεσιν.

Αἰγύπτιοι δὲ ἀβελτότεροι καὶ ἀφρονέστεροι τούτων ὄντες, χεῖρον πάντων τῶν ἐθνῶν ἐπλανήθησαν· οὐ γὰρ ἠρκέσθησαν τοῖς τῶν Χαλ-

www.tezaurliturgic.ro



δαίων καὶ Ἑλλήνων σεβάσμασιν, ἀλλ᾽ ἔτι καὶ ἄλογα ζῶα παρεισή-
γαγον θεοὺς εἶναι, χερσαῖά τε καὶ ἔνυδρα, καὶ τὰ φυτὰ καὶ βλαστά·
καὶ ἐμιάνθησαν ἐν πάσῃ μανίᾳ καὶ ἀσελγείᾳ, χεῖρον πάντων τῶν ἐ-
θνῶν τῶν ἐπὶ γῆς· ἀρχῆθεν γὰρ ἐσέβοντο τὴν Ἶσιν, ἔχουσαν ἀδελ-
φὸν τὸν Ὄσιριν, τὸν σφαγέντα ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Τυφῶνος· καὶ
διὰ τοῦτο φεύγει ἡ Ἶσις μετὰ Ὥρου τοῦ υἱοῦ αὐτῆς εἰς Βύϐλον τῆς
Συρίας, ζητοῦσα τὸν Ὄσιριν, καὶ πικρῶς θρηνοῦσα, ἕως ηὔξησεν ὁ Ὦ-
ρος, καὶ ἀπέκτεινε τὸν Τυφῶνα. Οὔτε οὖν ἡ Ἶσις ἴσχυσε βοηθῆσαι
τὸν ἴδιον ἄνδρα, οὔτε ὁ Ὄσιρις σφαζόμενος ὑπὸ Τυφῶνος ἠδυνήθη
ἀντιλαβέσθαι ἑαυτοῦ, οὔτε Τύφων ὁ ἀδελφοκτόνος, ἀπολλύμενος ὑπὸ
τοῦ Ὥρου καὶ τῆς Ἴσιδος, εὐπόρησε ῥύσασθαι ἑαυτὸν τοῦ θανάτου·
καὶ ἐπὶ τοιούτοις ἀτυχήμασι γνωρισθέντων αὐτῶν, θεοὶ ὑπὸ τῶν ἀσυ-
νέτων Αἰγυπτίων ἐνομίσθησαν· οἵτινες μηδὲ ἐν τούτοις ἀρκεσθέντες,
ἢ τοῖς λοιποῖς σεβάσμασι τῶν ἐθνῶν, καὶ τὰ ἄλογα ζῶα παρεισήγα-
γον θεοὺς εἶναι· τινὲς γὰρ αὐτῶν ἐσεβάσθησαν πρόβατον, τινὲς δὲ
τράγον, ἕτεροι δὲ μόσχον, καὶ τὸν χοῖρον, ἄλλοι δὲ τὸν κόρακα, καὶ
τὸν ἱέρακα, καὶ τὸν γῦπα, καὶ τὸν ἀετόν, καὶ ἄλλοι τὸν κροκόδειλον,
καὶ τὸν πίθηκα· τινὲς δὲ αἴλουρον, καὶ κύνα, καὶ τὸν λύκον, καὶ δρά-
κοντα, καὶ τὴν ἀσπίδα· καὶ ἄλλοι τὸ κρόμμυον, καὶ τὸ σκόροδον, καὶ
τὴν ἄκανθαν, καὶ τὰ λοιπὰ κτίσματα· καὶ οὐκ ᾐσθάνοντο οἱ ταλαίπω-
ροι περὶ πάντων τούτων, ὅτι οὐδὲν ἰσχύουσιν· ὁρῶντες γὰρ τοὺς θεοὺς
αὐτῶν βιϐρωσκομένους ὑπὸ ἑτέρων ἀνθρώπων, καιομένους, σφαττομέ-
νους, καὶ σηπομένους, οὐ συνῆκαν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοί.

Πλάνην οὖν μεγάλην ἐπλανήθησαν οἵ τε Αἰγύπτιοι, καὶ οἱ Χαλ-
δαῖοι, καὶ Ἕλληνες, τοιούτους παρεισάγοντες θεούς, καὶ ἀγάλματα
αὐτῶν ποιοῦντες, καὶ θεοποιούμενοι τὰ κωφὰ καὶ ἀναίσθητα εἴδωλα.
Καὶ θαυμάζω πῶς ὁρῶντες τοὺς θεοὺς αὐτῶν ὑπὸ τῶν δημιουργῶν
αὐτῶν πριζομένους, καὶ πελεκωμένους, καὶ κολοϐωμένους, παλαιουμέ-
νους τε ὑπὸ τοῦ χρόνου, καὶ ἀλλοιουμένους, καὶ χωνευομένους, οὐκ
ἐφρόνησαν περὶ αὐτῶν ὅτι οὐκ εἰσὶ θεοί· ὅτε γὰρ περὶ τῆς ἑαυτῶν σω-
τηρίας οὐδὲν ἰσχύουσι, πῶς τῶν ἀνθρώπων πρόνοιαν ποιήσονται; Ἀλ-
λ᾽ οἱ ποιηταὶ αὐτῶν καὶ φιλόσοφοι τῶν τε Χαλδαίων καὶ Ἑλλήνων,
καὶ Αἰγυπτίων, θελήσαντες τοῖς ποιήμασιν αὐτῶν καὶ συγγραφαῖς σε-
μνῦναι τοὺς παρ᾽ αὐτῶν θεούς, μειζόνως τὴν αἰσχύνην αὐτῶν ἐξεκά-
λυψαν, καὶ γυμνὴν πᾶσι προὔθηκαν. Εἰ γὰρ τὸ σῶμα τοῦ ἀνθρώπου
πολυμερὲς ὄν, οὐκ ἀποϐάλλεταί τι τῶν ἰδίων μελῶν, ἀλλὰ πρὸς πάντα
τὰ μέλη ἀδιάῤῥηκτον ἕνωσιν ἔχον, ἑαυτῷ ἐστι σύμφωνον, πῶς ἐν φύ-
σει θεοῦ μάχη καὶ διαφωνία τοσαύτη ἔσται; εἰ γὰρ μία φύσις τῶν



θεῶν ὑπῆρχεν, οὐκ ὤφειλε θεὸς θεὸν διώκειν, οὔτε σφάζειν, οὔτε κακο-
ποιεῖν· εἰ δὲ οἱ θεοὶ ὑπὸ θεῶν ἐδιώχθησαν, καὶ ἐσφάγησαν, καὶ ἡρπά-
γησαν, καὶ ἐκεραυνώθησαν, οὐκ ἔτι μία φύσις ἐστίν, ἀλλὰ γνῶμαι διῃ-
ρημέναι, πᾶσαι κακοποιοί· ὥστε οὐδεὶς ἐξ αὐτῶν ἐστι θεός.

Φανερὸν οὖν, ὦ βασιλεῦ, πλάνην εἶναι πᾶσαν τὴν περὶ τῶν θεῶν
φυσιολογίαν. Πῶς δὲ οὐ συνῆκαν οἱ σοφοὶ καὶ λόγιοι τῶν Ἑλλήνων,
ὅτι νόμους θέμενοι, κρίνονται ὑπὸ τῶν ἰδίων νόμων; εἰ γὰρ οἱ νόμοι
δίκαιοί εἰσιν, ἄδικοι πάντως οἱ θεοὶ αὐτῶν εἰσι, παράνομα ποιήσαντες,
ἀλληλοκτονίας, καὶ φαρμακείας, καὶ μοιχείας, καὶ κλοπάς, καὶ ἀρ-
σενοκοιτίας· εἰ δὲ καλῶς ἔπραξαν ταῦτα, οἱ νόμοι ἄρα ἄδικοί εἰσι κατὰ
τῶν θεῶν συντεθέντες. Νυνὶ δὲ οἱ νόμοι καλοί εἰσι καὶ δίκαιοι, τὰ
καλὰ ἐπαινοῦντες, καὶ τὰ κακὰ ἀπαγορεύοντες· τὰ δὲ ἔργα τῶν θεῶν
αὐτῶν παράνομα, παράνομοι ἄρα οἱ θεοί, καὶ ἔνοχοι πάντες θανάτου,
καὶ ἀσεβεῖς οἱ τοιούτους θεοὺς παρεισάγοντες. Εἰ μὲν γὰρ μυθικαὶ αἱ
περὶ αὐτῶν ἱστορίαι, οὐδέν εἰσιν, εἰ μὴ μόνον λόγοι. Εἰ δὲ φυσικαί,
οὐκ ἔτι θεοί εἰσιν οἱ ταῦτα ποιήσαντες καὶ παθόντες. Εἰ δὲ ἀλληγο-
ρικαί, μῦθοι εἰσί, καὶ οὐκ ἄλλο τι. Ἀποδέδεικται τοίνυν, ὦ βασιλεῦ,
ταῦτα πάντα τὰ πολύθεα σεβάσματα, πλάνης ἔργα, καὶ ἀπωλείας ὑ-
πάρχειν· οὐ χρὴ γὰρ θεοὺς ὀνομάζειν ὁρατοὺς καὶ μὴ ὁρῶντας, ἀλλὰ
τὸν ἀόρατον καὶ πάντα ὁρῶντα, καὶ πάντας δημιουργήσαντα, δεῖ Θεὸν
σέβεσθαι. Ἔλθωμεν οὖν, βασιλεῦ, καὶ ἐπὶ τοὺς Ἰουδαίους, ὅπως ἴδω-
μεν τί φρονοῦσι καὶ αὐτοὶ περὶ Θεοῦ. Οὗτοι γὰρ τοῦ Ἀϐραὰμ ὄντες
ἀπόγονοι, Ἰσαάκ τε, καὶ Ἰακώϐ, παρῴκησαν εἰς Αἴγυπτον· ἐξήγαγε
δὲ αὐτοὺς ὁ Θεὸς ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, διὰ
Μωϋσέως τοῦ νομοθέτου αὐτῶν, καὶ τέρασι πολλοῖς καὶ σημείοις ἐ-
γνώρισεν αὐτοῖς τὴν ἑαυτοῦ δύναμιν· ἀλλ᾽ ἀγνώμονες καὶ αὐτοὶ φα-
νέντες καὶ ἀχάριστοι, πολλάκις ἐλάτρευσαν τοῖς τῶν ἐθνῶν σεβά-
σμασι· καὶ τοὺς ἀπεσταλμένους πρὸς αὐτοὺς προφήτας καὶ δικαίους
ἀπέκτειναν. Εἶτα ὡς εὐδόκησεν ὁ Υἱὸς τοῦ Θεοῦ ἐλθεῖν ἐπὶ τῆς γῆς,
ἐμπαροινίσαντες εἰς αὐτόν, προέδωκαν Πιλάτῳ τῷ ἡγεμόνι τῶν Ῥω-
μαίων, καὶ σταυρῷ κατεδίκασαν, μὴ αἰδεσθέντες τὰς εὐεργεσίας αὐτοῦ,
καὶ τὰ ἀναρίθμητα θαύματα, ἅπερ ἐν αὐτοῖς εἰργάσατο, καὶ ἀπώλοντο
τῇ ἰδίᾳ παρανομίᾳ, σέβονται γὰρ καὶ νῦν τὸν Θεὸν μόνον Παντοκρά-
τορα, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν· τὸν γὰρ Χριστὸν ἀρνοῦνται τὸν Υἱὸν
τοῦ Θεοῦ, καί εἰσι παράνομοι τοῖς ἔθνεσι, κἂν ἐγγίζειν πως τῇ ἀλη-
θείᾳ δοκοῦσιν, ἧς ἑαυτοὺς ἐμάκρυναν. Ταῦτα περὶ τῶν Ἰουδαίων.

Οἱ δὲ χριστιανοὶ γενεαλογοῦνται ἀπὸ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.
Οὗτος δὲ Υἱὸς τοῦ Θεοῦ τοῦ Ὑψίστου ὡμολόγηται ἐν Πνεύματι ἁ-

www.tezaurliturgic.ro



γίῳ, ἀπὸ οὐρανοῦ καταβὰς διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων· καὶ ἐκ
Παρθένου ἁγίας γεννηθεὶς ἀσπόρως τε καὶ ἀφθόρως, σάρκα ἀνελάβετο,
καὶ ἀνεφάνη ἀνθρώποις, ὅπως ἐκ τῆς πολυθέου πλάνης αὐτοὺς ἀνα-
καλέσηται· καὶ τελέσας τὴν θαυμαστὴν αὐτοῦ οἰκονομίαν διὰ σταυροῦ,
θανάτου ἐγεύσατο ἑκουσίᾳ βουλῇ, κατ' οἰκονομίαν μεγάλην· μετὰ δὲ
τρεῖς ἡμέρας ἀνεβίω, καὶ εἰς οὐρανοὺς ἀνῆλθεν· οὗ τὸ κλέος τῆς πα-
ρουσίας, ἐκ τῆς παρ' αὐτοῖς καλουμένης ἁγίας καὶ εὐαγγελικῆς Γρα-
φῆς ἔξεστί σοι γνῶναι, βασιλεῦ, ἐὰν ἐντύχῃς. Οὗτος δώδεκα ἔσχε μα-
θητάς, οἵ, μετὰ τὴν ἐν οὐρανοῖς ἄνοδον αὐτοῦ, ἐξῆλθον εἰς τὰς ἐπαρ-
χίας τῆς οἰκουμένης, καὶ ἐδίδαξαν τὴν ἐκείνου μεγαλωσύνην, καθά-
περ εἷς ἐξ αὐτῶν τὰς καθ' ἡμᾶς περιῆλθε χώρας, τὰ δόγματα κηρύσ-
σων τῆς ἀληθείας. Ὅθεν οἱ εἰσέτι διακονοῦντες τῇ δικαιοσύνῃ τοῦ
κηρύγματος αὐτῶν, καλοῦνται χριστιανοί· καὶ οὗτοί εἰσιν οἱ ὑπὲρ
πάντα τὰ ἔθνη τῆς γῆς εὑρόντες τὴν ἀλήθειαν· γινώσκουσι γὰρ τὸν
Θεόν, κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων, ἐν Υἱῷ μονογενεῖ καὶ
Πνεύματι ἁγίῳ, καὶ ἄλλον Θεὸν πλὴν τούτου οὐ σέβονται. Ἔχουσι
δὲ τὰς ἐντολὰς αὐτοῦ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐν ταῖς καρδίαις ἐγ-
κεχαραγμένας, καὶ ταύτας φυλάττουσι, προσδοκῶντες ἀνάστασιν νε-
κρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Οὐ μοιχεύουσιν, οὐ πορνεύου-
σιν, οὐ ψευδομαρτυροῦσιν, οὐκ ἐπιθυμοῦσι τὰ ἀλλότρια· τιμῶσι πα-
τέρα καὶ μητέρα, καὶ τοὺς πλησίον φιλοῦσι· δίκαια κρίνουσιν· ὅσα οὐ
θέλουσιν αὐτοῖς γενέσθαι, ἑτέρῳ οὐ ποιοῦσι· τοὺς ἀδικοῦντας αὐτοὺς
παρακαλοῦσι, καὶ προσφιλεῖς ἑαυτοῖς ποιοῦσι· τοὺς ἐχθροὺς εὐεργε-
τεῖν σπουδάζουσι· πραεῖς εἰσι καὶ ἐπιεικεῖς· ἀπὸ πάσης συνουσίας ἀ-
νόμου, καὶ ἀπὸ πάσης ἀκαθαρσίας ἐγκρατεύονται· χήραν οὐχ ὑπερο-
ρῶσιν· ὀρφανὸν οὐ λυποῦσιν· ὁ ἔχων, τῷ μὴ ἔχοντι ἀφθόνως ἐπιχο-
ρηγεῖ· ξένον ἐὰν ἴδωσιν, ὑπὸ στέγην εἰσάγουσι, καὶ χαίρουσιν ἐπ' αὐτῷ,
ὡς ἐπὶ ἀδελφῷ ἀληθινῷ· οὐ γὰρ κατὰ σάρκα ἀδελφοὺς ἑαυτοὺς κα-
λοῦσιν, ἀλλὰ κατὰ ψυχήν· ἕτοιμοί εἰσιν ὑπὲρ Χριστοῦ, τὰς ψυχὰς αὐ-
τῶν προέσθαι· τὰ γὰρ προστάγματα αὐτοῦ ἀσφαλῶς φυλάττουσιν·
ὁσίως καὶ δικαίως ζῶσι, καθὼς Κύριος ὁ Θεὸς αὐτοῖς προσέταξεν, εὐ-
χαριστοῦντες αὐτῷ κατὰ πᾶσαν ὥραν, ἐν παντὶ βρώματι καὶ ποτῷ,
καὶ τοῖς λοιποῖς ἀγαθοῖς.

Ὄντως οὖν αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ἀληθείας, ἥτις τοὺς ὁδεύοντας
αὐτὴν εἰς τὴν αἰώνιον χειραγωγεῖ βασιλείαν, τὴν ἐπηγγελμένην παρὰ
Χριστοῦ ἐν τῇ μελλούσῃ ζωῇ. Καὶ ἵνα γνῷς, ὦ βασιλεῦ, ὅτι οὐκ ἀπ'
ἐμαυτοῦ ταῦτα λέγω, ταῖς Γραφαῖς ἐγκύψας τῶν χριστιανῶν, εὑρή-
σεις οὐδὲν ἔξωθεν τῆς ἀληθείας με λέγειν. Καλῶς οὖν συνῆκεν ὁ υἱός



σου, καὶ δικαίως ἐδιδάχθη τοῦ λατρεύειν Θεῷ ζῶντι, καὶ σωθῆναι εἰς
τὸν μέλλοντα αἰῶνα· μεγάλα γὰρ καὶ θαυμαστὰ τὰ ὑπὸ τῶν χριστια-
νῶν λεγόμενα καὶ πραττόμενα· οὐ γὰρ τὰ τῶν ἀνθρώπων ῥήματα λα-
λοῦσιν, ἀλλὰ τὰ τοῦ Θεοῦ. Τὰ δὲ λοιπὰ ἔθνη πλανῶνται, καὶ πλανῶ-
σιν ἑαυτούς· ὁδεύοντες γὰρ ἐν σκότει, προσρήσσονται ἑαυτοῖς ὡς με-
θύοντες. Ἕως ὧδε ὁ πρὸς σέ μου λόγος, ὦ βασιλεῦ, ὁ ὑπὸ τῆς ἀλη-
θείας ἐν τῷ νοΐ μου ὑπαγορευθείς. Διὸ παυσάσθωσαν οἱ ἀνόητοί σου
σοφοί, ματαιολογοῦντες κατὰ τοῦ Κυρίου· συμφέρει γὰρ ὑμῖν Θεὸν
κτίστην τοῦ παντὸς σέβεσθαι, καὶ τὰ ἄφθαρτα αὐτοῦ ἐνωτίζεσθαι ῥή-
ματα, ἵνα, κατάκρισιν ἐκφυγόντες καὶ τιμωρίαν, ζωῆς ἀνωλέθρου
δειχθείητε κληρονόμοι. Ταῦτα ὡς διεξῆλθεν ὁ Ναχώρ, ὁ μὲν βασι-
λεὺς τῷ θυμῷ ἠλλοιοῦτο, οἱ δὲ ῥήτορες αὐτοῦ καὶ νεωκόροι ἄφωνοι ἵ-
σταντο, μὴ δυνάμενοι ἀντιλέγειν, ἢ σαθρά τινα καὶ οὐδαμινὰ λο-
γίδρια. Ὁ δὲ τοῦ βασιλέως υἱὸς ἠγαλλιάσατο τῷ πνεύματι, καὶ φαι-
δρῷ τῷ προσώπῳ ἐδόξαζε τὸν Κύριον, τὸν ἐξ ἀπόρου πόρον διδόντα
τοῖς πεποιθόσιν ἐπ' αὐτόν· ὃς καὶ διὰ τοῦ πολεμίου ἐχθροῦ τὴν ἀλή-
θειαν ἐκράτυνε, καὶ ὁ τῆς πλάνης ἔξαρχος συνήγορος τοῦ ὀρθοῦ λό-
γου ἐδείκνυτο.

Ὁ μέντοι βασιλεύς, καίπερ δεινῶς ὀργιζόμενος τῷ Ναχώρ, οὐδὲν
ὅμως εἰς αὐτὸν ἐργάσασθαι κακὸν ἠδύνατο, διὰ τὸ προλεχθὲν ἐπὶ πάν-
των θέσπισμα, ἀδεῶς αὐτὸν λέγειν ὑπὲρ τῶν χριστιανῶν προτρεπόμε-
νον· πολλὰ δὲ αὐτὸς ἀντιλέγων, ὑπεμίμνησκε δι' αἰνιγμάτων ὑπεν-
δοῦναι τῆς ἐνστάσεως, καὶ ἡττηθῆναι τῇ διαλέξει τῶν ῥητόρων. Ὁ δὲ
μειζόνως ὑπερίσχυε, διαλύων πάσας αὐτῶν τὰς προτάσεις, καὶ συλλο-
γισμούς, καὶ ἐλέγχων τὸ ἀπατηλὸν τῆς πλάνης. Σχεδὸν δὲ μέχρις ἑ-
σπέρας παραταθείσης τῆς διαλέξεως, ἐκέλευσεν ὁ βασιλεὺς διαλυ-
θῆναι τὸ συνέδριον, ὡς τῇ ἐπιούσῃ βουλόμενος αὖθις περὶ τούτου δια-
σκέψασθαι. Ὁ δὲ υἱὸς ἔφη τῷ βασιλεῖ· ὡς ἐν ἀρχῇ δικαίαν ἐκέλευσας
κρίσιν γενέσθαι, δέσποτα, δικαιοσύνην καὶ τῷ τέλει ἐπίθες, τῶν δύο
τὸ ἕτερον ποιῶν· ἢ τὸν ἐμὸν διδάσκαλον ἐπίτρεψον μεῖναι μετ' ἐμοῦ
τῇ νυκτὶ ταύτῃ, ὡς ἂν ὁμοῦ διασκεψώμεθα περὶ ὧν χρὴ τὴν αὔριον λα-
λῆσαι τοῖς πολεμοῦσιν ἡμᾶς, τοὺς σοὺς δὲ πάλιν σὺ μεθ' ἑαυτοῦ λα-
βών, τὰ εἰκότα μελετήσατε καθὼς βούλεσθε· ἤ, τοὺς σοὺς ἐμοὶ παρα-
χωρήσας τῇ νυκτὶ ταύτῃ, λάβε τὸν ἐμὸν πρὸς ἑαυτόν· ἐὰν δὲ ἀμφό-
τεροι ὦσι παρὰ σοί, ὁ μὲν ἐμὸς ἐν θλίψει καὶ φόβῳ, οἱ δὲ σοὶ ἐν χαρᾷ
καὶ ἀνέσει, οὔ μοι δοκεῖ δικαίαν εἶναι κρίσιν, ἀλλὰ δυναστείαν τῆς
ἐξουσίας, καὶ παράβασιν τῶν συνθηκῶν. Ἡττηθεὶς δὲ ὁ βασιλεὺς τῷ
ἀστείῳ τοῦ ῥήματος, τοὺς μὲν σοφοὺς αὐτοῦ καὶ ἱερεῖς πρὸς ἑαυτὸν

www.tezaurliturgic.ro



λαβόμενος, τὸν Ναχὼρ παραχωρεῖ τῷ υἱῷ, ἐλπίδας ἔτι κεκτημένος
ἐπ᾿ αὐτόν, καὶ φυλάττειν τὰ ὡμολογημένα δοκῶν.

Ἀπέρχεται τοίνυν ὁ τοῦ βασιλέως υἱὸς εἰς τὸ ἑαυτοῦ παλάτιον,
ὥσπερ τις ὀλυμπιονίκης, τῶν ἀντιπάλων κρατήσας, ἔχων μεθ᾿ ἑαυτοῦ
τὸν Ναχώρ. Καὶ κατὰ μόνας αὐτὸν καλέσας, ἔφη· μὴ νομίσῃς λανθά-
νειν με τὰ κατὰ σέ· οἶδα γάρ σε ἀκριβῶς μὴ τὸν θειότατον εἶναι Βαρ-
λαάμ, ἀλλὰ Ναχὼρ τὸν ἀστρολόγον· καὶ θαυμάζω πῶς ἔδοξεν ὑμῖν
τοιαύτην ὑποκριθῆναι ὑπόκρισιν, καὶ τοιαύτῃ ἀμβλυωπίᾳ περιβαλλεῖν
με μέσης ἡμέρας, ἵνα λύκον δέξωμαι ἀντὶ προβάτου· ἀλλὰ καλῶς ὁ
λόγος ᾄδεται, ὅτι καρδία μωροῦ μάταια νοήσει. Τὸ μὲν οὖν ἐνθύ-
μημα τοῦτο καὶ βούλευμα ὑμῶν, ἐξώλον ἦν καὶ πάντῃ ἀνόητον· τὸ
δὲ ἔργον, ὃ εἰργάσω, πάσης ἐστὶ συνέσεως πεπληρωμένον. Διὸ χαῖρε,
Ναχώρ, καὶ ἀγαλλιῶ· πολλὰς γάρ σοι χάριτας ὁμολογῶ, ὅτι συνή-
γορος σήμερον τῆς ἀληθείας γέγονας, καὶ οὐκ ἐμίανας τὰ χείλη σου
λόγοις μιαροῖς, καὶ ὑποκρίσει δολίᾳ, ἀλλὰ τῶν πολλῶν μᾶλλον ἐξε-
κάθηρας μολυσμάτων, τὴν πλάνην τῶν ψευδωνύμων ἐλέγξας θεῶν,
καὶ τὴν ἀλήθειαν τῶν χριστιανικῶν δογμάτων κρατύνας. Ἐγὼ δὲ ἐ-
σπούδασα ἀγαγεῖν σε μετ᾿ ἐμοῦ, δυοῖν ἕνεκα· ἵνα τε μὴ κατὰ μόνας
ὁ βασιλεὺς λαβών σε τιμωρήσηται, ἐφ᾿ ᾧ οὐ τὰ καταθύμια αὐτῷ ἐ-
φθέγξω, καὶ ἵνα τὴν χάριν ταύτην, ἣν σήμερον εἰργάσω ἀνταμείψω-
μαι. Τίς δὲ ἡ ἀντάμειψις; τοῦ ὑποδεῖξαί σοι ἐκκλῖναι τῆς πονηρᾶς ὁ-
δοῦ καὶ ὀλισθηρᾶς, ἣν ὥδευσας ἕως νῦν, πορευθῆναι δὲ τὴν εὐθεῖαν καὶ
σωτήριον τρίβον, ἣν οὐκ ἀγνοῶν, ἀλλ᾿ ἐθελοντὶ κακουργῶν ἐξέφυγες,
βαράθροις καὶ κρημνοῖς ἑαυτὸν κατακρημνίσας. Σύνες οὖν, ὦ Ναχώρ,
συνετὸς ὤν, καὶ προθυμήθητι τὸν Χριστὸν μόνον, καὶ τὴν παρ᾿ αὐτῷ
κρυπτομένην ζωὴν κερδᾶναι, τῶν ῥεόντων τούτων καὶ φθειρομένων
ὑπεριδεῖν· οὐ γὰρ τὸν πάντα ζήσεις αἰῶνα, ἀλλὰ θνητὸς ὤν, ἀπελεύσῃ
ὅσον οὔπω ἔνθα καὶ οἱ πρὸ σοῦ πάντες· καὶ οὐαί σοι, εἰ, τὸν βαρὺν
φόρτον τῆς ἁμαρτίας ἐπιφερόμενος, ἀπελεύσῃ ἐκεῖ, ὅπου κρίσις δι-
καία, καὶ ἀνταπόδοσις τῶν ἔργων ἐστί, καὶ μὴ ἀποῤῥίψῃς τοῦτον,
ῥᾳδίας οὔσης τῆς ἀποθέσεως.

Ὁ δὲ Ναχὼρ τοίνυν, κατανυγεὶς τὴν ψυχὴν ἐπὶ τοῖς λόγοις τού-
τοις, ἔφη· καλῶς εἶπας, ὦ βασιλεῦ, καλῶς· οἶδα γὰρ κἀγὼ τὸν ἀλη-
θινὸν καὶ ἀψευδῆ Θεόν, δι᾿ οὗ τὰ πάντα γέγονε· καὶ τὴν μέλλουσαν
κρίσιν ἐπίσταμαι, ἀπὸ πολλῶν γραφικῶν ῥημάτων· ἀλλ᾿ ἡ πονηρὰ
συνήθεια, καὶ ἡ τοῦ παλαιοῦ ἐπήρεια πτερνιστοῦ, τοὺς ὀφθαλμοὺς ἐτύ-
φλωσε τῆς καρδίας μου, καὶ σκότος βαθὺ περιέχυσέ μου τὸν λογισμόν.
Νυνὶ δὲ ἐπὶ τῷ ῥήματί σου τὸ κάλυμμα τὸ ζοφῶδες ἀποῤῥίψας, τῷ



φωτὶ προσδραμοῦμαι τοῦ προσώπου Κυρίου, ἴσως ἐλεήσει με, καὶ θύ-
ραν ἀνοίξει μετανοίας τῷ πονηρῷ δούλῳ καὶ ἀποστάτῃ, εἰ καὶ ἀδύ-
νατον δοκεῖ μοι ἄφεσιν γενέσθαι τῶν ψάμμου βαρυτέρων μου πται-
σμάτων, ὧν ἐν γνώσει τε καὶ ἀγνοίᾳ ἥμαρτον νηπιόθεν, καὶ μέχρι
ταύτης μου τῆς ἡλικίας. Ταῦτα ὡς ἤκουσεν ὁ τοῦ βασιλέως υἱὸς εὐ-
θὺς διανίσταται, καὶ θερμότερος τὴν ψυχὴν γίνεται· καὶ τὸν λογισμὸν
τοῦ Ναχώρ, πρὸς ἀπόγνωσιν συγκύπτοντα, ἀναλαμβάνειν ἄρχεται, καὶ
στεῤῥότερον περὶ τὴν Χριστοῦ πίστιν διατιθέναι. Μηδείς, ὦ Ναχώρ,
λέγων, μηδεὶς ἔστω σοι περὶ τούτου δισταγμός· γέγραπται γάρ, δυ-
νατὸν εἶναι τὸν Θεὸν καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀ-
βραάμ· ὅπερ τί ἄλλο ἢ τοῦτό ἐστιν, ὡς ὁ πατὴρ ἔφη Βαρλαάμ, τὸ ἐξ
ἀνελπίστων, καὶ πάσαις καταχρανθέντων ἀνομίαις δύνασθαι σωθῆναι,
καὶ δούλους γενέσθαι Χριστοῦ, ὃς δι᾿ ἄκραν φιλανθρωπίας ὑπερβολήν,
πᾶσι τοῖς ἐπιστρέφουσι τὰς οὐρανίους ἤνοιξε πύλας, οὐδενὶ τῶν πάν-
των τὴν τῆς σωτηρίας ἀποκλείσας εἴσοδον, ἀλλὰ συμπαθῶς τοὺς με-
τανοοῦντας δεχόμενος. Διὰ ταῦτα γὰρ καὶ τοὺς περὶ πρώτην, καὶ τρί-
την, καὶ ἕκτην, ἐννάτην τε καὶ ἑνδεκάτην ὥραν προσελθοῦσι τῷ ἀμπε-
λῶνι, ἴσος ἀφορίζεται ὁ μισθός, ὡς τὸ ἅγιόν φησιν Εὐαγγέλιον· ὥστε
κἂν μέχρι τοῦ νῦν ἐν ἁμαρτίαις κατεγήρασας, ἐὰν θερμῶς προσέλθῃς,
τῶν αὐτῶν τοῖς ἐκ νεότητος ἀγωνισαμένοις ἀξιωθήσῃ γερῶν.

Πολλὰ δὲ καὶ ἕτερα περὶ μετανοίας λαλήσας ὁ θειότατος νεανίας
τῷ ἐν κακοῖς παλαιωθέντι Ναχώρ, καὶ ἐγγυησάμενος τὴν ἄφεσιν, ἵ-
λεων ὑποσχόμενος τὸν Χριστὸν γενέσθαι, καὶ πληροφορήσας αὐτόν,
ὡς ἕτοιμός ἐστιν ὁ ἀγαθὸς ἀεὶ τοῦ δέχεσθαι τὴν μετάνοιαν, τὴν νενο-
σηκυῖαν ψυχὴν αὐτοῦ οἷά τισι φαρμάκοις καταμαλάξας, καθαρὰν ἐχα-
ρίσατο τὴν ὑγίειαν. Ἔφη γὰρ εὐθὺς ὁ Ναχὼρ πρὸς αὐτόν· σὺ μέν, ὦ
εὐγενέστατε, τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα, καλῶς μεμυημένος τὰ
θαυμαστὰ μυστήρια ταῦτα, μένοις ἐν τῇ καλῇ ὁμολογίᾳ μέχρι τέλους·
καὶ μηδεὶς ταύτην χρόνος ἢ τρόπος τῆς σῆς ἐκτέμοι καρδίας. Ἐγὼ δὲ
πορεύσομαι ἐξ αὐτῆς, τὴν ἐμὴν ζητῶν σωτηρίαν, καὶ διὰ μετανοίας
τὸν Θεὸν ἐξιλεωσόμενος, ὃν παρώργισα· οὐκ ἔτι γὰρ τὸ τοῦ βασιλέως
ὄψομαι πρόσωπον, εἰ σὺ μόνον θελήσειας. Περιχαρὴς δὲ γενόμενος ὁ
τοῦ βασιλέως υἱός, καὶ ἀσμένως δεξάμενος τὸν λόγον, περιλαβόμενος
αὐτὸν κατεφίλει, καὶ ἐκτενῶς πρὸς τὸν Θεὸν εὐξάμενος, ἐκπέμπει τοῦ
παλατίου. Ἐξελθὼν δὲ ὁ Ναχὼρ κατανενυγμένος τὴν ψυχήν, ἐπὶ τὴν
βαθυτάτην ἅλλεται ὡς ἔλαφος ἔρημον· καὶ Μοναχοῦ τινος ἱερωσύνης
περικειμένου ἀξίαν καταλαμβάνει σπήλαιον, ἔνθα ἐκέκρυπτο ἐκεῖνος
διὰ τὸν ἐπικείμενον φόβον· τούτῳ δὲ θερμότατα προσπίπτει· πλύνει

www.tezaurliturgic.ro



τοὺς πόδας δάκρυσι, τήν ποτε μιμούμενος πόρνην, καὶ τὸ θεῖον ἐξαιτεῖται βάπτισμα. Ὁ τοίνυν ἱερεύς, θείας ὢν χάριτος πεπληρωμένος, ἥσθη τε λίαν, καὶ παραχρῆμα, ὥσπερ ἦν ἔθος, κατηχήσας αὐτόν, δι᾽ ἡμερῶν οὐκ ὀλίγων τελειοῖ τῷ βαπτίσματι, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἔμεινε δὲ ὁ Ναχὼρ μετ᾽ αὐτοῦ, μετανοῶν ἀεὶ ἐφ᾽ οἷς ἥμαρτε, καὶ εὐλογῶν τὸν Θεόν, τὸν μὴ βουλόμενον ἀπολέσθαι τινά, ἀλλὰ πάντων τὴν ἐπιστροφὴν ἐκδεχόμενον, καὶ μετανοοῦντας φιλανθρώπως δεχόμενον.

Ἕωθεν δὲ μαθὼν τὰ κατὰ τὸν Ναχὼρ ὁ βασιλεύς, καὶ ἀπογνοὺς ἧς εἶχεν ἐλπίδος ἐπ᾽ αὐτόν, ἰδὼν δὲ καὶ τοὺς σοφοὺς αὐτοῦ καὶ παράφρονας ῥήτορας οὕτως ἀνὰ κράτος ἡττηθέντας, ἐν ἀμηχανίᾳ ἦν· καὶ ἐκείνους μὲν ὕβρεσι δειναῖς καὶ ἀτιμίαις βαλών, οὓς δὲ καὶ βουνεύροις σφοδρῶς μαστιγώσας, καὶ ἀσβόλῃ τὰς ὄψεις περιχρίσας, ἐξέβαλε τοῦ ἰδίου προσώπου· αὐτὸς δὲ καταγινώσκειν ἤρξατο τῆς τῶν ψευδωνύμων θεῶν ἀσθενείας, εἰ καὶ μὴ τελείως τῷ φωτὶ τοῦ Χριστοῦ προσβλέψαι τέως ἠθέλησε· τὸ γὰρ τῆς περικειμένης αὐτῷ ἀχλύος παχὺ νέφος, κατεῖχεν ἔτι τὰς ὁράσεις τῆς καρδίας αὐτοῦ· ἀλλ᾽ οὖν οὐκέτι τοὺς νεωκόρους ἐτίμα, οὔτε μὴν ἑορτὰς ἦγε, καὶ σπονδὰς ἐπιτελεῖν τοῖς εἰδώλοις, ἀλλὰ σαλευομένην εἶχε τὴν διάνοιαν ἀμφοτέρωθεν· ἔνθεν μὲν τῆς ἀσθενείας καταγινώσκων τῶν θεῶν αὐτοῦ, ἐκεῖθεν δὲ τὴν ἀκρίβειαν δεδοικὼς τῆς εὐαγγελικῆς πολιτείας, καὶ δυσαποσπάστως τῶν πονηρῶν ἔχων ἐθῶν· πάνυ γὰρ ταῖς ἡδοναῖς κατεδουλοῦτο τοῦ σώματος, καὶ ὅλος ἦν πρὸς τὰ πάθη, δίκην αἰχμαλώτου ἀγόμενος· μεθύων, ὥς φησιν Ἡσαΐας, ἄνευ οἴνου, καὶ ὥσπερ ὑπὸ κημοῦ τῆς πονηρᾶς συνηθείας ἑλκόμενος.

Οὕτως οὖν τοῦ βασιλέως δυσὶ παλαίοντος λογισμοῖς, ὁ εὐγενέστατος αὐτοῦ υἱός, καὶ τῷ ὄντι βασιλικωτάτην κεκτημένος ψυχήν, ἠρεμῶν ἦν ἐν τῷ παλατίῳ αὐτοῦ, τὸ τῆς φύσεως αὐτοῦ γενναῖον, κόσμιόν τε καὶ βεβηκὸς διὰ τῶν ἔργων παριστῶν· θέατρα γάρ, καὶ ἀγῶνες ἵππων, καὶ κυνηγεσίων μελέτη, καὶ πᾶσαι αἱ τῆς νεότητος κεναὶ σχολαὶ καὶ ἀπάται, τὰ τῶν ἀφρόνων ψυχῶν δελεάσματα, παρ᾽ οὐδὲν ἐλογίζοντο αὐτῷ, ἀλλ᾽ ὅλως τῶν τοῦ Χριστοῦ ἐξήρτητο ἐντολῶν, καὶ αὐτὸν ἐπόθει, τρωθεὶς τὴν ψυχὴν ἔρωτι θείῳ· αὐτὸν ἐπόθει τὸν ὄντως ποθητόν, ὅς ἐστιν ὅλος γλυκασμός, καὶ ἐπιθυμία, καὶ ἀκόρεστος ἔφεσις. Εἰς μνήμην δὲ ἐρχόμενος τοῦ διδασκάλου Βαρλαάμ, καὶ τὸν ἐκείνου ἐνοπτριζόμενος βίον, ἔρωτι τὴν ψυχὴν ἐθέλγετο, καὶ ὅπως αὐτὸν ἴδοι ἐφρόντιζεν ἐπιμελέστατα· καὶ τοὺς λόγους αὐτοῦ ἐν τῇ καρδίᾳ περιφέρων ἀλήστως, οἱονεὶ ξύλον ἦν πεφυτευμένον παρὰ τοῖς ψαλμικοῖς ὕδασιν, ἀρδευόμενον ἀδιαλείπτως, καὶ ὡραίους προσάγον καρποὺς



τῷ Κυρίῳ· πολλὰς γὰρ ψυχὰς τῶν τοῦ διαβόλου ἐρρύσατο ἀρκύων, καὶ τῷ Χριστῷ προσήγαγε σεσωσμένας· πολλοὶ γὰρ εἰς αὐτὸν φοιτῶντες, λόγων ἀπήλαυον σωτηρίων· ἐξ ὧν οὐκ ὀλίγοι τὴν πλάνην φυγόντες, τῷ σωτηρίῳ προσέδραμον λόγῳ· ἄλλοι δὲ μακρὰν τοῖς τοῦ βίου χαίρειν εἰπόντες, τὴν ἀσκητικὴν ὑπεισῆλθον παλαίστραν· αὐτὸς δὲ εὐχαῖς ἐσχόλαζε καὶ νηστείαις, καὶ συχνῶς ταύτην ἀνέπεμπε τὴν φωνήν· ὦ Κύριε, λέγων, Κύριέ μου καὶ βασιλεῦ, ᾧ ἐγὼ ἐπίστευσα, ἐφ᾽ ὃν ἐγὼ κατέφυγον, καὶ τῆς πλάνης ἐρρύσθην, ἀπόδος μισθὸν ἄξιον τῷ θεράποντί σου Βαρλαάμ, ἀνθ᾽ ὧν μοι τῷ πλανηθέντι σὲ ὑπέδειξε, τὴν ὁδόν, καὶ ἀλήθειαν, καὶ ζωήν· καὶ μὴ στερήσῃς με αὖθις ἰδεῖν τὸν ἐν σώματι Ἄγγελον ἐκεῖνον, οὗ οὐκ ἔστιν ὁ κόσμος ἐπάξιος, καὶ σὺν αὐτῷ τελέσαι τὸ λοιπὸν τῆς ζωῆς μου· ἵνα κατ᾽ ἴχνος τῆς αὐτοῦ πολιτείας περιπατήσας, εὐαρεστήσω σοι τῷ Θεῷ καὶ Δεσπότῃ.

Κατ᾽ ἐκεῖνῳ δὲ καιροῦ, πανήγυρις ἦν τῶν ψευδωνύμων θεῶν δημοτελής, ἐν τῇ πόλει ἐκείνῃ· ἔδει δὲ τὸν βασιλέα παρεῖναι τῇ ἑορτῇ, καὶ θυσιῶν δαψιλείᾳ ταύτην κατακοσμῆσαι· ἀλλ᾽ ἐδεδίεισαν οἱ νεωκόροι, ὁρῶντες αὐτὸν ἀμελῶς περὶ τὸ σέβας αὐτῶν, καὶ χλιαρῶς διακείμενον, μήποτε ἀμελήσειε τῆς ἐν τῷ ναῷ παρουσίας, καὶ στερηθοῖεν αὐτοὶ τῆς διδομένης αὐτοῖς βασιλικῆς δωρεᾶς, καὶ τῶν λοιπῶν προσόδων. Ἀναστάντες δέ, καταλαμβάνουσιν ἄντρον, ἔνθα κατῴκει ἀνήρ τις, μαγικαῖς σχολάζων τέχναις, καὶ τῆς εἰδωλικῆς πλάνης θερμότατος ὑπάρχων προασπιστής, Θευδᾶς ὄνομα αὐτῷ· ὃν καὶ ὁ βασιλεὺς ἐτίμα διαφερόντως, καὶ φίλον ἡγεῖτο καὶ διδάσκαλον, διὰ τῆς αὐτοῦ λέγων μαντείας εὐθυνουμένην, προκόπτειν τὴν αὐτοῦ βασιλείαν. Εἰς αὐτὸν τοίνυν οἱ ἱερεῖς τῶν εἰδώλων ἀφικόμενοι, τοῦτον εἰς βοήθειαν προσεκαλοῦντο, καὶ τὴν ἐγγινομένην τῷ βασιλεῖ τῶν θεῶν κατάγνωσιν δήλην ἐποίουν· οἷά τε ὁ τοῦ βασιλέως πεποιήκει υἱός, οἷα δὲ κατ᾽ αὐτῶν ὁ Ναχὼρ δεδημηγορήκει· καὶ ὡς, εἰ μὴ αὐτός, φασίν, ἐλεύσῃ βοηθήσων ἡμῖν, πᾶσα ἐξέλιπεν ἐλπίς, καὶ πάντα ἀπόλωλε τὰ τῶν θεῶν σεβάσματα· σὺ γὰρ μόνος ἡμῖν ὑπελείφθης τῆς συμφορᾶς παραμύθιον, καὶ ἐπὶ σοὶ τὰς ἐλπίδας ἐθέμεθα.

Ἐκστρατεύει τοίνυν ὁ Θευδᾶς μετὰ τῆς συμπαρούσης αὐτῷ σατανικῆς στρατιᾶς, καὶ κατὰ τῆς ἀληθείας ὁπλίζεται· πολλὰ τῶν πονηρῶν πνευμάτων καλέσας, ἃ πρὸς τὰ φαῦλα συνεργεῖν οἶδε προθύμως, καὶ οἷς ἐκεῖνος ἀεὶ διακόνους ἐκέχρητο, μεθ᾽ ὧν παραγίνεται πρὸς τὸν βασιλέα. Ὡς δὲ ἐμηνύθη τῷ βασιλεῖ ἡ ἄφιξις αὐτοῦ, καὶ εἰσῆλθε ῥάβδον μὲν κατέχων βαΐνην, μηλωτάριον δὲ περιεζωσμένος, ἀνέστη ὁ βασιλεὺς τοῦ θρόνου, καὶ τοῦτον προσυπαντήσας ἠσπάσατο· καὶ θρόνον

ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤ...

www.tezaurliturgic.ro



ἐνεγκών, πλησίον αὐτοῦ συνεδριάζειν πεποίηκεν. Εἶτα λέγει Θευδᾶς τῷ βασιλεῖ· βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι, τῇ τῶν μεγίστων θεῶν εὐμενείᾳ σκεπόμενος· ἤκουσα γὰρ ἀγῶνά σε μέγαν ἀγωνίσασθαι κατὰ τῶν Γαλιλαίων, καὶ λαμπροτάτοις διαδήμασι νίκης καταστεφθῆναι· διὸ ἐλήλυθα, ἵνα εὐχαριστήριον ἑορτὴν ὁμοῦ τελέσωμεν, νεανίσκους τε ὡραίους, καὶ κόρας εὐόπτους τοῖς ἀθανάτοις θεοῖς καταθύσωμεν· ταύρους τε ἑκατόν, καὶ ζῶα πλεῖστα τούτοις προσενέγκωμεν, ὡς ἂν ἔχοιμεν αὐτοὺς καὶ εἰς τὸ ἑξῆς συμμάχους ἀηττήτους, ὅλον τὸν βίον ἡμῶν ἐξομαλίζοντας. Πρὸς ταῦτα ὁ βασιλεὺς ἔφη· οὐ νενικήκαμεν, ὦ πρεσβῦτα, οὐ νενικήκαμεν, ἀλλ᾽ ἀνὰ κράτος μᾶλλον ἡττήμεθα· οἱ γὰρ ὑπὲρ ἡμῶν, καθ᾽ ἡμῶν ἐξαίφνης γεγόνασι· καὶ παράβακχόν τε, καὶ μανικόν, καὶ ἀσθενῆ τὴν ἡμετέραν εὑρόντες παράταξιν, τέλεον ταύτην κατέβαλον. Νυνὶ δέ, εἴ τις σοι δύναμις πρόσεστι, καὶ ἰσχὺς εἰς τὸ βοηθῆσαι τῇ κάτω κειμένῃ θρησκείᾳ ἡμῶν, καὶ ταύτην αὖθις ἀνορθῶσαι, ἀνάγγειλόν μοι. Ὁ δὲ Θευδᾶς τοιαύτας ἐδίδου τὰς ἀποκρίσεις τῷ βασιλεῖ· τὰς μὲν τῶν Γαλιλαίων ἐνστάσεις καὶ ματαιολογίας, μὴ φοβοῦ, βασιλεῦ· τίνα γάρ εἰσι τὰ παρ᾽ αὐτῶν λεγόμενα πρὸς ἄνδρας λογικοὺς καὶ ἐχέφρονας; ἅτινα, ἐμοὶ δόξαν, ῥᾳδίως καταβληθήσεται μᾶλλον, ἢ φύλλον ἀνέμῳ κατασεισθέν· οὐδὲ γὰρ κατὰ πρόσωπον ἐμοῦ ἐλθεῖν ὑπομενοῦσι, μὴ ὅτι γε καὶ λόγον συνᾶραι, καὶ εἰς προτάσεις μοι καὶ ἀντιθέσεις χωρῆσαι. Ἀλλ᾽ ἵνα τε τοῦτο τὸ προκείμενον ἀγώνισμα, καὶ πανοτιοῦν βουληθείημεν ἐπ᾽ εὐθείας ἡμῖν γένοιτο, καὶ κατὰ ῥοῦν τὰ πράγματα χωρήσειε, τὴν ἑορτὴν κόσμησον ταύτην τὴν δημοτελῆ, καὶ τὴν εὐμένειαν τῶν θεῶν ὥσπερ τι κραταιὸν περιβαλοῦ ὅπλον, καὶ εὖ σοι γενήσεται.

Οὕτω καυχησάμενος τὸ ἐν κακίᾳ δυνατὸς εἶναι, ἀνομίαν τε ὅλην τὴν ἡμέραν μελετήσας, (συμφθεγγέσθω γὰρ ἡμῖν ὁ Δαβίδ), ἀνατροπὴν δὲ θολεράν, καθά φησιν Ἠσαΐας, τῷ πλησίον ποτίσας, συνεργείᾳ τῶν συμπαρομαρτούντων αὐτῷ πονηρῶν πνευμάτων, ἐπιλαθέσθαι τὸν βασιλέα παντάπασι τῶν πρὸς σωτηρίαν ὑπομιμνησκόντων λογισμῶν πεποίηκε, καὶ τῶν συνήθων πάλιν ἐπιμελῶς ἔχεσθαι. Ἔνθεν τοι γραμμάτων βασιλικῶν πανταχοῦ διαπεφοιτηκότων, τοῦ συνελθεῖν πάντας ἐν τῇ μυσαρᾷ πανηγύρει αὐτῶν, ἦν ἰδεῖν συῤῥέοντα πλήθη, πρόβατά τε καὶ βόας, καὶ διάφορα εἴδη ἄγοντα ζώων. Πάντων τοίνυν συνεληλυθότων, ἀναστὰς ὁ βασιλεὺς μετὰ τοῦ ἀπατεῶνος Θευδᾶ, πρὸς τὸν ναὸν ἐχώρει, ταύρους καταθῦσαι φέρων ἑκατὸν εἴκοσι, καὶ ζῶα πολλά· καὶ ἐτέλουν τὴν ἐπάρατον ἑορτήν, ὡς περιηχεῖσθαι μὲν τὴν πόλιν ὑπὸ τῆς τῶν ἀλόγων ζώων φωνῆς, τῇ δὲ τῶν θυσιῶν κνίσσῃ καὶ αὐτὸν



μολύνεσθαι τὸν ἀέρα. Τούτων οὕτω τελεσθέντων, καὶ τῶν τῆς πονηρίας πνευμάτων λίαν ἐγκαυχησαμένων ἐπὶ τῇ νίκῃ τοῦ Θευδᾶ, καὶ χάριτας αὐτῷ ὁμολογησάντων τῶν νεωκόρων, εἰς τὸ παλάτιον αὖθις ἐπανῆκεν ὁ βασιλεύς· καί φησι τῷ Θευδᾷ· ἰδοὺ δή, καθὰ ἐκέλευσας, οὐδεμίαν ἐνελίπομεν σπουδὴν ἐπὶ τῇ λαμπροφορίᾳ τῆς πανηγύρεως, καὶ δαψιλείᾳ τῶν θυσιῶν· καιρὸς οὖν ἤδη τὰ ἐπηγγελμένα πληρῶσαι, καὶ τὸν ἀποστατήσαντα τῶν ἡμετέρων σεβασμάτων υἱόν μου, τῆς πλάνης ἀναῤῥύσασθαι τῶν χριστιανῶν, καὶ τοῖς εὐμενέσι καταλλάξαι θεοῖς· ἐγὼ γὰρ πᾶσαν τέχνην καὶ χεῖρα κινήσας, οὐδεμίαν εὗρον τοῦ κακοῦ θεραπείαν, ἀλλὰ πάντων κρείττονα τὴν αὐτοῦ γνώμην ἐθεασάμην· εἰ πράως αὐτῷ ἐνέτυχον καὶ ἠπίως, οὐδὲ τὸν νοῦν μοι προσέχοντα ὅλως εὕρισκον· εἰ αὐστηρῶς ἐχρησάμην καὶ ἐμβριθῶς, εἰς ἀπόνοιαν μᾶλλον αἰρόμενον ἐθεώρουν· τῇ σῇ λοιπὸν σοφίᾳ τὰ τῆς ἐπελθούσης μοι συμφορᾶς ἀνατίθημι. Εἰ οὖν, ταύτης ἀπαλλαγεὶς διὰ σοῦ, τὸν ἐμὸν αὖθις ὄψομαι υἱὸν σὺν ἐμοὶ τοῖς θεοῖς μου λατρεύοντα, καὶ τῶν ἐπιθυμιῶν τῆς ἐνηδόνου ταύτης ζωῆς καὶ βασιλείας ἀπολαύοντα, στήλην σοι ἀνεγείρας χρυσῆν, ἴσα θεοῖς θήσομαι παρὰ πάντων τιμᾶσθαι εἰς τὸν ἐπιόντα ἀτελεύτητον χρόνον.

Ὁ Θευδᾶς τοίνυν οὖς εὐήκοον ὑποκλίνας τῷ πονηρῷ, καὶ παρ᾽ ἐκείνου μυηθεὶς βουλὴν πονηρὰν καὶ ὀλέθριον, γλῶσσά τε καὶ στόμα αὐτῷ γενόμενος, φησὶ πρὸς τὸν βασιλέα· εἰ χειρώσασθαι τὸν σὸν βούλει υἱόν, καὶ κενὴν αὐτοῦ τὴν ἔνστασιν θεῖναι, εὕρηταί μοι τέχνη, πρὸς ἣν οὐδὲ ἀντισχεῖν δυνατὸς ἔσται, ἀλλὰ ῥᾴδιον μαλαχθήσεται ὁ ἀτεράμων καὶ ἀμείλικτος αὐτοῦ λογισμός, ἢ κηρὸς πυρκαϊᾷ σφοδροτάτῃ ὁμιλήσας. Ὁ δὲ βασιλεὺς τὸν μάταιον οὕτω διακενῆς φυσῶντα ἰδών, πρὸς ἡδονὴν εὐθὺς καὶ φαιδρότητα μετεβάλλετο, ἐλπίσας τὴν ἀκόλαστον ἐκείνην καὶ θρασεῖαν γλῶτταν, τῆς Θεοδιδάκτου καὶ φιλοσοφίας γεμούσης περιγενέσθαι ψυχῆς. Καὶ τίς ἡ τέχνη; μαθεῖν ἤρετο· τότε Θευδᾶς ὡσεὶ ξυρὸν ἠκονημένον ὑφαίνει τὸ κακούργημα, καὶ δεινῶς ἀρτύει τὰ φάρμακα· καὶ ὅρα σόφισμα κακότεχνον, καὶ ὑποβολὴν τοῦ πονηροῦ. Πάντας, φησίν, ὦ βασιλεῦ, τοὺς παρισταμένους τῷ υἱῷ σου καὶ ὑπηρετοῦντας, μακρύνας ἐξ αὐτοῦ, γυναῖκας εὐειδεῖς καὶ λίαν περικαλλεῖς, κεκοσμημένας εἰς τὸ ἐπαγωγότερον, συνεῖναι αὐτῷ διηνεκῶς καὶ καθυπηρετεῖν, συνδιαιτᾶσθαι αὐτῷ καὶ συναυλίζεσθαι πρόσταξον· ἐγὼ δὲ ἓν τῶν πνευμάτων τῶν εἰς τὰ τοιαῦτά μοι τεταγμένων ἐξαποστείλας αὐτῷ, βιαιότερον τὸ τῆς ἡδονῆς πῦρ ἀνάψω. Καὶ ἅμα τῷ συγγενέσθαι αὐτὸν μιᾷ καὶ μόνῃ τῶν τοιούτων γυναικῶν, εἰ μὴ πάντα ἕξει σοι κατὰ γνώμην, παροπτέος ἐγὼ τὸ λοιπόν σοι καὶ ἄχρηστος,

www.tezaurliturgic.ro



καὶ τιμωριῶν μεγίστων, οὐ τιμῶν ἄξιος· οὐδὲν γὰρ ὡς ὄψις γυναικῶν ἐπαγαγέσθαι καὶ θέλγειν τοὺς ἀῤῥένων λογισμοὺς πέφυκε· καὶ ἄκουσον διηγήσεως τῷ ἐμῷ συμμαρτυρούσης ῥήματι.

Βασιλεύς τις παιδὸς ἀμοιρῶν ἄῤῥενος, ἠνιᾶτο λίαν τὴν ψυχὴν ἀχθόμενος, καὶ ἀτύχημα τοῦτο οὐ μικρὸν λογιζόμενος. Ἐν τούτοις οὖν αὐτῷ ὄντι, γεννᾶται υἱός, καὶ χαρᾶς ἐπὶ τούτῳ τὴν καρδίαν ἐπεπλήρωτο ὁ βασιλεύς. Εἶπον δὲ αὐτῷ οἱ τῶν ἰατρῶν ἐπιστήμονες, ὡς, εἰ ἐντὸς τῶν δέκα χρόνων, ἥλιον, ἢ πῦρ ἴδοι τὸ παιδίον, στερηθήσεται παντάπασι τοῦ φωτός· τοῦτο γὰρ ἡ τῶν ὀμμάτων αὐτοῦ θέσις δηλοῖ. Ταῦτα τὸν βασιλέα ἀκούσαντα, λέγεται οἰκίσκον ἀντρῶδες ἐκ πέτρας τινὸς λαξεῦσαι, κἀκεῖσε τὸν παῖδα μετὰ τῶν τιθηνούντων αὐτὸν κατακλείσαντα, μηδόλως μέχρι συμπληρώσεως τῶν δέκα ἐνιαυτῶν φωτὸς ὑποδεῖξαι μαρμαρυγὴν τὸ παράπαν. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν δέκα ἐνιαυτῶν, ἐξάγει τοῦ οἰκίσκου τὸν παῖδα, μηδὲν ὅλως τοῦ κόσμου θεασάμενον, καὶ κελεύει ὁ βασιλεὺς πάντα κατὰ γένος παραστήσαντας, ὑποδεῖξαι αὐτῷ· ἄνδρας μὲν ἐν ἑνὶ τόπῳ· ἀλλαχοῦ δὲ γυναῖκας· ἑτέρωθι χρυσόν, ἄργυρον· ἀλλαχόσε μαργαρίτας, καὶ λίθους πολυτελεῖς· ἱμάτια λαμπρὰ καὶ κόσμια· ἅρματα περικαλλῆ μετὰ ἵππων βασιλικῶν χρυσοχαλίνων, σὺν τάπησιν ἁλουργοῖς, καὶ ἀναβάτας ἐπ᾿ αὐτοῖς ὁπλοφόρους· βουκόλιά τε βοῶν, καὶ ποίμνια προβάτων· καὶ ἁπλῶς εἰπεῖν, πάντα στοιχηδὸν ὑπεδείκνυον τῷ παιδί. Πυνθανομένου δὲ αὐτοῦ, τί τούτων ἕκαστον καλεῖται, οἱ τοῦ βασιλέως ὑπασπισταὶ καὶ δορυφόροι τὴν ἑκάστου κλῆσιν ἐδήλουν. Ὡς δὲ τῶν γυναικῶν ἤρετο τὴν κλῆσιν μαθεῖν, τὸν σπαθάριον λέγεται τοῦ βασιλέως χαριέντως εἰπεῖν, δαίμονας αὐτὰς καλεῖσθαι, αἳ τοὺς ἀνθρώπους πλανῶσιν. Ἡ δὲ τοῦ παιδὸς καρδία, τῷ ἐκείνων πόθῳ πλέον τῶν λοιπῶν ἐθέλχθη. Ὡς οὖν, πάντα περιελθόντες, πρὸς τὸν βασιλέα ἐπανήγαγον αὐτόν, ἐπηρώτα ὁ βασιλεύς· τί ἀρεστὸν αὐτῷ πάντων τῶν ὁραθέντων ἐφάνη; καί φησιν ὁ παῖς· οὐδὲν ἄλλο, ἀλλ᾿ ἢ οἱ δαίμονες ἐκεῖνοι, οἱ τοὺς ἀνθρώπους πλανῶντες· οὐδενὸς γὰρ τῶν ὀφθέντων μοι σήμερον, ἢ τῇ ἐκείνων φιλίᾳ ἐξευκάθη μου ἡ ψυχή. Καὶ ἐθαύμασεν ὁ βασιλεὺς ἐκεῖνος ἐπὶ τῷ ῥήματι τοῦ παιδός· καὶ οἷόν ἐστι τυραννικὸν χρῆμα γυναικὸς ἔρως. Καὶ σὺ τοίνυν, ὦ βασιλεῦ, μὴ ἄλλως οἴου ὑποτάξαι σου τὸν υἱόν, ἢ τούτῳ δὴ τῷ τρόπῳ.

Δέχεται τὸν λόγον ἀσμένως ὁ βασιλεύς, καὶ παράγονται αὐτῷ ἐξ ἐπιλογῆς κόραι ὡραῖαι καὶ περικαλλεῖς, ἃς καὶ κόσμῳ λαμπρύνας διαυγεῖ, καὶ ὅλως πρὸς τὸ ἐπαγωγὸν εὐτρεπίσας, τοὺς μὲν θεράποντας καὶ ὑπηρέτας τοῦ υἱοῦ πάντας ἐκβάλλει τοῦ παλατίου, ἐκείνας



δὲ ἀντικαθίστησιν· αὗται περιεφύοντο αὐτῷ, συνεπλέκοντο, πρὸς τὴν μυσαρὰν αὐτὸν συνουσίαν ἠρέθιζον, διὰ πάντων σχημάτων τε καὶ ῥημάτων ἐκκαλούμεναι πρὸς ἡδονήν· οὐκ εἶχεν ἑτέρῳ τινὶ προσβλέψαι, ἢ ὁμιλῆσαι, ἢ συναριστῆσαι· αὗται γὰρ ἦσαν αὐτῷ πάντα. Καὶ ταῦτα μὲν ὁ βασιλεὺς ἐποίει. Θευδᾶς δὲ πάλιν τὸ πονηρὸν ἐκεῖνο καταλαβὼν σπήλαιον, καὶ εἰς τὰς βίβλους ἐγκύψας τὰς τοιαῦτα ἐνεργεῖν δυναμένας, καὶ ἓν τῶν πονηρῶν πνευμάτων καλέσας, εἰς πόλεμον ἐκπέμπει τοῦ στρατιώτου τῆς τοῦ Χριστοῦ παρατάξεως· οὐκ εἰδὼς ὁ ἄθλιος οἷον ἔμελλε γέλωτα ὑποστῆναι, καὶ ὅσης αἰσχύνης πληροῦσθαι σὺν πάσῃ τῇ ὑπ᾿ αὐτὸν δαιμονικῇ φάλαγγι. Τὸ δὲ πονηρὸν πνεῦμα, ἄλλα τε πονηρότερα πνεύματα συμπαραλαβόν, τὸν κοιτῶνα καταλαμβάνει τοῦ γενναίου παιδός, καὶ ἐπιπίπτει αὐτῷ, λαυροτάτην ἀνάψας τῆς σαρκὸς τὴν κάμινον· καὶ ὁ μὲν πονηρὸς ἔνδον ἀνέφλεγεν, αἱ δὲ τὴν ὄψιν εὐπρεπεῖς, τὴν δὲ ψυχὴν καὶ λίαν δυσειδεῖς κόραι, ἔξωθεν τὴν πονηρὰν ἐχορήγουν ὕλην. Ἡ δὲ καθαρὰ ἐκείνη ψυχή, προσβολῆς αἰσθομένη τοῦ πονηροῦ, καὶ τὸν πόλεμον ὁρῶσα τῶν ἀτόπων λογισμῶν ἐπ᾿ αὐτὴν σφοδρῶς ἐρχόμενον, διεταράττετο, καὶ λύσιν ἐζήτει εὑρεῖν τοῦ τοσούτου κακοῦ, καθαρόν τε παραστῆσαι ἑαυτὸν τῷ Χριστῷ, καὶ μὴ τῷ βορβόρῳ τῶν παθῶν καταχρανθῆναι τὴν ἁγίαν ἐκείνην στολήν, ἣν αὐτὸν ἡ τοῦ βαπτίσματος ἠμφιάσατο χάρις. Εὐθὺς οὖν ἔρωτι ἀνθίστησιν ἔρωτα, τῷ ἀκολάστῳ, τὸν θεϊκόν, καὶ εἰς μνήμην ἄγει ἑαυτὸν τῆς ὡραιότητος ἐκείνης καὶ ἀνεκλαλήτου δόξης Χριστοῦ τοῦ ἀθανάτου νυμφίου τῶν καθαρωτάτων ψυχῶν, καὶ τοῦ νυμφῶνος ἐκείνου καὶ γάμου, οὗπερ ἐλεεινῶς ἐκβάλλονται οἱ τὸν νυμφικὸν σπιλώσαντες χιτῶνα, δεδεμένοι χεῖρας καὶ πόδας, εἰς τὸ σκότος τὸ ἐξώτερον. Ταῦτα λογιζόμενος, καὶ σύνδακρυς γενόμενος, ἔτυπτε τὸ στῆθος, οἷα κακοὺς κηφῆνας τοὺς πονηροὺς λογισμοὺς ἐκεῖθεν φυγαδεύων.

Εἶτα διαναστάς, καὶ χεῖρας εἰς οὐρανοὺς διάρας, θερμοῖς δάκρυσι καὶ στεναγμοῖς τὸν Θεὸν ἐπεκαλεῖτο πρὸς συμμαχίαν, καὶ ἔλεγε. Κύριε παντοκράτωρ, ὁ μόνος δυνατὸς καὶ οἰκτίρμων, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ἡ τῶν ἀβοηθήτων βοήθεια, μνήσθητί μου τοῦ ἀχρείου σου δούλου ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ ἱλέῳ με ἐπίβλεψον ὄμματι, καὶ ῥῦσαι ἀπὸ ῥομφαίας δαιμονικῆς τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· καὶ μὴ ἐάσῃς ἐμπεσεῖν με εἰς χεῖρας ἐχθρῶν μου, μηδὲ ἐπιχαρείησάν μοι οἱ μισοῦντές με· μὴ ἐγκαταλίπῃς με καταφθαρῆναι ἐν ἀνομίαις, καὶ καθυβρίσαι μου τὸ σῶμα, ὅπερ ἁγνόν σοι παραστῆσαι ἐπηγγειλάμην· σὲ γὰρ ποθῶ, καὶ σοὶ προσκυνῶ τῷ Πατρί,

www.tezaurliturgic.ro



καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἐπειπὼν τὸ ἀμήν, θείας ᾔσθετο παρακλήσεως, οὐρανόθεν αὐτῷ ἐπιφοιτησάσης· καὶ οἱ πονηροὶ ὑπεχώρουν λογισμοί, αὐτὸς δὲ μέχρι πρωΐας εὐχόμενος διετέλεσε· καὶ γνοὺς τὰ μηχανήματα τοῦ διαβόλου, ἤρξατο ἐπιπλεῖον πιέζειν τὸ σῶμα τροφῆς ἐνδείᾳ, καὶ δίψῃ, καὶ τῇ ἄλλῃ ταλαιπωρίᾳ· ὁλονύκτους μὲν ἐπιτελῶν στάσεις, ἑαυτὸν δὲ ἀναμιμνήσκων τῶν πρὸς Θεὸν ὁμολογιῶν· καὶ ὑπογράφων τῷ λογισμῷ τὴν ἐκεῖθεν τῶν δικαίων λαμπρότητα, τὴν ἠπειλημένην τε τοῖς φαύλοις γέενναν ἀνιστορῶν ἐναργέστατα· ὅπως μή, ἀργὴν καὶ ἄνετον ὁ ἐχθρὸς εὑρὼν τὴν ψυχήν, λογισμοὺς αὐτῇ πονηροὺς ῥᾳδίως ὑποσπείρῃ, καὶ τὸ καθαρὸν ἐπιθολώσῃ τῆς διανοίας.

Πάντοθεν τοίνυν ὁ ἐχθρὸς ἐξαπορηθείς, καὶ παντελῶς ἀπαγορεύσας ἑλεῖν τὸν γενναῖον, ἑτέραν ἔρχεται ὁ δεινὸς ἀπάτην ποικιλωτέραν· ὁ ἀείποτε πονηρὸς ὤν, καὶ τὸ τεχνάζεσθαι καὶ βλάπτειν οὐδαμῶς ἀπολείπων· εἰς ἔργον γὰρ ἀγαγεῖν τὰ ἐντεταλμένα αὐτῷ παρὰ τοῦ Θευδᾶ, μυρία γέγονε σπουδή· καὶ οὕτω πάλιν τὰ φάρμακα ἀρτύει[1]. Μίαν γὰρ ὑπεισελθὼν τῶν νεανίδων ἐκείνων, ἥτις ἦν εὐμορφοτάτη πάντων, θυγάτηρ οὖσα βασιλέως καὶ αἰχμάλωτος, τῆς ἰδίας ἀλλοτριωθεῖσα πατρίδος, τῷ βασιλεῖ δὲ Ἀβεννὴρ ὡς μέγιστόν τι προσαχθεῖσα δῶρον· ἣν ὡς πάνυ ὡραιοτάτην οὖσαν, εἰς ὄλεθρον καὶ ὑποσκελισμὸν τοῦ υἱοῦ ὁ πατὴρ ἦν ἀποστείλας. Ταύτην ὁ ἀπατεὼν ὑπεισέρχεται, καὶ λόγους αὐτῇ ὑποτίθησι, πάνυ τὸ συνετὸν καὶ σοφὸν ἐμφαίνοντας τοῦ ταύτης λογισμοῦ· πάντα γὰρ τὰ πρὸς κακίαν μηχανήματα ῥᾳδίως ὁ πονηρὸς μετέρχεται· εἶτα τῷ τοῦ βασιλέως υἱῷ ἐκ δεξιῶν προσπεσών, φίλτρον ἐντίθησιν αὐτῷ τῆς κόρης, διὰ τὸ νουνεχὲς δῆθεν αὐτῆς καὶ κόσμιον, καὶ διὰ τὸ εὐγενὲς οὕτω καὶ βασιλικῆς οὖσαν σειρᾶς, καὶ διὰ τὸ τῆς πατρίδος ἅμα καὶ δόξης ἐστερεῖσθαι· πρὸς τούτοις, καὶ λογισμοὺς ὑποσπείρει τοῦ ἀπαλλάξαι αὐτὴν τῆς εἰδωλομανίας, καὶ χριστιανὴν ποιῆσαι· ταῦτα δὲ πάντα μηχαναὶ ἦσαν τοῦ δολίου δράκοντος.

Οὕτω γὰρ τὴν ψυχὴν διατεθεὶς ὁ τοῦ βασιλέως υἱός, καὶ μηδένα λογισμὸν ῥυπαρόν, ἢ ἔρωτα ἐμπαθῆ βλέπων ἐν ἑαυτῷ πρὸς τὴν κόρην σαλευόμενον, ἀλλ᾽ ἢ μόνον συμπάθειαν καὶ ἔλεος τῆς τε συμφορᾶς, καὶ τῆς ψυχικῆς ἀπωλείας, οὐκ ᾔδει δαιμονικὴν εἶναι μηχανὴν τὸ πρᾶγμα· ὄντως γὰρ σκότος ἐστὶν ἐκεῖνος, καὶ τὸ φῶς ὑποκρίνεται· ὡς γὰρ ὁμιλεῖν ἤρξατο τῇ κόρῃ ὁ τοῦ βασιλέως υἱός, καὶ τὰ τῆς θεογνω-

[1] Ὅρα ἐνταῦθα κακότεχνον σόφισμα τοῦ σκολιοῦ καὶ δολίου δράκοντος.



σίας αὐτῇ προσλαλεῖν λόγια, σύνες, λέγων, ὦ γύναι, τὸν ζῶντα εἰς τοὺς αἰῶνας Θεόν, καὶ μὴ τῇ πλάνῃ ταύτῃ τῶν εἰδώλων καταφθαρῇς, ἀλλὰ τὸν δεσπότην ἐπίγνωθι καὶ δημιουργὸν τοῦδε τοῦ παντός, καὶ μακαρία ἔσῃ, νυμφευθεῖσα τῷ ἀθανάτῳ νυμφίῳ· πολλὰ δὲ τοιαῦτα εἰπόντος αὐτοῦ, εὐθὺς τὸ πονηρὸν πνεῦμα ὑπαγορεύει τῇ γυναικὶ τὰ τῆς ἀπάτης ὑφαπλῶσαι θήρατρα, καὶ πρὸς τὸν ἐμπαθείας βόθρον κατασῦραι τὴν θεοφιλῆ ψυχὴν ἐκείνην, καθά ποτε τῷ γενάρχῃ πεποίηκε διὰ τῆς Εὔας, τοῦ παραδείσου καὶ τοῦ Θεοῦ ταλαιπώρως φεῦ! ἐξορίσας, καὶ θανάτῳ ὑπόδικον αὐτόν, ἀντὶ τῆς μακαρίας ἐκείνης καὶ ἀθανάτου ζωῆς γενέσθαι παρασκευάσας. Ὡς γὰρ ἤκουσεν ἡ κόρη τὰ ῥήματα ἐκεῖνα τὰ πάσης πεπληρωμένα φιλοσοφίας, ἀσύνετος οὖσα, οὐ συνῆκεν, ἀλλὰ τοιαύτας ἐδίδου τὰς ἀποκρίσεις, ὡς ἅτε γλῶσσα καὶ στόμα τῷ πονηρῷ γενομένη, καί φησιν· εἰ τῆς ἐμῆς, ὦ δέσποτα, σωτηρίας φροντίζεις, καὶ προθυμῇ τῷ Θεῷ σου προσαγαγεῖν με, καὶ τὴν ταπεινήν μου σῶσαι ψυχήν, ποίησον καὶ αὐτὸς μίαν μου αἴτησιν, καὶ πᾶσιν εὐθὺς τοῖς πατρῴοις μου θεοῖς ἀποταξαμένη, τῷ σῷ συντάξομαι Θεῷ, μέχρι τελευταίας αὐτῷ λατρεύουσα ἀναπνοῆς, καὶ μισθὸν λήψῃ τῆς ἐμῆς σωτηρίας, καὶ πρὸς Θεὸν ἐπιστροφῆς. Τοῦ δέ, Τίς ἡ ἀξίωσις; εἰπόντος, ὦ γύναι, ἐκείνη σχῆμα, καὶ βλέμμα, καὶ φθέγμα, καὶ ὅλην ἑαυτὴν πρὸς τὸ θέλγειν καταστήσασα, συνάφθητί μοι, ἔφη, γάμου κοινωνίᾳ, κἀγώ σου τοῖς προστάγμασι χαίρουσα ἐξακολουθήσω.

Ὁ δέ, μάτην, φησίν, ὦ γύναι, τοιαύτην μοι προέτεινας σκληρὰν ἀξίωσιν· τῆς μὲν γὰρ σῆς ἰσχυρῶς κήδομαι σωτηρίας, καὶ τοῦ βυθοῦ τῆς ἀπωλείας ποθῶ σε ἀνελκύσαι· μολῦναι δὲ τὸ σῶμά μου δι᾽ αἰσχρᾶς μίξεως, βαρύ μοι καὶ πάντῃ ἀδύνατον. Ἡ δέ, ὅλην ὁμαλίζουσα τὴν ὁδὸν αὐτῷ καὶ διαλεαίνουσα, Ἵνα τί, φησί, τοιαῦτα φθέγγῃ σὺ ὁ πάσης πεπληρωμένος σοφίας; ἵνα τί μολυσμὸν τὸ πρᾶγμα, καὶ αἰσχρὰν ἐκάλεσας μίξιν; οὐκ ἀμύητος γάρ εἰμι κἀγὼ τῶν χριστιανικῶν βιβλίων, ἀλλὰ πολλαῖς μὲν δέλτοις ἐν τῇ πατρίδι μου ἐνέτυχον, πολλῶν δὲ ὁμιλούντων μοι χριστιανῶν ἀκήκοα. Οὐ γέγραπται τοίνυν ἔν τινι τῶν καθ᾽ ὑμᾶς βιβλίων, «τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος;» (Ἑβραί. ιγ΄. 4). Καί, «κρεῖσσον γαμεῖν, ἢ πυροῦσθαι;» (Α΄. Κορινθ. ζ΄. 9). Καί, «ἃ ὁ Θεὸς συνέδησεν, ἄνθρωπος μὴ χωριζέτω;» (Ματθ. ιθ΄. 6). Οὐ πάντας τοὺς πάλαι δικαίους καὶ Πατριάρχας καὶ Προφήτας γάμῳ συναφθῆναι διδάσκουσιν αἱ γραφαὶ ὑμῶν; οὐ Πέτρον ἐκεῖνον, ὃν κορυφαῖον τῶν Ἀποστόλων φατὲ γεγονέναι, γαμετὴν γέγραπται ἐσχηκέναι; τίσιν οὖν αὐτὸς πειθόμενος, μολυσμὸν τοῦτο καλεῖς; πάνυ μοι δοκεῖς τῆς ἀληθείας τῶν δογμάτων ὑμῶν ἀποπλανᾶσθαι. Ὁ δέ,

www.tezaurliturgic.ro



ναί, φησίν, ὦ γύναι, οὕτως ἔχει ταῦτα, καθὼς εἴρηκας· ἐφεῖται γὰρ τοῖς βουλομένοις γάμῳ κοινωνεῖν, ἀλλ᾿ οὐ τοῖς ἅπαξ ἐπαγγειλαμένοις τῷ Χριστῷ παρθενεύειν. Ἐγὼ τοίνυν ἐξότε τῷ λουτρῷ ἐκαθαρίσθην τοῦ θείου βαπτίσματος τῶν τῆς νεότητος καὶ ἀγνοίας μου πταισμάτων, καθαρὸν ἐμαυτὸν παραστῆσαι τῷ Χριστῷ συνεταξάμην· καὶ πῶς τὰ ὡμολογημένα Θεῷ διαλῦσαι τολμήσω;

Ἔφη δὲ αὖθις ἡ γυνή· ἔστω καὶ τοῦτό σοι τὸ θέλημα καθὼς βούλει· ἄλλην δέ μικράν τινα καὶ οὐδαμινὴν πλήρωσον ἐπιθυμίαν μου, εἴπερ θέλεις τὴν ψυχήν μου σῶσαι· συγγενοῦ μοι ταύτῃ τῇ νυκτὶ καὶ μόνῃ, καὶ τοῦ σοῦ κατατρυφῆσαι ποίησον κάλλους, τῆς ἐμῆς τε αὐτὸς ἐμπλήσθητι ὡραιότητος, καὶ λόγον σοι δίδωμι, ἅμα πρωῒ χριστιανὴν γενέσθαι, καὶ πάσῃ δυνάμει ἐκφυγεῖν τὴν τῶν θεῶν μου λατρείαν· καὶ ἔσται σοι οὐ μόνον συγγνώμη τῆς οἰκονομίας ταύτης, ἀλλὰ καὶ δωρεῶν ἀντάμειψις παρὰ τῷ Θεῷ σου, ἕνεκα τῆς ἐμῆς σωτηρίας· «χαρὰ γάρ, φησί, γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι» (Λουκ. ιε΄. 7.). Εἰ οὖν χαρὰ γίνεται ἐν οὐρανῷ δι᾿ ἐπιστροφὴν ἁμαρτωλοῦ, τῷ προξένῳ τῆς ἐπιστροφῆς οὐ μέγας ἐποφείλεται μισθός; ναί, οὕτως ἔχει καὶ μὴ ἀμφίβαλλε. Οὐ πολλὰ δὲ καὶ οἱ ἀρχηγοὶ τῆς θρησκείας ὑμῶν Ἀπόστολοι κατ᾿ οἰκονομίαν ἐποίουν, παραβαίνοντες ἔσθ᾿ ὅτε ἐντολήν, ἕνεκα μείζονος ἐντολῆς; οὐ τὸν Παῦλον λέγεται περιτεμεῖν τὸν Τιμόθεον, ἕνεκα κρείτονος οἰκονομίας; καί τοι παράνομον χριστιανοῖς ἡ περιτομὴ λελόγισται· ἀλλ᾿ ὅμως ἐκεῖνος οὐ παρῃτήσατο τοῦτο ποιῆσαι· καὶ πολλὰ τοιαῦτα ἐν ταῖς γραφαῖς σου εὑρήσεις.

Εἰ οὖν κατὰ ἀλήθειαν σῶσαί μου τὴν ψυχὴν ζητεῖς, τὴν μικράν μου ταύτην ἐπιθυμίαν πλήρωσον· καὶ ἐγὼ μὲν τελείᾳ σοι κοινωνίᾳ γάμου συναφθῆναι ζητοῦσα, ἐπεί σοι οὐ καταθύμιόν ἐστι τοῦτο, οὐκέτι σε καταναγκάζω, τὰ ἀρεστά σοι πάντα ποιοῦσα· λοιπὸν καὶ αὐτὸς μὴ πάντῃ με βδελύξῃ, ἀλλ᾿ ὑπακούσας μου τὸ ἅπαξ τοῦτο, σώσεις με τῆς δεισιδαίμονος πλάνης ῥυσάμενος, τὰ δεδογμένα δέ σοι εἰς τὸ ἑξῆς ποιήσεις διὰ βίου παντός. Οὕτω λέγουσα, (καὶ γὰρ εἶχε τὸν εἰσηγούμενον, ᾧ καὶ ὦτα ὑπεῖχεν αὐτῷ κρυφίως, καὶ γραφῶν ἔμπειρος ὢν ὁ τῆς κακίας δημιουργὸς καὶ διδάσκαλος). Ταῦτα τοιγαροῦν λέγουσα καὶ ὑποσαίνουσα, δίκτυά τε καὶ παγίδας ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων αὐτῷ περιπλέκουσα, τὸν πύργον αὐτοῦ τῆς ψυχῆς διασαλεύειν ἤρχετο, τὸν τόνον τε ὑποχαλᾷν αὐτοῦ τῆς προθέσεως, καὶ τὴν γνώμην μαλακωτέραν ποιεῖν. Ὁ δὲ σπορεὺς τῆς κακίας, καὶ τῶν δικαίων ἐχθρός, σαλευομένην αὐτοῦ τὴν καρδίαν ἰδών, χαρᾶς ἔμπλεως γεγονώς,



φωνεῖ παρευθὺ τὰ σὺν αὐτῷ παραγενόμενα τῆς πονηρίας πνεύματα, ὁρᾶτε, κράζων, πῶς ἡ κόρη αὕτη διανύσαι ἐπείγεται, ἃ οὐκ ἠδυνήθημεν ἡμεῖς ἀνύσαι; Δεῦτε οὖν ἰσχυρῶς ἐπιπέσωμεν αὐτῷ· ἄλλον γὰρ καιρὸν οὐχ εὑρήσομεν οὑτωσὶ ἐπιτήδειον, τὸ θέλημα πληρῶσαι τοῦ πέμψαντος ἡμᾶς. Ταῦτα συλλαλήσας ὁ δολιόφρων τοῖς ἑαυτοῦ κυσίν, ἐπεμβαίνουσι τῷ τοῦ Χριστοῦ στρατιώτῃ, πάσας αὐτοῦ τῆς ψυχῆς τὰς δυνάμεις ταράξαντες, καὶ δεινὸν ἔρωτα τῆς κόρης ὑποθέμενοι, πῦρ σφοδρότατον ἐπιθυμίας ἐκκαύσαντες ἐν αὐτῷ. Ὁρῶν δὲ ἐκεῖνος ἑαυτὸν ἰσχυρῶς φλεγόμενον, καὶ πρὸς τὴν ἁμαρτίαν αἰχμαλωτιζόμενον, καὶ τοὺς λογισμοὺς αὐτοῦ τῆς κόρης τὴν σωτηρίαν, καὶ πρὸς Θεὸν ἐπιστροφὴν ἀγκίστρῳ δέλεαρ τῇ προκειμένῃ πράξει περιτιθεμένους, καὶ ὀχλοῦντας αὐτῷ τῇ τοῦ ἐχθροῦ ὑποβολῇ μὴ ἁμαρτίαν εἶναι τὸ ἐπὶ σωτηρίᾳ ψυχῆς ἅπαξ γυναικὶ συγγενέσθαι, στενάξας ἐν ἀπορίᾳ ψυχῆς βύθιόν τε καὶ τετηκός, ἑαυτὸν εὐθὺς πρὸς εὐχὴν συντείνει. Καὶ ὀχετοὺς δακρύων ἐξ ὀφθαλμῶν δαψιλῶς προχέων, ἐβόα πρὸς τὸν δυνάμενον σώζειν τοὺς ἐπ᾿ αὐτῷ πεποιθότας. Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου, τῆς σῆς ἐχομένου δεξιᾶς· ἀλλὰ παράστηθί μοι ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ κατὰ τὸ σὸν θέλημα εὔθυνον τὰς ὁδούς μου, ἵνα δοξασθῇ τὸ ὄνομά σου τὸ ἔνδοξον καὶ φοβερὸν ἐπ᾿ ἐμοὶ τῷ οἰκέτῃ σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐφ᾿ ἱκανὰς δὲ ὥρας μετὰ δακρύων εὐξάμενος, καὶ πολλὰ γονυκλιτήσας, καθῆκεν ἑαυτὸν ἐπὶ τοῦ ἐδάφους· καὶ ὑπνώσας μικρόν, ὁρᾷ ἑαυτὸν ὑπό τινων φοβερῶν ἁρπαγέντα, καὶ τόπους, οὓς οὐδέποτε ἑωράκει, διελθόντα· καὶ ἔν τινι γενόμενον μεγίστῃ πεδιάδι, ὡραίοις ἄνθεσι καὶ λίαν εὐώδεσι κομώσῃ, ἔνθα φυτὰ ἑώρα παντοδαπὰ καὶ ποικίλα, καρποῖς ξένοις τισὶ καὶ θαυμασίοις βρίθοντα, ἰδεῖν τε ἡδίστοις, καὶ ἅψεσθαι ποθεινοῖς· τά τε φύλλα τῶν δένδρων λιγυρὸν ὑπήχει, αὔρᾳ τινὶ λεπτοτάτῃ, καὶ ἀκόρεστον καὶ χαριεστάτην πέμποντα εὐωδίαν κινούμενα· θρόνοι τε ἀνέκειντο ἐκ καθαρωτάτου χρυσίου, καὶ λίθων τιμίων κατεσκευασμένοι, λαμπρὰν οἵαν αἴγλην ἀφιέντες· καὶ κλίναι ἐξάλλοις τισὶ στρωμναῖς, καὶ τῷ κάλλει τὴν διήγησιν νικώσαις, κατηγλαϊσμέναι· ὕδατά τε παρέῤῥει διαυγῆ λίαν, καὶ αὐτὰς εὐφραίνοντα τὰς ὁράσεις. Τὴν δὲ θαυμαστὴν ταύτην καὶ μεγάλην πεδιάδα οἱ φοβεροὶ ἐκεῖνοι διαγαγόντες αὐτόν, εἰς πόλιν εἰσήγαγον ἀῤῥήτῳ λαμπρότητι ἀποστίλβουσαν, ἐκ χρυσίου μὲν διαυγοῦς τὰ τείχη, λίθῳ δέ, ὃν οὐδεὶς πώποτε ἑώρακε, τὰς ἐπάλξεις ἔχουσαν ἀνεγηγερμένας. Ὢ! τίς ἂν ἐκείνης εἴποι τῆς πόλεως τὸ κάλλος καὶ τὴν φαι-

www.tezaurliturgic.ro



δρότητα; φῶς δὲ ἄνωθεν πυκνὰ ταῖς ἀκτῖσι διᾷττον, πάσας αὐτῆς τὰς πλατείας ἐπλήρου· καὶ ὑπόπτεροί τινες στρατιαί, αὐτὴ ἑκάστη φῶς οὖσαι, ταύτῃ ἐπεδήμουν, μέλος ᾄδουσαι, ἀκοῇ βροτείᾳ μηδέποτε ἀκουσθέν· καὶ φωνῆς ἤκουσε λεγούσης, αὕτη ἡ ἀνάπαυσις τῶν δικαίων· αὕτη ἡ εὐφροσύνη τῶν εὐαρεστησάντων τῷ Κυρίῳ.

Ἐκεῖθεν οὖν ἐξαγαγόντες οἱ φρικωδέστατοι ἄνδρες ἐκεῖνοι, εἰς τοὐπίσω ἄγειν ἔλεγον. Ὁ δέ, τῆς τερπνότητος ἐκείνης καὶ θυμηδίας ὅλος γενόμενος, μὴ στερήσητέ με, ἔλεγε, μὴ στερήσητε δυσωπῶ τῆς ἀῤῥήτου χαρᾶς ταύτης, ἀλλὰ δότε κἀμοὶ ἐν μιᾷ τῆς μεγίστης πόλεως ταύτης γωνίᾳ διαιτᾶσθαι. Οἱ δὲ ἀδύνατον εἶναί σε νῦν ἐνταῦθα ἔλεγον, ἀλλὰ κόπῳ πολλῷ καὶ ἱδρῶτι ἐλεύσῃ ὧδε, εἴπερ βιάσῃ ἑαυτόν. Ταῦτα εἰπόντες, καὶ τὴν μεγίστην αὖθις πεδιάδα διελθόντες, εἰς τόπους ἀπήνεγκαν σκοτεινούς, καὶ πάσης ἀηδίας πεπληρωμένους, ἰσόῤῥοπον τῆς ὁραθείσης φαιδρότητος τὸ λυπηρὸν κεκτημένους· σκότος γὰρ ἦν ἀφεγγές, καὶ ζοφερὸν παντελῶς· θλίψεως δὲ καὶ ταραχῆς τὸ πᾶν ἐπεπλήρωτο· ἔνθα κάμινος ἐξῆπτε πυρὸς ἀναφλεγομένη, καὶ σκωλήκων γένος ἦν κολαστικῶν ἕρπον ἐκεῖσε· δυνάμεις δὲ τιμωρητικαὶ ἐφεστῶσαι τῇ καμίνῳ, καί τινες ἐλεεινῶς τῷ πυρὶ κατακαιόμενοι· καὶ φωνὴ ἠκούετο λέγουσα· οὗτος ὁ τόπος τῶν ἁμαρτωλῶν· αὕτη ἡ κόλασις ἡ αἰωνίως βασανίζουσα τῶν πράξεσιν αἰσχραῖς ἑαυτοὺς μολυνάντων. Ἐπὶ τούτοις, ἐξήγαγον αὐτὸν ἐκεῖθεν οἱ καὶ εἰσαγαγόντες. Καὶ εἰς ἑαυτὸν ἐλθών, ἔντρομος ἦν ὅλος· δάκρυα δὲ ποταμηδὸν κατέῤῥεον οἱ ὀφθαλμοὶ αὐτοῦ· πᾶσα δὲ ἡ ὡραιότης τῆς ἀκολάστου κόρης ἐκείνης καὶ τῶν λοιπῶν, δυσωδεστέρα βορβόρου καὶ σαπρίας αὐτῷ λελόγιστο· στρέφων δὲ ἐν τῇ ψυχῇ τῶν ὁραθέντων τὴν μνήμην, τῷ πόθῳ τῶν ἀγαθῶν, καὶ τῷ φόβῳ τῶν ἀνιαρῶν ἐκείνων, ἐπὶ τῆς κλίνης κατέκειτο, ἥκιστα ἐγερθῆναι δυνάμενος.

Ἀνηγγέλη δὲ τῷ βασιλεῖ ἡ τοῦ υἱοῦ ἀῤῥωστία· καὶ ὅς, ἐλθών, ἐπηρώτα τί τὸ συμβάν. Ὁ δὲ τὰ ὁραθέντα αὐτῷ διηγεῖται, καί φησιν. «Ἵνα τί παγίδα ἡτοίμασας τοῖς ποσί μου, καὶ κατέκαμψας τὴν ψυχήν μου; Εἰ μὴ γὰρ Κύριος ἐβοήθησέ μοι, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Ἀλλ' ὡς ἀγαθὸς ὁ Θεὸς τοῖς εὐθέσι τῇ καρδίᾳ» (Ψαλμ. νϛʹ. 7. Ψαλμ. ηγʹ. 17. Ψαλμ. οβʹ. 1.), ὃς καὶ τὴν ἐμὴν ἐῤῥύσατο ταπείνωσιν. Ἐν μέσῳ σκύμνων ἐκοιμήθην τεταραγμένος, ἀλλ' ἐπεσκέψατό με ἐξ ὕψους ὁ Θεὸς ὁ σωτήρ μου, καὶ ἐδίδαξέ με οἵων ἀπεστέρησαν ἀγαθῶν ἑαυτοὺς οἱ παροργίζοντες αὐτόν, οἵων δὲ κολάσεων ὑπευθύνους εἰργάσαντο. Καὶ νῦν, ὦ πάτερ, ἐπεί σου τὰ ὦτα ἔβυσας τοῦ μὴ ἀκοῦσαί μου τῆς φωνῆς τὰ ἀγαθά σοι ἐπᾳδούσης, κἂν ἐμὲ μὴ



κώλυε τὴν εὐθεῖαν βαδίσαι ὁδόν· τοῦτο γὰρ ποθῶ, τοῦτο ἐφίεμαι, τοῦ πάντων ἀπαλλαγῆναι, καὶ τόπους καταλαβεῖν, ἔνθα Βαρλαὰμ ὁ Χριστοῦ θεράπων τὰς οἰκήσεις ἔχει, καὶ σὺν αὐτῷ τὸ λοιπὸν τῆς παρούσης μου διανύσαι ζωῆς. Εἰ δὲ βίᾳ κατασχεῖν με θελήσειας, ὄψει με θᾶττον τῇ λύπῃ καὶ ἀδημονίᾳ νεκρόν· καὶ οὔτε σὺ πατὴρ τὸ λοιπὸν κληθήσῃ, οὔτε υἱόν με ἕξεις. Πάλιν οὖν ἀθυμία κατέσχε τὸν βασιλέα· πάλιν ἀπελέγετο ὅλην αὐτοῦ τὴν ζωήν· καὶ δεινὰ στρέφων ἐν ἑαυτῷ, εἰς τὸ ἴδιον ἀπῄει παλάτιον. Τὰ δὲ παρὰ τοῦ Θευδᾶ ἀποσταλέντα τῆς πονηρίας πνεύματα κατὰ τοῦ θείου παιδός, ἐπανελθόντα πρὸς αὐτὸν κατῃσχυμένα, τὴν ἧτταν ἀνωμολόγει, καίτοι ψευδῆ ὄντα· σύμβολα γὰρ σαφῆ τῆς ἥττης ἔφερον ἐπὶ τῆς πονηρᾶς αὐτῶν ὄψεως. Ὁ δέ, οὕτω, φησίν, ἀσθενεῖς ὑμεῖς καὶ ταλαίπωροι, ὡς ἑνὸς μειρακίου μὴ περιγενέσθαι; Τότε τὰ πονηρὰ πνεύματα θείᾳ δυνάμει τιμωρούμενα, εἰς φῶς ἄκοντα τὴν ἀλήθειαν ἦγον. Οὐχ ὑπομένομεν, λέγοντα, οὐδὲ ἀντοφθαλμῆσαι ὅλως τῇ τοῦ Χριστοῦ δυνάμει, καὶ τῷ συμβόλῳ τοῦ πάθους αὐτοῦ, ὃν Σταυρὸν καλοῦσιν· ἐκείνου γὰρ τυπουμένου, φθάνομεν ἀνὰ κράτος φεύγοντές τε καὶ διωθούμενοι πάντες οἱ τοῦ ἀέρος ἄρχοντες καὶ κοσμοκράτορες τοῦ σκότους, πρὶν ἢ τελείως αὐτὸ τυπωθῆναι. Ὅθεν καὶ τῷ νεανίσκῳ τούτῳ ἐπιπεσόντες, δεινῶς ἐταράξαμεν. Ὁ δέ, τὸν Χριστὸν ἐπικαλεσάμενος εἰς συμμαχίαν, καὶ τῷ σημείῳ τοῦ Σταυροῦ καθοπλίσας ἑαυτόν, ἡμᾶς τε διώσατο μετ' ὀργῆς, καὶ ἀσφάλειαν ἰσχυρὰν ἑαυτῷ ἔθετο. Μὴ μελήσαντες οὖν, εὕρομεν ὄργανον, δι' οὗ καὶ τῷ πρωτοπλάστῳ ὡμίλησέ ποτε ὁ ἄρχων ἡμῶν, καὶ τοῦτον ἐχειρώσατο· καὶ δὴ παρ' οὐδὲν ἐθέμεθα ἂν καὶ ἡμεῖς τὴν ἐλπίδα τοῦ νέου. Ἀλλ' ἐπικληθεὶς αὖθις ὁ Χριστὸς εἰς συμμαχίαν, πυρὶ τῆς ἄνωθεν ὀργῆς ἡμᾶς καταφλέξας, φυγάδας εἰργάσατο· καὶ ἔγνωμεν μηκέτι πλησιάσαι αὐτῷ. Οὕτω μὲν οὖν τὰ πονηρὰ πνεύματα σαφῶς ἐγνώρισε τῷ Θευδᾷ τὰ γεγενημένα.

Ὁ δὲ βασιλεὺς πάντοθεν ἀπορούμενος, τὸν Θευδᾶν αὖθις προσκαλεῖται, καί φησι· τὰ μὲν δεδογμένα σοι, σοφώτατε, πάντα πληρώσαντες, οὐδεμίαν τὴν ὠφέλειαν εὕρομεν. Νυνὶ δὲ εἴ τις σοι ἐπίνοια ἑτέρα ὑπολέλειπται, κἀκείνης πεῖραν ληψώμεθα, ἴσως εὕρω τινὰ τοῦ κακοῦ λύσιν. Αἰτησαμένου δὲ τοῦ Θευδᾶ εἰς ὁμιλίαν ἐλθεῖν τοῦ υἱοῦ, ἕωθεν συμπαραλαβὼν αὐτὸν ὁ βασιλεύς, εἰς ἐπίσκεψιν ἀπέρχεται τοῦ υἱοῦ· καὶ καθίσας, λόγους ἐκίνησεν ὀνειδίζων αὐτὸν καὶ μεμφόμενος ἐπὶ τῇ ἀνηκοΐᾳ αὐτοῦ, καὶ ἀνενδότῳ γνώμῃ. Ἐκείνου δὲ τὰ αὐτὰ αὖθις βεβαιοῦντος, καὶ μηδὲν προτιμᾶν τῆς Χριστοῦ ἀγάπης βοῶντος, παρελθὼν εἰς μέσον ὁ Θευδᾶς, ἔφη· τί κατέγνως, ὦ Ἰωάσαφ, τῶν ἀθανά-

www.tezaurliturgic.ro



των ἡμῶν θεῶν, ὅτι τῆς αὐτῶν ἀπέστης λατρείας, καὶ τὸν σὸν πατέρα καὶ βασιλέα οὕτω παροργίζων, μισητὸς παντὶ γέγονας τῷ λαῷ; οὐχὶ παρ' αὐτῶν σοι τὸ ζῆν; οὐκ αὐτοὶ παρέσχον σε τῷ πατρί, τῆς αὐτοῦ ἀκούσαντες εὐχῆς, καὶ τῶν τῆς ἀτεκνίας δεσμῶν λυτρωσάμενοι; Πολλὰς δὲ ματαιολογίας καὶ ἀνωφελεῖς προτάσεις ὁ ἐν κακοῖς γηράσας προβαλλόμενος, καὶ συλλογισμοὺς ῥάπτων περὶ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου, βουλόμενος τοῦτο μὲν χλευάζειν, τὰ δὲ τῶν εἰδώλων κρατύνειν, ὀλίγον ἐπισχὼν ὁ τῆς ἄνω βασιλείας υἱός, καὶ τῆς πόλεως ἐκείνης πολίτης, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, φησὶ πρὸς τὸν Θευδᾶν.

### Διδασκαλία θεολογικωτάτη τοῦ θείου Ἰωάσαφ πρὸς Θευδᾶν, καὶ ὀνειδισμοὶ πρὸς αὐτὸν κατάλληλοι, καὶ στηλίτευσις τῶν εἰδώλων.

Ἄκουσον, ὦ πλάνης βυθέ, καὶ ψηλαφητοῦ σκότους ζοφωδέστερε· τὸ βαβυλώνιον σπέρμα· τὸ τῆς χαλανικῆς πυργοποιΐας ἔγγονον, δι' ἧς ὁ κόσμος συνεχύθη· ματαιόφρον, καὶ ἄθλιε γέρον· οὗπερ καὶ ἡ πυρὶ καὶ θείῳ κατακαυθεῖσα Πεντάπολις, ἐλαφροτέρα τοῖς ἁμαρτήσασι γέγονε. Τί χλευάζειν ἐπιχειρεῖς τὸ τῆς σωτηρίας κήρυγμα, δι' οὗ τὰ ἐσκοτισμένα ἐφωτίσθη, δι' οὗ οἱ πεπλανημένοι τὴν ὁδὸν εὗρον, δι' οὗ οἱ ἀπολωλότες, καὶ δεινῶς αἰχμαλωτισθέντες ἀνεκλήθησαν; τί κρεῖττον εἰπέ μοι; Θεῷ λατρεύειν παντοκράτορι, σὺν Υἱῷ μονογενεῖ καὶ Πνεύματι ἁγίῳ, Θεῷ ἀκτίστῳ καὶ ἀθανάτῳ, τῇ ἀρχῇ καὶ πηγῇ τῶν ἀγαθῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, ᾧ παρειστήκεισαν χίλιαι χιλιάδες, καὶ μύριαι μυριάδες Ἀγγελικῶν ταγμάτων καὶ οὐρανίων, καὶ πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ, δι' οὗ τὰ πάντα ἐκ μὴ ὄντος παρήχθη, δι' οὗ κρατεῖται τὸ πᾶν καὶ συνέχεται, καὶ τῇ προνοίᾳ αὐτοῦ διοικεῖται· τούτῳ βέλτιον λατρεύειν, ἢ δαίμοσιν ὀλεθρίοις καὶ ἀψύχοις εἰδώλοις, ὧν ἡ δόξα καὶ ὁ ἔπαινος μοιχεία ἐστί, καὶ παιδοφθορία, καὶ τὰ λοιπὰ τῆς ἀνομίας ἔργα, ἃ περὶ τῶν ὑμετέρων ἀναγέγραπται θεῶν ἐν τοῖς συντάγμασι τῆς δεισιδαιμονίας ὑμῶν; Οὐκ αἰδεῖσθε ταλαίπωροι; πυρὸς ἀκοιμήτου βορά; ὁμοίωμα γένους χαλδαϊκοῦ; οὐκ αἰσχύνεσθε νεκρὰ ξόανα προσκυνοῦντες, χειρὸς ἀνθρωπίνης ἔργα; λίθον γὰρ λαξεύσαντες, ἢ ξύλον τεκτονεύσαντες, Θεὸν προσηγορεύσατε· εἶτα τὸν κάλλιστον ἐκ βουκολίων ταῦρον λαβόντες, ἢ ἄλλο τυχὸν τῶν εὐπρεπεστάτων ζώων, νεκρῷ σεβάσματι θύετε. Ἀνόητοι, τιμιώτερον ἔσται ὑμῶν τοῦ σεβάσματος τὸ θῦμα· τὸ μὲν γὰρ ξόανον, ἄνθρωπος ἐποίησε· τὸ δὲ ζῶον, ὁ Θεὸς ἐδη-



μιούργησε. Καὶ πόσον σοῦ μᾶλλον τοῦ λογικοῦ συνετώτερόν ἐστι τὸ ἄλογον ζῶον; τὸ μὲν γὰρ οἶδε τὸν τρέφοντα, σὺ δὲ τὸν Θεὸν ἠγνόησας· δι' οὗ ἐκ τοῦ μὴ ὄντος παρήχθης· δι' οὗ ζῇς καὶ συντετήρησαι· καὶ καλεῖς θεόν, ὃν πρὸ μικροῦ ἔβλεπες σιδήρῳ τυπτόμενον, καὶ πυρὶ χωνευόμενον, καὶ σφύραις ἐλαυνόμενον· ὃν ἄργυρον καὶ χρυσὸν περιέθηκας, καὶ χαμόθεν ὑψώσας, ἐφ' ὑψηλοῦ μετεώρησας· εἶτα, πεσὼν ἐπὶ τῆς γῆς, τοῦ ταπεινοῦ λίθου κεῖσαι ταπεινότερος, προσκυνῶν οὐ Θεόν, ἀλλὰ τὰ ἔργα τῶν χειρῶν σου, τὰ νεκρὰ καὶ ἄψυχα ξόανα· μᾶλλον δὲ οὐδὲ νεκρὸν ἂν εἴη δίκαιον καλεῖσθαι τὸ εἴδωλον· πῶς γὰρ νεκρὸν ἂν εἴη, τὸ μηδέποτε ζῆσαν;

Ἀλλὰ τί καινὸν ἔδει ἐφευρεῖν αὐτῷ ὄνομα, καὶ τῆς τοσαύτης παραφροσύνης ἐπάξιον; ὁ μὲν λίθινος θρύπτεται· ὁ δὲ ὀστράκινος κατάγνυται· ὁ ξύλινος φθείρεται· ὁ χαλκοῦς ἰοῦται· ὁ χρυσοῦς καὶ ἀργύρεος χωνεύεται· ἀλλὰ καὶ πιπράσκονται οἱ θεοί σου· οἱ μὲν εὐώνως, οἱ δὲ τιμῆς ὅτι πλείστης· οὐχ ἡ θεότης γὰρ αὐτοῖς, ἀλλ' ἡ ὕλη τὴν πολυτέλειαν δίδωσι. θεὸν δὲ τίς ἀγοράζει; θεὸν τίς πωλεῖ; θεὸς δὲ ἀκίνητος πῶς ὀνομάζεται; ἢ οὐχ ὁρᾷς, ὅτι ὁ μὲν ἑστὼς οὐδέποτε καθέζεται, ὁ δὲ καθεζόμενος οὐδέποτε ἀνίσταται; Αἰσχύνθητι, ἀνόητε· χεῖρα θὲς ἐπὶ στόματι, μεμωραμένε, τὰ τοιαῦτα ἐπαινῶν· τῆς ἀληθείας γὰρ ἀλλοτριωθείς, ψευδέσι τύποις ἐπλανήθης· ἀγάλματα πλάττων, καὶ τοῖς ἔργοις τῶν χειρῶν σου θεοῦ περιτιθεὶς ὄνομα· ἀνάνηψον, ἄθλιε, καὶ σύνες, ὅτι πρεσβύτερος εἶ τοῦ ὑπὸ σοῦ γενομένου θεοῦ· ταῦτα πολλῆς ἐστιν ἀνοίας· πέπεικας δὲ σαυτὸν ἄνθρωπος ὤν, θεὸν δύνασθαι ποιεῖν· καὶ πῶς ἐνδέχεται τοῦτο γενέσθαι; ὥστε οὐ θεὸν ποιεῖς, ἀλλὰ μόρφωσιν ἀνθρώπου, ἢ ζώου τινός, μὴ γλῶσσαν ἔχον, μὴ λάρυγγα, μὴ ἐγκέφαλον, μήτε τῶν ἐντός τι· ὥστε οὔτε ἀνθρώπου ἐστὶν ὁμοίωμα, οὔτε ζώου, ἀλλ' ἄχρηστον πάντῃ, καὶ ματαιότητος πλῆρες. Τί οὖν τὰ ἀναίσθητα κολακεύεις; τί τοῖς ἀκινήτοις καὶ ἀνωφελέσι προσκάθησαι; Εἰ μὴ τέχνη παρῆν τοῦ λιθοξόου, ἢ τοῦ τέκτονος, ἢ τοῦ σφυροκόπου, θεὸν οὐκ ἂν εἶχες. Εἰ μὴ φύλακες παρεκάθηντο, ἀπώλεσας ἂν τὸν θεόν σου· ὃ γὰρ πολλάκις πόλις πολυάνθρωπος ἀφρόνων εὔχεται ὡς θεῷ διαφυλαχθῆναι, τούτῳ ὀλίγοι παραμένουσι φύλακες, ἵνα μὴ κλαπῇ. Καὶ εἰ μὲν ἀργυροῦς, ἢ χρυσοῦς ἔσται, ἐπιμελῶς φυλάσσεται· ἐὰν δὲ λίθινος, ἢ πήλινος, ἢ ἄλλης τινὸς τοιαύτης εὐτελεστέρας ὕλης, ἑαυτὸν φυλάσσει· ἰσχυρότερος γὰρ ἴσως ἐστὶν ὁ πήλινος καθ' ὑμᾶς τοῦ χρυσοῦ.

Οὐκ εἰκότως ἐστὶν ὑμᾶς τοὺς ἄφρονας, ὡς τυφλοὺς καὶ ἀσυνέτους δικαίως καταγελᾶσθαι, μᾶλλον δὲ πενθεῖσθαι; μανίας γὰρ τὰ ἔργα ὑ-

www.tezaurliturgic.ro



μῶν οὐκ εὐσεβείας ἐστίν. Ὁ μὲν γάρ, πόλεμον ἀσκήσας, στρατιωτικῆς ἀντίμιμον ἰδέας ξόανον ἱδρύσας, ἐκάλεσεν Ἄρην· ὁ δέ, γυναικομανοῦς ἐπιθυμίας τὴν ψυχὴν ἀνατυπωσάμενος, ἐθεοποίησε τὸ πάθος, Ἀφροδίτην προσονομάσας· ἄλλος τῆς ἑαυτοῦ φιλοινίας ἕνεκεν, ἔπλασεν εἴδωλον, ὅπερ ἐκάλεσε Διόνυσον· ὁμοίως δὲ καὶ οἱ τῶν ἄλλων κακῶν ἐπιθυμηταί, τῶν ἰδίων παθῶν ἔστησαν εἴδωλα· τὰ πάθη γὰρ αὐτῶν θεοὺς ὠνόμασαν. Καὶ διὰ τοῦτο παρὰ τοὺς αὐτῶν βωμούς, ἡδυπαθεῖς εἰσιν ὀρχήσεις, πορνικῶν ᾀσμάτων ἦχοι, καὶ μανιώδεις ὁρμαί. Τίς δὲ αὐτῶν καθεξῆς τὴν βδελυρὰν ἐξείποι πρᾶξιν; τίς ἀνέξεται, τὰς ἐκείνων αἰσχρουργίας καταλέγων, τὸ ἑαυτοῦ μολῦναι στόμα; ἀλλὰ πᾶσι δῆλα, κἂν ἡμεῖς σιωπῶμεν. Ταῦτά σου τὰ σεβάσματα, Θευδᾶ, τῶν ξοάνων ἀναισθητότερε. Τούτοις με ἐπιτρέπεις προσκυνεῖν; ταῦτα σέβεσθαι; τῆς σῆς ὄντως κακουργίας, καὶ ἀσυνέτου γνώμης ἡ βουλή· ἀλλ' ὅμοιος αὐτῶν γένοιο, σύ τε καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ἐγὼ δὲ τῷ Θεῷ μου λατρεύσω, καὶ αὐτῷ θύσω ὅλον ἐμαυτόν· τῷ Θεῷ καὶ κτίστῃ καὶ προνοητῇ τῶν ἁπάντων, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν· δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν Πατέρα τῶν φώτων ἐν Πνεύματι ἁγίῳ· δι' οὗ ἐξηγοράσθημεν τῆς πικρᾶς δουλείας ἐν τῷ αἵματι αὐτοῦ. Εἰ μὴ γὰρ ἐταπείνωσεν ἑαυτὸν μέχρι καὶ δούλου μορφῆς, οὐκ ἂν ἡμεῖς τῆς υἱοθεσίας ἠξιώθημεν. Ἐταπεινώθη οὖν δι' ἡμᾶς, οὐχ ἁρπαγμὸν ἡγούμενος τὴν Θεότητα, ἀλλ' ὃ ἦν διέμεινε, καὶ ὃ οὐκ ἦν προσέλαβεν· ὡμίλησε τοῖς ἀνθρώποις· ἀνῆλθεν ἐν σταυρῷ τῇ σαρκὶ αὐτοῦ· ἐτέθη τάφῳ ἐπὶ τρισὶν ἡμέραις· κατῆλθεν ἐν τῷ ᾅδῃ· ἐξήγαγεν οὓς κατεῖχε δεσμίους ὁ δεινὸς κοσμοκράτωρ, πεπραμένους ὑπὸ τῆς ἁμαρτίας. Τίς οὖν ἐγένετο βλάβη αὐτῷ ἐκ τούτων, ὅτι χλευάζειν δοκεῖς; Οὐχ ὁρᾷς τὸν ἥλιον τοῦτον, πόσοις καταπέμπει τὴν ἀκτῖνα τόποις ἀχρήστοις καὶ ῥυπαροῖς; πόσα σώματα βλέπει ὀδωδότα; μή τις αὐτῷ προστρίβεται μῶμος; οὐ τὰ ῥυπαρὰ μὲν καὶ σεσηπότα ξηραίνει καὶ συσφίγγει, τὰ ἐσκοτισμένα δὲ φωτίζει, καὶ αὐτὸς ἀσινὴς πάντῃ καὶ ἀνεπίδεκτος παντὸς ὑπάρχει ῥύπου; Τί δὲ τὸ πῦρ; οὐ τὸν σίδηρον μέλανα λαβὸν ἐν ἑαυτῷ καὶ ψυχρόν, φλογοειδῆ ὅλον καὶ πεπυρακτωμένον ἐργάζεται; μή τι μετέλαβε τῶν ἰδιωμάτων τοῦ σιδήρου; μή, τυπτομένου τοῦ σιδήρου σφύραις καὶ μαστιζομένου, πάσχει τι τὸ πῦρ, ἢ βλάβην ὅλως ὑφίσταται;

Εἰ οὖν τὰ κτιστὰ ταῦτα καὶ φθαρτὰ οὐδὲν ἀπὸ τῆς κοινωνίας τῶν εὐτελεστέρων παθαίνειν πέφυκε, τίνι λόγῳ, ἀνόητε σύ, καὶ λιθοκάρδιε, χλευάζειν με τολμᾷς λέγοντα, ὅτι ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ οὐδόλως ἐκστὰς τῆς πατρικῆς δόξης, ἀλλ' ὁ αὐτὸς ὢν Θεός, ἐπὶ σω-



τηρίᾳ τῶν ἀνθρώπων ἀνείληφε σῶμα ἀνθρώπινον, ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς ποιήσῃ τῆς θείας καὶ νοερᾶς φύσεως, καὶ ἐκ τῶν καταχθονίων τοῦ ᾅδου ἐξαγαγὼν τὴν ἡμῶν οὐσίαν, τῇ οὐρανίῳ τιμήσῃ δόξῃ, ἵνα τὸν ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος τούτου, τῇ προσλήψει τῆς σαρκὸς δελεάσας χειρώσηται, καὶ τὸ γένος ἡμῶν τῆς αὐτοῦ τυραννίδος ἐλευθερώσειεν; Ἔνθεν τοι καὶ ἀπαθῶς προσομιλεῖ τῷ πάθει τοῦ Σταυροῦ, τὰς δύο παριστῶν φύσεις αὐτοῦ· ὡς μὲν γὰρ ἄνθρωπος σταυροῦται, ὡς δὲ Θεὸς σκοτίζει τὸν ἥλιον, κλονεῖ τὴν γῆν, καὶ πολλὰ κεκοιμημένα ἐγείρει σώματα ἐκ μνημάτων· πάλιν, ὡς ἄνθρωπος θνήσκει, ὡς δὲ Θεὸς ἐξανίσταται, σκυλεύσας τὸν ᾅδην. Διὸ κέκραγεν ὁ προφήτης· «ὁ ᾅδης ἐπικράνθη συναντήσας σοι κάτω· ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη» (Ἠσαΐ. ιδ'. 9)· ἄνθρωπον δοκῶν λαβεῖν ψιλόν, τῷ Θεῷ δὲ περιτυχών, κενὸς ἐξαίφνης γέγονε καὶ αἰχμάλωτος. Ἐγείρεται τοιγαροῦν ὡς Θεός, καὶ ἀνέρχεται εἰς τοὺς οὐρανούς, ὅθεν οὐδαμῶς ἐχωρίσθη· καὶ τὴν φύσιν ἡμῶν τὴν εὐτελῆ, τὴν πάντων ἀσυνετωτέραν, τὴν ἀγνώμονα καὶ ἠτιμωμένην, πάντων ἀνωτέραν πεποίηκε, καὶ ἐπὶ θρόνου δόξης ἐνίδρυσε, δόξης ἀποστίλβουσαν ἀθανάτου. Τίς οὖν αὐτῷ τῷ Θεῷ καὶ Λόγῳ προσεγένετο ἐντεῦθεν βλάβη, ὅτι βλασφημεῖν οὐκ ἐρυθριᾷς; Τί δαί; βέλτιον ταῦτα ὁμολογεῖν, καὶ τοιοῦτον σέβεσθαι Θεόν, ἀγαθὸν καὶ φιλάνθρωπον, ὃς ἐντέλλεται δικαιοσύνην, ἐγκράτειαν ἐπιτάσσει, καθαρότητα νομοθετεῖ, ἐλεεῖν διδάσκει, πίστιν παρέχει, εἰρήνην κηρύττει, αὐτοαλήθεια ὀνομάζεται καὶ ἔστιν, αὐτοαγάπη, αὐτοαγαθότης, τοῦτον βέλτιον σέβεσθαι, ἢ τοὺς θεούς σου, τοὺς κακοὺς καὶ πολυπαθεῖς, τοὺς αἰσχροὺς καὶ τοῖς πράγμασι καὶ τοῖς ὀνόμασιν; Οὐαὶ ὑμῖν, τῶν λίθων λιθωδέστεροι, καὶ τῶν ἀλόγων ἀλογώτεροι· τῆς ἀπωλείας υἱοί· τοῦ σκότους κληρονόμοι. Μακάριος δὲ ἐγώ, καὶ πάντες οἱ χριστιανοί, Θεὸν ἔχοντες ἀγαθὸν καὶ φιλάνθρωπον· οἱ γὰρ αὐτῷ λατρεύοντες, κἂν ὀλίγον χρόνον ἐν τῷ νῦν αἰῶνι κακοπαθήσωσιν, ἀλλὰ τὸν ἀθάνατον τῆς ἀνταποδόσεως καρπὸν τρυγήσουσιν, ἐν τῇ βασιλείᾳ τῆς ἀτελευτήτου καὶ θείας μακαριότητος.

Ἔφη δὲ πρὸς αὐτὸν ὁ Θευδᾶς· ἰδοὺ φανερόν ἐστιν, ὅτι τὴν καθ' ἡμᾶς θρησκείαν πολλοὶ καὶ μεγάλοι σοφοί, καὶ ἐξηγηταί, καὶ θαυμαστοὶ τὴν ἀρετὴν καὶ ἐπιστήμην ἐνομοθέτησαν· καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς καὶ δυνάσται, ὡς καλὴν καὶ μηδὲν σφαλερὸν ἔχουσαν ἐδέξαντο· τὴν δὲ τῶν Γαλιλαίων, ἄγροικοί τινες, πτωχοί τε καὶ εὐτελεῖς ἐκήρυξαν ἄνδρες, καὶ αὐτοὶ εὐαρίθμητοι, καὶ μὴ τῶν δώδεκα τὸ μέτρον ὑπερβαίνοντες. Πῶς οὖν τῶν ὀλίγων, ἀσήμων τε καὶ ἀγροίκων τὸ κήρυγμα, προτιμητέον τῆς τῶν πολλῶν καὶ μεγάλων, καὶ σοφίᾳ

www.tezaurliturgic.ro



τοσαύτη λαμψάντων νομοθεσίας; Τίς δὲ ἡ ἀπόδειξις τούτους μὲν ἀληθεύειν, κἀκείνους ψεύδεσθαι; Αὖθις ὁ τοῦ βασιλέως υἱὸς ἀπεκρίνατο· τάχα, Θευδᾶ, ὄνος εἶ, τὸ τοῦ λόγου, λύρας ἀκούων, καὶ ἀσύνετος μᾶλλον δὲ ἀσπίς, βύων τὰ ὦτα τοῦ μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων. Καλῶς οὖν ὁ προφήτης εἶπε περὶ σοῦ, «εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ σὺ δυνήσῃ εὖ ποιῆσαι μεμαθηκὼς κακά» (Ἰερ. ιγ'. 23). Μωρὲ καὶ τυφλέ, πῶς οὐκ ἄγει σε εἰς αἴσθησιν ἡ τῆς ἀληθείας ἰσχύς; τοῦτο γὰρ αὐτό, τὸ παρὰ πολλῶν μὲν ἐπὶ σοφίᾳ θαυμαζομένων ἐπαινεῖσθαι τὰ μιαρά σου σεβάσματα, παρὰ πολλῶν δὲ βασιλέων κρατύνεσθαι, τὸ δὲ κήρυγμα τοῦ Εὐαγγελίου παρ' ὀλίγων καὶ ἀσήμων ἀνδρῶν κηρυχθῆναι, δεικνύει τῆς θεοσεβείας ἡμῶν τὴν ἰσχύν, καὶ τῶν ὑμετέρων πονηρῶν δογμάτων τὸ ἀσθενὲς καὶ ὀλέθριον. Ὅτι τὰ μὲν ὑμέτερα καὶ συνηγόρους ἔχοντα σοφούς, καὶ ἀντιλήπτορας ἰσχυρούς, ὅμως σβέννυται καὶ ἀσθενεῖ· τὰ δὲ τῆς θεοσεβείας μηδεμίαν ἀνθρωπίνην κεκτημένα βοήθειαν, λάμπει τηλαυγέστερον ἡλίου, καὶ τοῦ κόσμου κατέσχε τὰ πληρώματα.

Εἰ μὲν γὰρ παρὰ ῥητόρων καὶ φιλοσόφων ἐξετέθη, βασιλεῖς δὲ καὶ δυνάστας εἶχε συνεργοῦντας, εὗρες ἂν σὺ ὁ πονηρὸς εἰπεῖν, ἀνθρωπίνης δυνάμεως τὸ πᾶν γεγενῆσθαι. Νυνὶ δέ, ὁρῶν παρὰ ἁλιέων μὲν εὐτελῶν τὸ ἅγιον συντεθῆναι Εὐαγγέλιον, παρὰ πάντων δὲ τῶν τυράννων διωχθέν, καὶ μετὰ τοῦτο τὴν οἰκουμένην κατασχόν, «εἰς πᾶσαν γάρ, φησί, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν» (Ψαλμ. ιή. 4), τί ἂν εἴποις, ἢ θείαν εἶναί τινα καὶ ἄμαχον δύναμιν, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τὰ ἑαυτῆς βεβαιοῦσαν; Τίνα δὲ ἀπόδειξιν ζητεῖς. ἀνόητε, τοῦ ψεύδεσθαι μὲν τοὺς σούς, ἀληθεύειν δὲ τοὺς ἡμετέρους, κρείττονα τῶν εἰρημένων; Εἰ μὴ γὰρ λῆρος ἦν καὶ ψεῦδος πάντα τὰ σά, οὐκ ἂν τοσαύτην ἔχοντα παρὰ ἀνθρώπων ἰσχύν, ἠλαττοῦτο καὶ ἐξησθένει. «Εἶδον γάρ, φησί, τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ» (Ψαλμ. λς'. 35). Περὶ ὑμῶν ταῦτα εἴρηκεν ὁ προφήτης τῶν ὑ α πιστῶν τῆς εἰδωλομανίας· μικρὸν γὰρ ὅσον ὅσον, καὶ οὐ μὴ εὑρεθῇ ὁ τόπος ὑμῶν· ἀλλ' ὡς ἐκλείπει καπνὸς ἐκλείψεσθε, καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπολεῖσθε[1]. Περὶ δὲ τῆς εὐαγγελικῆς θεογνωσίας εἶπεν ὁ Κύριος· «ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι» (Ματθ. κδ'. 35). Καὶ αὖθις

[1] Ὅρα προφητείαν ἐναργεστάτην τοῦ μακαρίου Ἰωάσαφ.



ὁ Ψαλμῳδός φησι· «κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι» (Ψαλμ. ρά. 26).

Καὶ οἱ μὲν θεῖοι κήρυκες τῆς τοῦ Χριστοῦ παρουσίας, οἱ σοφοὶ τῆς οἰκουμένης ἁλιεῖς, οἱ πάντας ἑλκύσαντες τοῦ βυθοῦ τῆς ἀπάτης, οὓς ὁ εὐτελὴς σύ, καὶ δοῦλος ὄντως τῆς ἁμαρτίας ἐξευτελίζεις, ἔλαμψαν σημείοις καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσιν, ὡς ὁ ἥλιος ἐν τῷ κόσμῳ· τυφλοῖς τὸ φῶς δωρούμενοι· κωφοῖς τὸ ἀκούειν· χωλοῖς τὸ περιπατεῖν· νεκροῖς τὸ ζῆν χαριζόμενοι· αἱ σκιαὶ γὰρ αὐτῶν μόναι, πάντα τὰ πάθη τῶν ἀνθρώπων ἐθεράπευον· δαίμονας, οὓς ὑμεῖς φοβεῖσθε ὡς θεούς, οὐ μόνον τῶν ἀνθρωπίνων ἀπήλαυνον σωμάτων, ἀλλὰ καὶ αὐτῆς ἐδίωκον τῆς οἰκουμένης τῷ τοῦ Σταυροῦ σημείῳ· δι' οὗ, πᾶσαν μὲν ἠφάνισαν μαγείαν, πᾶσαν δὲ φαρμακείαν ἀνενέργητον ἔδειξαν. Καὶ ἐκεῖνοι μὲν οὕτω τὴν ἀνθρωπίνην ἰασάμενοι ἀσθένειαν τῇ τοῦ Χριστοῦ δυνάμει, καὶ τὴν κτίσιν πᾶσαν καινουργήσαντες ὡς τῆς ἀληθείας κήρυκες, θαυμάζονται παρὰ πάντων εἰκότως τῶν εὖ φρονούντων. Τί δὲ αὐτὸς ἔχεις εἰπεῖν περὶ τῶν σοφῶν σου καὶ ῥητόρων, ὧν ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν; τῶν συνηγόρων τοῦ διαβόλου; τί μνήμης ἄξιον κατέλιπον τῷ βίῳ; εἰπέ· τί δ' ἂν εἴποις περὶ αὐτῶν, ἢ ἀλογίαν, καὶ αἰσχρότητα, καὶ τέχνην ματαίαν, τῇ καλλιεπείᾳ τῶν λόγων τὸν βόρβορον συγκαλύπτουσαν τῆς δυσώδους αὐτῶν θρησκείας; Ἀλλὰ καὶ αὐτῶν τῶν ποιητῶν ὅσοι μικρόν τι δεδύνηνται τῆς πολλῆς ἀνανεῦσαι μανίας, εἶπον τὸ ἀληθέστερον, ὅτι οἱ λεγόμενοι θεοί, ἄνθρωποι ἦσαν· καὶ διὰ τὸ τινὰς μὲν αὐτῶν ἄρξαι χωρῶν τε καὶ πόλεων, τινὰς δὲ ἄλλο τι οὐδαμινὸν κατὰ τὸν βίον ποιῆσαι, πλανηθέντας τοὺς ἀνθρώπους, θεοὺς αὐτοὺς καλέσαι.

Κατ' ἀρχὰς μὲν γὰρ ὁ Σερούχ ἐκεῖνος ἱστόρηται τὰ τῶν ἀγαλμάτων ἐξευρεῖν· τοὺς γὰρ ἐν τοῖς πάλαι χρόνοις ἢ ἀνδρείας, ἢ φιλίας, εἴτε τινὸς ἑτέρας ἀνδραγαθίας ἔργον μνήμης ἄξιον ἐπιδειξαμένους, ἀνδριάσι λέγεται, καὶ στήλαις τιμῆσαι· οἱ δὲ μετὰ ταῦτα, τὴν τῶν
προγόνων ἀγνοήσαντες γνώμην, καὶ ὅτι μνήμης ἕνεκα μόνον τοῖς ἐ-
παινετόν τι ποιήσασιν ἀνδριάντας καὶ στήλας ἀνέστησαν, κατὰ μι-
κρὸν πλανώμενοι τῇ τοῦ ἀρχεκάκου δαίμονος ἐνεργείᾳ, ὡς ἀθανάτοις
θεοῖς τοῖς ὁμοιοπαθέσι καὶ φθαρτοῖς ἀνθρώποις προσετέθησαν, καὶ θυ-
σίας αὐτοῖς καὶ σπονδὰς ἐπενοήσαντο, τῶν δαιμόνων τοῖς ξοάνοις ἐν-
οικησάντων, καὶ πρὸς ἑαυτοὺς τὴν τιμὴν καὶ τὰς θυσίας μεθελκυσάν-

www.tezaurliturgic.ro



των. Ἐκεῖνοι τοίνυν, τοὺς μὴ δοκιμάζοντας τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, πείθουσι θεοὺς αὐτοὺς ἡγεῖσθαι, δυοῖν χάριν· ἵν᾽ αὐτοὶ μὲν τῇ προσηγορίᾳ ταύτῃ δοξάζοιντο· (ἥδονται γάρ, ἅτε πλήρεις ἀλαζονείας ὄντες, ὡς θεοὶ τιμᾶσθαι·) αὐτοὺς δέ, οὓς ἠπατήκασιν, εἰς τὸ ἡτοιμασμένον αὐτοῖς ἄσβεστον ἑλκύσωσι πῦρ· ὅθεν πᾶσαν αὐτοὺς ἐδίδαξαν παρανομίαν καὶ αἰσχρότητα, ὡς ἅπαξ ὑποταγέντας τῇ ἐκείνων ἀπάτῃ. Ἐπὶ τοῦτον οὖν τὸν κολοφῶνα τῶν κακῶν ἐλθόντες οἱ ἄνθρωποι, ἐσκοτισμένοι ὄντες, ἕκαστος τοῦ ἰδίου πάθους καὶ τῆς ἰδίας ἐπιθυμίας ἔστησαν στήλην καὶ θεὸν ὠνόμασαν· βδελυκτοὶ τῆς πλάνης, βδελυκτότεροι τῆς ἀτοπίας τῶν προσκυνουμένων γενόμενοι· ἕως ἐλθὼν ὁ Κύριος διὰ σπλάγχνα ἐλέους αὐτοῦ, ἐλυτρώσατο ἡμᾶς τοὺς πιστεύοντας αὐτῷ τῆς πονηρᾶς ταύτης καὶ ὀλεθρίου πλάνης, καὶ ἐδίδαξε τὴν ἀληθῆ θεογνωσίαν· οὐκ ἔστι γὰρ σωτηρία, εἰ μὴ ἐν αὐτῷ· καὶ οὐκ ἔστιν ἄλλος Θεὸς οὔτε ἐν οὐρανῷ, οὔτε ἐπὶ γῆς, εἰ μὴ αὐτὸς μόνος ὁ τοῦ παντὸς Ποιητής, ὁ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. «Τῷ λόγῳ γάρ, φησί, Κυρίου, οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν» (Ψαλμ. λϐ΄. 6.). Καί· «Πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο, οὐδὲ ἕν, ὃ γέγονεν» (Ἰωάν. α΄. 3.).

Ὁ δὲ Θευδᾶς, τούτων ἀκούσας τῶν ῥημάτων, καὶ ὅτι πλήρης ὁ λόγος θεοδιδάκτου φιλοσοφίας ἐτύγχανεν, οἷα βροντῆς ἤχῳ καταπλαγείς, ἀφωνίᾳ συνείχετο. Ὀψὲ δὲ καὶ μόλις εἰς αἴσθησιν ἐλθὼν τῆς αὐτοῦ ἀθλιότητος, (ἥψατο γὰρ τῶν ἐσκοτισμένων ὀφθαλμῶν τῆς καρδίας αὐτοῦ ὁ σωτήριος λόγος, καὶ πολὺς τῶν προτέρων αὐτῷ εἰσῄει μετάμελος), καὶ τῆς τῶν εἰδώλων πλάνης καταγνούς, τῷ φέγγει τῆς εὐσεβείας προσέδραμε· καὶ τὸ ἀπ᾽ ἐκείνου οὕτω τῆς μοχθηρᾶς ἀγωγῆς ἀπέστη, καὶ τοσοῦτον ἑαυτὸν τοῖς ἀτίμοις ἐξεπολέμωσε πάθεσι καὶ μαγείαις, ὅσην ἄρα πρὸ τούτου τὴν πρὸς αὐτὰ φιλίαν ἐσπείσατο. Τότε μὲν γὰρ ἐν μέσῳ τοῦ συνεδρίου ἑστώς, τοῦ βασιλέως προκαθεζομένου μεγάλῃ τῇ φωνῇ ἐβόησεν[1]. Ἀληθῶς, ὦ βασιλεῦ, Πνεῦμα Θεοῦ ἐνοικεῖ τῷ Υἱῷ σου· ἀληθῶς ἡττήμεθα, καὶ οὐδεμίαν ἀπολογίαν ἔχομεν, οὔτε ἀντοφθαλμῆσαι πρὸς τὰ παρ᾽ αὐτοῦ λεγόμενα ἰσχύομεν. Μέγας οὖν τῷ ὄντι ὁ τῶν χριστιανῶν Θεός· μεγάλη ἡ πίστις αὐτῶν· μεγάλα τὰ μυστήρια. Ἐπιστραφεὶς οὖν πρὸς τὸν υἱὸν τοῦ βασιλέως, ἔφη. Λέγε μοι τοίνυν, ὦ πεφωτισμένε τὴν ψυχήν, δέχεταί με ὁ Χριστός, εἰ, ἐκ τῶν πονηρῶν μου πράξεων ἀποστάς, ἐπιστρέψω πρὸς

[1] Ὅρα ἀλλοίωσιν καὶ ἀληθῆ μετάνοιαν, καὶ πεπαῤῥησιασμένην, τοῦ Θευδᾶ!



αὐτόν; Ναί, φησίν, ὁ τῆς ἀληθείας κῆρυξ, ναί, δέχεται καὶ σέ, καὶ πάντας τοὺς εἰς αὐτὸν ἐπιστρέφοντας· δέχεται δὲ οὐχ ἁπλῶς, ἀλλ᾽ ὡς υἱῷ ἀπὸ μακρᾶς ἐπιδημήσαντι χώρας προσυπαντᾷ τῷ ἐκ τῆς ὁδοῦ τῶν ἀνομιῶν ἐπιστρέφοντι, καὶ τοῦτον περιλαβὼν κατασπάζεται· καὶ τὸ τῆς ἁμαρτίας περιελὼν αἶσχος, αὐτίκα ἱμάτιον περιτίθησι σωτηρίου· καὶ στολὴν λαμπροτάτης περιβαλὼν δόξης, μυστικὴν ταῖς ἄνω δυνάμεσιν ἐπιτελεῖ εὐφροσύνην, τὴν ἐπιστροφὴν ἑορτάζων τοῦ ἀπολωλότος προβάτου· αὐτὸς γὰρ ἔφη ὁ Κύριος, «χαρὰν γίνεσθαι ἐν οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι» (Λουκ. ιε΄. 7). Καὶ πάλιν φησίν· «Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν» (Ματθ. θ΄. 13). Εἶτα καὶ διὰ τοῦ προφήτου. «Ζῶ ἐγώ, λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ καὶ ἀσεβοῦς, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν αὐτόν· ἐπιστροφῇ ἐπιστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς· καὶ ἵνα τί ἀποθνήσκετε οἶκος Ἰσραήλ; Ἀνομία γὰρ ἀνόμου οὐ μὴ κακώσῃ αὐτόν, ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ, καὶ ποιήσῃ δικαιοσύνην, καὶ ἐν προστάγματι ζωῆς διαπορεύσηται, ζωῇ ζήσεται καὶ οὐ μὴ ἀποθάνῃ. Πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ ἃς ἥμαρτεν, οὐ μὴ μνησθῶσιν, ὅτι κρίμα δικαιοσύνης ἐποίησεν, ἐν αὐτοῖς ζήσεται» (Ἰεζεκιὴλ λγ΄. 11). Καὶ αὖθις δι᾽ ἑτέρου προφήτου βοᾷ. «Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα» (Ἠσαΐ. α΄. 16).

Τοιούτων οὖν προκειμένων ἐπαγγελιῶν παρὰ Θεοῦ τοῖς ἐπιστρέφουσι, μὴ μέλλε, ὦ ἄνθρωπε, μηδ᾽ ἀναβάλλου, ἀλλὰ πρόσελθε πρὸς Χριστὸν τὸν φιλάνθρωπον Θεὸν ἡμῶν, καὶ φωτίσθητι, καὶ τὸ πρόσωπόν σου οὐ μὴ καταισχυνθῇ· ἅμα γὰρ τὸ καταδῦναί σε τῇ κολυμβήθρᾳ τοῦ θείου βαπτίσματος, ὅλον τὸ αἶσχος τοῦ παλαιοῦ ἀνθρώπου, καὶ ὅλος ὁ φόρτος τῶν πολλῶν σου ἁμαρτημάτων ἐνθάπτεται τῷ ὕδατι, καὶ εἰς τὸ μὴ ὂν χωρεῖ· νέος δὲ σὺ ἐκεῖθεν, καὶ παντὸς ῥύπου καθαρὸς ἀνέρχῃ, μηδένα σπίλον, ἢ ῥυτίδα ἁμαρτίας ἐπιφερόμενος· καὶ λοιπὸν ἐπὶ σοί ἐστι τὸ διαφυλάξαι ἐν ἑαυτῷ τὴν ἐκεῖθέν σοι προσγινομένην κάθαρσιν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν. Ὁ μὲν οὖν Θευδᾶς, τούτοις κατηχηθεὶς τοῖς ῥήμασιν ἔξεισιν εὐθέως· καὶ τὸ πονηρὸν ἐκεῖνο καταλαβὼν ἄντρον, καὶ τὰς ἑαυτοῦ λαβὼν μαγικὰς βίβλους, ὡς κακίας πάσης ἀπαρχάς, ὡς ὀργίων δαιμονικῶν θησαυρούς, πυρὶ κατέ-

www.tezaurliturgic.ro



καυσεν· αὐτὸς δὲ τὸ σπήλαιον καταλαμβάνει τοῦ ἱεροῦ ἀνδρὸς ἐκείνου, πρὸς ὃν ὁ Ναχὼρ ἀπεληλύθει, καὶ τὰ κατ' αὐτὸν διηγεῖται πάντα, κόνιν μὲν ἐπὶ τῆς κεφαλῆς κατεχεάμενος, βαρεῖς τε τοὺς στεναγμοὺς ἀναφέρων, καὶ λούων τοῖς δάκρυσιν ἑαυτόν· καθεξῆς δὲ τὰς μυσαρὰς αὐτοῦ διηγούμενος πράξεις τῷ γέροντι. Ἐκεῖνος δὲ περὶ τὸ σῶσαι ψυχήν, καὶ τῆς τοῦ δολίου δράκοντος ἐξαρπάσαι φάρυγγος εὐτεχνότατος ὤν, κατεπᾴδει αὐτὸν ῥήμασι σωτηρίοις· ἐγγυᾶται τὴν ἄφεσιν· ἵλεων ὑπισχνεῖται τὸν δικαστήν· εἶτα κατηχήσας, καὶ νηστεύειν ἐπὶ πολλὰς ἐντειλάμενος ἡμέρας, τῷ θείῳ καθαίρει βαπτίσματι· καὶ ἦν ὁ ἄνθρωπος μετανοῶν γνησίως πάσας αὐτοῦ τὰς ἡμέρας ἐφ' οἷς ἐπλημμέλησε, δάκρυσί τε καὶ στεναγμοῖς τὸν Θεὸν ἐξιλεούμενος.

Ὁ δέ γε βασιλεύς, τούτων οὕτως ἀποβάντων, πάντοθεν ἐξαπορηθείς, δῆλος ἦν ἰσχυρῶς ἀνιώμενος, καὶ πολὺν τὸν σάλον φέρων ἐν τῇ ψυχῇ. Συγκαλέσας δὲ αὖθις, ὅσοι τῆς συγκλήτου βουλῆς ἐτύγχανον, ἐσκέπτετο τί λοιπὸν τῷ ἰδίῳ ποιήσειεν υἱῷ. Πολλὰς δὲ βουλὰς τῶν πολλῶν ὑποτιθεμένων, ὁ ἀνωτέρω μνημονευθεὶς Ἀραχῆς ἐκεῖνος, ἐπιφανέστερος τὴν ἡγεμονίαν, καὶ πρῶτος τῆς βουλῆς ὑπάρχων, ἔφη τῷ βασιλεῖ. Τί ἔδει, βασιλεῦ, ποιῆσαι τῷ υἱῷ σου καὶ οὐ πεποιήκαμεν, τοῦ πεῖσαι αὐτὸν τοῖς ἡμετέροις ἕπεσθαι δόγμασι, καὶ τοῖς θεοῖς ἡμῶν λατρεύειν; ἀλλ' ὡς ὁρῶ, ἀνηνύτοις ἐπιχειροῦμεν· ἐκ φύσεως γὰρ αὐτῷ, ἢ τῆς τύχης ἴσως τὸ φιλόνεικόν τε καὶ ἀμείλικτον. Εἰ μὲν οὖν βασάνοις αὐτὸν ἐκδοῦναι θελήσειας καὶ τιμωρίαις, σύ τε πολέμιος ἔσῃ τῆς φύσεως, καὶ οὐ πατὴρ ἔτι κληθήσῃ, κἀκεῖνον ζημιωθήσῃ, ἑτοίμως ἔχοντα ὑπὲρ Χριστοῦ ἀποθανεῖν· λείπεται γοῦν τοῦτο ποιῆσαι· διελεῖν αὐτῷ τὴν βασιλείαν, καὶ εἰς τὸ ἐπιβάλλον αὐτῷ μέρος βασιλεύειν ἐπιτρέψαι· καὶ εἰ μὲν ἡ τῶν πραγμάτων φύσις, καὶ ἡ μέριμνα τῶν βιωτικῶν ἑλκύσουσιν αὐτόν, τὸν ἡμέτερον ἀσπάσασθαι σκοπόν τε καὶ βίον, ἔσται ἡμῖν κατὰ σκοπὸν τὸ πρᾶγμα· τὰ γὰρ ἰσχυρῶς βεβαιωθέντα τῇ ψυχῇ ἔθη, δυσεξάλειπτά εἰσι, καὶ πειθοῖ μᾶλλον ἢ βίᾳ μεταβαλλόμενα· εἰ δὲ τῇ θρησκείᾳ παραμενεῖ τῶν χριστιανῶν, αὐτὸ δὴ τοῦτο τὸ μὴ ζημιωθῆναί σε τὸν υἱόν, ἔσται σοι τῆς ἀθυμίας ποσῶς παραμύθιον.

Ταῦτα τοῦ Ἀραχῆ εἰπόντος, πάντες συνεμαρτύρουν, ἀποδεχόμενοι τὴν γνώμην. Συντίθεται τοίνυν καὶ ὁ βασιλεὺς οὕτω ταῦτα διαθεῖναι· καὶ δὴ προσκαλεσάμενος ἕωθεν, ἔφη τῷ υἱῷ· οὗτός μοι τελευταῖος ἤδη πρὸς σὲ λόγος υἱέ· οὗπερ, εἰ μὴ εὐθὺς κατήκοος γένῃ, καὶ κἂν ἐν τούτῳ τὴν ἐμὴν θεραπεύσῃς καρδίαν, οὐκέτι σου, εὖ ἴσθι, φείσομαι. Τοῦ δέ, πυθομένου· τίς ἡ τοῦ λόγου δύναμις, ἔφη ὁ βασιλεύς· ἐπείπερ,



φησί, πολλὰ μογήσας, ἀνένδοτόν σε πρὸς πάντα εὗρον τοῦ πεισθῆναί μου τοῖς λόγοις, δεῦρο δὴ τὴν βασιλείαν διελών, ἀνὰ μέρος εἶναί σε, καὶ βασιλεύειν ποιήσω, καὶ ἔσται σοι λοιπὸν ἐπ' ἀδείας ἣν ἂν ποθῇς ἰέναι ὁδόν. Γνοῦσα δὲ ἡ θεία ὄντως ψυχὴ ἐκείνη καὶ τοῦτο ἐπ' ὀλίσθῳ τῆς αὐτοῦ προαιρέσεως προβαλεῖν τὸν βασιλέα, ὅμως ἐπακοῦσαι συνεῖδεν· ὅπως τὰς αὐτοῦ διαδρὰς χεῖρας, τὴν ἐπιθυμουμένην αὐτῷ πορεύσηται ὁδόν. Ὑπολαβὼν οὖν, τῷ βασιλεῖ ἔφη· ἐγὼ μὲν ἐπόθουν τὸν θεῖον ἐκεῖνον ζητῆσαι ἄνδρα, τὸν ὑποδείξαντά μοι τὴν ὁδὸν τῆς σωτηρίας, καὶ πᾶσι χαίρειν εἰπών, μετ' αὐτοῦ τὸ λοιπὸν τῆς ζωῆς μου διανύσαι· ἀλλ' ἐπεί με, πάτερ, οὐ συγχωρεῖς τὰ καταθύμια πράττειν, πείθομαί σοι ἐν τούτῳ· ἐν οἷς γὰρ οὐ πρόκειται προφανὴς ἀπώλεια, καὶ Θεοῦ ἀλλοτρίωσις, καλὸν τῷ πατρὶ πείθεσθαι. Χαρᾶς οὖν ὅτι πλείστης ὁ βασιλεὺς πλησθείς, διαιρεῖ μὲν τὴν ὑποτελῆ αὐτῷ χώραν πᾶσαν εἰς δύο, χειροτονεῖ δὲ τὸν υἱὸν βασιλέα, κοσμεῖ τῷ διαδήματι, καὶ πάσῃ τοῦτον βασιλικῇ καταλαμπρύνας δόξῃ, εἰς τὴν ἀφορισθεῖσαν αὐτῷ ἐκπέμπει βασιλείαν μετὰ λαμπρᾶς δορυφορίας· τοῖς ἄρχουσι δὲ καὶ ἡγεμόσι, στρατηγοῖς τε καὶ σατράπαις, παντί τε τῷ βουλομένῳ κελεύει ἀπελθεῖν μετὰ τοῦ υἱοῦ αὐτοῦ καὶ βασιλέως· καὶ πόλιν τινὰ μεγάλην καὶ πολυάνθρωπον ἀφορίζει αὐτοῦ τῇ βασιλείᾳ, καὶ πάντα δίδωσι τὰ πρέποντα βασιλεῦσι.

Τότε δὴ τότε τὴν ἐξουσίαν παραλαβὼν ὁ Ἰωάσαφ τῆς βασιλείας, ἡνίκα τὴν πόλιν κατέλαβεν ἔνθα τὰ τῆς βασιλείας ηὐτρέπιστο, τὸ τοῦ δεσποτικοῦ μὲν πάθους σημεῖον, τὸν σεβάσμιον τοῦ Χριστοῦ Σταυρόν, ἑκάστῳ ἐφίστησι τῆς πόλεως πύργῳ· τοὺς δὲ εἰδωλικοὺς ναοὺς καὶ βωμοὺς περιστάς, ἐπολιόρκει, κατέσειεν, ἀνώρυττε τὸ ἔδαφος, ἐξεκάλυπτε τοὺς θεμελιους, μηδένα λείψανον τῆς ἀσεβείας καταλιπών· κατὰ μέσην δὲ τῆς πόλεως ναὸν μέγαν τε καὶ περικαλλῆ τῷ Δεσπότῃ ἀνεγείρει Χριστῷ· καὶ κελεύει τὸ πλῆθος ἐκεῖ συνεχῶς ἐπιχωριάζοντας, προσάγειν τῷ Θεῷ τὸ σέβας διὰ τῆς τοῦ Σταυροῦ προσκυνήσεως, εἰς μέσον πρὸ πάντων αὐτὸς παρελθών, καὶ ἐκτενεστάτῃ διδοὺς ἑαυτὸν δεήσει· πάντας δὲ τοὺς ὑπὸ τὴν αὐτοῦ χεῖρα γενομένους, ἐνουθέτει, παρεκάλει, πάντα ἐποίει, τοῦ ἀποσπάσαι τῆς δεισιδαίμονος πλάνης, καὶ τῷ Χριστῷ οἰκειῶσαι· τὴν ἀπάτην ὑπεδείκνυε τῆς εἰδωλομανίας· καὶ τὸ κήρυγμα κατήγγειλε τοῦ Εὐαγγελίου· τὰ περὶ τῆς τοῦ Θεοῦ Λόγου διεξῄει συγκαταβάσεως· τὰ θαυμάσια ἐκήρυττε τῆς αὐτοῦ παρουσίας· τὸ πάθος ἐγνώριζε τοῦ Σταυροῦ, δι' οὗ σεσώσμεθα· τὴν τῆς Ἀναστάσεως δύναμιν· καὶ τὴν πρὸς οὐρανοὺς ἄνοδον· τὴν φοβερὰν ἐπὶ τούτοις διήγγελλεν ἡμέραν τῆς φρικτῆς αὐτοῦ δευτέρας πα-

www.tezaurliturgic.ro



ρουσίας, τά τε ἀποκείμενα τοῖς δικαίοις ἀγαθά, καὶ τὰ ἐκδεχόμενα τοὺς ἁμαρτωλοὺς κολαστήρια. Ταῦτα πάντα ἤθει χρηστῷ, καὶ μειλιχίοις διεξῄει ῥήμασιν· οὐ τοσοῦτον γὰρ ἀπὸ τοῦ ὄγκου τῆς ἐξουσίας καὶ τῆς βασιλικῆς μεγαλοπρεπείας ἤθελεν αἰδέσιμος εἶναι καὶ φοβερός, ὅσον ἀπὸ τῆς ταπεινοφροσύνης, καὶ τῆς πραότητος· ᾧ καὶ μᾶλλον εἷλκε πάντας πρὸς ἑαυτόν, τῷ εἶναι μὲν τοῖς ἔργοις θαυμάσιος, ἐπιεικὴς δὲ καὶ μέτριος τῷ φρονήματι. Ὅθεν ἡ ἐξουσία τὴν μετριοφροσύνην καὶ ἐπιείκειαν μέγαν συνεργὸν λαβοῦσα, πάντας εἴκειν αὐτοῦ τοῖς λόγοις πεποίηκεν. Ἀμέλει οὕτως ἐν ὀλίγῳ χρόνῳ, πᾶς ὁ ὑποτελὴς αὐτῷ λαὸς πολίτης τε καὶ ἐγχώριος, τοῖς θεοφθόγγοις αὐτοῦ ἐμυσταγωγήθη λόγοις, ὡς ἐξαρνήσασθαι μὲν τὴν πολύθεον πλάνην, καὶ ἀποῤῥαγῆναι τῶν εἰδωλικῶν σπονδῶν τε καὶ βδελυγμάτων, τῇ ἀπλανεῖ τε προστεθῆναι πίστει, καὶ ταῖς αὐτοῦ μεταπλασθέντες διδασκαλίαις τῷ Χριστῷ οἰκειωθῆναι, καὶ μετόχους τῆς οὐρανῶν βασιλείας γενέσθαι ἀξιωθῆναι.

Πάντες δὲ οἱ ἐν ὄρεσι καὶ σπηλαίοις διὰ τὸν φόβον τοῦ πατρὸς αὐτοῦ ἐγκεκλεισμένοι Ἱερεῖς τε καὶ Μονάζοντες, καὶ τῶν Ἐπισκόπων ὀλίγοι, ἐξελθόντες τῶν καταδύσεων, πρὸς αὐτὸν χαίροντες ἐχώρουν. Αὐτὸς δὲ τοὺς διὰ Χριστὸν ἐν τοιούτοις περιπεσόντας ἀνιαροῖς, καὶ οὕτω ταλαιπωρήσαντας, προϋπαντῶν, ἐντίμως ἐδέχετο, καὶ εἰς τὸ ἑαυτοῦ εἰσῆγε παλάτιον, πόδας ῥύπτων, κόμην ῥυπῶσαν ἀποπλύνων, καὶ παντοίως αὐτοὺς θεραπεύων· εἶτα τὴν νεουργηθεῖσαν αὐτῷ ἐκκλησίαν ἐνθρονίζει, καί τινα τῶν Ἐπισκόπων πολλὰ διὰ τὴν εἰς Χριστὸν πίστιν κακοπαθήσαντα, καὶ τὸν ἴδιον ἀπολέσαντα τῆς Ἐπισκοπῆς θρόνον, Ἀρχιερέα ἐν ταύτῃ καθίστησιν· ἄνδρα ἅγιον, καὶ τῶν ἐκκλησιαστικῶν κανόνων ἐπιστήμονα, ζήλου τε θείου τὴν ψυχὴν πεπληρωμένον· κολυμβήθραν δὲ εὐθὺς σχεδιάσας, βαπτίζειν τοὺς πρὸς Χριστὸν ἐπιστρέφοντας κελεύει. Καὶ δὴ βαπτίζονται οἱ ἄρχοντες πρῶτον, οἱ ἐν στρατείᾳ τε αὖθις, καὶ ὁ λοιπὸς ὄχλος. Καὶ οἱ βαπτιζόμενοι οὐ μόνον τὴν ψυχικὴν ἀπελάμβανον ὑγιείαν, ἀλλὰ δὴ καὶ ὅσοι νόσοις ἦσαν σωματικαῖς καὶ πηρώσεσι πιεζόμενοι, πάντα ἀποθέμενοι, καθαροὶ τὰς ψυχάς, ἄρτιοι δὲ τὰ σώματα τῆς θείας ἀνήρχοντο κολυμβήθρας, θεραπείαν τρυγήσαντες ψυχῶν ὁμοῦ καὶ σωμάτων. Ἔνθεν τοι καὶ συνέῤῥει πρὸς τὸν βασιλέα Ἰωάσαφ πανταχόθεν τὰ πλήθη, μυηθῆναι τὴν εὐσέβειαν ὑπ' αὐτοῦ ζητοῦντες. Καὶ πάντα μὲν κατεσκάπτετο εἰδωλικὰ σεβάσματα, ἀφῄρητο δὲ ὁ πᾶς πλοῦτος, καὶ τὰ ἀποκείμενα τοῖς εἰδωλείοις χρήματα, ἱερὰ δὲ τεμένη τῷ Θεῷ ἀντῳκοδόμητο· καὶ τὸν ἐκείνων πλοῦτον αὐτοῖς, καὶ τὰς πολυτελεῖς ἐσθῆτας, καὶ τοὺς θη-



σαυροὺς ὁ βασιλεὺς Ἰωάσαφ ἀνετίθει· τὴν ἄτιμον ἐκείνην καὶ περιττὴν ὕλην ἐνεργὸν ἐντεῦθεν ποιῶν, καὶ ὠφέλιμον.

Οἱ δὲ τοῖς βωμοῖς ἐκείνοις καὶ ναοῖς διατρίβοντες μιαροὶ δαίμονες, διωγμῷ χαλεπωτάτῳ ἠλαύνοντο, καὶ τὴν ἐπελθοῦσαν αὐτοῖς συμφορὰν εἰς πολλῶν ἐπήκοον ἐβόων· καὶ ἠλευθεροῦτο ἡ περίχωρος πᾶσα ἐκείνη τῆς ζοφερᾶς αὐτῶν ἀπάτης, τῷ φωτί τε περιελάμπετο τῆς ἀμωμήτου πίστεως τῶν χριστιανῶν. Ἀμέλει καὶ ὁ βασιλεὺς ἀγαθὸν πᾶσιν ὑπόδειγμα ἦν, καὶ πολλοὺς ἐπὶ τὴν ὁμοίαν γνώμην ἀνέφλεγε καὶ ἐξῆπτε· τοιοῦτον γὰρ ἡ ἐξουσία· συμμορφοῦται ταύτῃ ἀεὶ τὸ ὑποχείριον, τῶν αὐτῶν τε φιλεῖ ἐρᾷν, κἀκεῖνα ἐπιτηδεύειν, οἷσπερ ἂν τὸν ἄρχοντα αἴσθηται χαίροντα. Ἐντεῦθεν, τοῦ Θεοῦ συνεργοῦντος, ἡ εὐσέβεια ηὔξανεν αὐτοῖς καὶ ἐπεδίδου· καὶ ὅλως ἦν τῶν τοῦ Χριστοῦ ἐντολῶν, καὶ τῆς αὐτοῦ ἀγάπης ἐξηρτημένος ὁ βασιλεὺς Ἰωάσαφ· οἰκονόμος τε τοῦ λόγου τῆς χάριτος, καὶ ψυχῶν κυβερνήτης πολλῶν, εἰς τὸν λιμένα τοῦ Θεοῦ ταύτας καθορμίζων· ᾔδει γὰρ τοῦτο εἶναι πρὸ πάντων βασιλέως ἔργον, ἵνα τοὺς ἀνθρώπους διδάξῃ τὸν Θεὸν φοβεῖσθαι, καὶ τὸ δίκαιον τηρεῖν, ὃ δὴ καὶ ἐποίει, ἑαυτόν τε εἰς τὸ βασιλεῦσαι τῶν παθῶν καταρτίζων, καὶ τοὺς ὑπ' αὐτὸν νουθετῶν ὡς κυβερνήτης ἄριστος, διακατέχων ἀκριβῶς τῆς εὐνομίας τοὺς οἴακας· τοῦτο γὰρ ὅρος ἀληθινῆς βασιλείας, τὸ βασιλεύειν καὶ κρατεῖν τῶν ἡδονῶν, ὅπερ ἐκεῖνος ἐποίει· ἐπὶ προγόνων μέντοι εὐγενείᾳ, καὶ τῇ περὶ αὐτὸν οὔσῃ βασιλικῇ δόξῃ μηδόλως ἐναβρυνόμενος· εἰδώς, ὅτι πήλινον ἔχοντες πάντες τοῦ γένους προπάτορα, καὶ τοῦ αὐτοῦ φυράματός ἐσμεν πλούσιοί τε καὶ πένητες· ἐν ἀβύσσῳ δὲ ταπεινοφροσύνης ἀεὶ τὸν νοῦν ἐμβάλλων, καὶ τῆς ἐκεῖθεν μακαριότητος μεμνημένος, πάροικον μὲν ἑαυτὸν τῶν ἐνταῦθα ἐλογίζετο, ἐκεῖνα δὲ ἐγίνωσκεν ἴδια εἶναι, ὧν ἂν μετὰ τὴν ἐντεῦθεν τύχοιεν ἐκδημίαν.

Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν αὐτῷ, καὶ πάντας τοὺς ὑπὸ χεῖρα τῆς παλαιᾶς ἀπαλλάξας πλάνης πατροπαραδότου, δούλους εἰργάσατο τοῦ ἐξαγοράσαντος ἡμᾶς τῆς πονηρᾶς δουλείας τῷ τιμίῳ αὐτοῦ αἵματι, δεύτερον ἐννοεῖ ἔργον, τὴν τῆς εὐποιΐας ἀρετήν· σωφροσύνη γὰρ καὶ δικαιοσύνη ἤδη προκατώρθωτο αὐτῷ, ὡς τὸν στέφανον τῆς σωφροσύνης ἀναδυσαμένῳ. Ἐνενόει οὖν τοῦ ἐπιγείου πλούτου τὸ ἄστατον, ποταμίων ὑδάτων μιμεῖσθαι τὸν δρόμον· ἐκεῖ τοίνυν ἔσπευδε τοῦτον ἀποθέσθαι, «ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσι» (Ματθ. ϛ΄. 20). Καὶ δὴ ἤρξατο πάντα τοῖς πένησι διανέμειν τὰ χρήματα, μηδόλως αὐτῶν φειδόμενος· ᾔδει γὰρ ὡς ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα τῆς ἐξουσίας

www.tezaurliturgic.ro



μιμεῖσθαι ὀφείλει κατὰ δύναμιν. Ἐν τούτῳ δὲ μάλιστα τὸν Θεὸν μι-
μήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον. Ὑπὲρ χρυ-
σίον οὖν καὶ λίθον τίμιον τῆς εὐποΐας τὸν πλοῦτον ἑαυτῷ ἀθροίζων ἦν,
τὸν καὶ ὧδε κατευφραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως,
κἀκεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μακαριότητος. Ἐν-
τεῦθεν ἠρευνῶντο αὐτῷ φυλακαί, οἱ ἐν μετάλλοις κεκλεισμένοι, οἱ ὑπὸ
δανειστῶν συμπνιγόμενοι· καὶ πᾶσιν ἀφθόνως ἐπιχορηγῶν πάντα, πα-
τὴρ ἦν πάντων τῶν ὀρφανῶν τε καὶ χηρῶν, καὶ πενήτων· πατὴρ φι-
λόστοργος καὶ ἀγαθός, ἑαυτὸν δοκῶν εὐεργετεῖν ἐκ τῆς εἰς αὐτοὺς
γεγενημένης εὐεργεσίας· πλουσιόδωρος γὰρ ὢν τὴν ψυχήν, καὶ τῷ
ὄντι βασιλικώτατος, πᾶσιν ἐδίδου δαψιλῶς τοῖς χρῄζουσιν, ἀπειρο-
πλασίους ἐλπίζων ὑπὲρ τούτων ἀμοιβὰς ἐν καιρῷ τῆς τῶν ἔργων ἀν-
ταποδόσεως.

Πανταχοῦ δὲ τῆς αὐτοῦ φήμης ἐν ὀλίγῳ διαβαινούσης, πάντες πρὸς
αὐτὸν ὥσπερ ὑπό τινος ὀσμῆς μύρου κεκινημένοι καθ' ἑκάστην συνέρ-
ρεον, σωμάτων τε καὶ ψυχῶν πενίαν ἀποτιθέμενοι, καὶ ἐν τοῖς ἁπάν-
των στόμασιν ἦν· οὐχ ὁ φόβος γὰρ καὶ ἡ τυραννὶς εἶλκε τὸν λαόν,
ἀλλ' ὁ πόθος, καὶ ἡ πρὸς αὐτὸν ἐκ καρδίας ἀγάπη, ἥτις ἐκ Θεοῦ, καὶ
τῆς αὐτοῦ καλλίστης πολιτείας ἐνεφυτεύθη ταῖς ἁπάντων ψυχαῖς. Τότε
δὴ τότε, καὶ οἱ τῷ πατρὶ αὐτοῦ ὑποκείμενοι, αὐτῷ μᾶλλον προσετί-
θεντο· καὶ τὴν πλάνην πᾶσαν ἀποτιθέμενοι, τὴν ἀλήθειαν εὐηγγελί-
ζοντο· καὶ ὁ μὲν οἶκος τοῦ Ἰωάσαφ ηὔξανε καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶ-
κος τοῦ Ἀβεννὴρ ἠλαττοῦτο καὶ ἠσθένει, καθὰ δὴ περὶ τοῦ Δαβίδ, καὶ
τοῦ Σαούλ, ἡ τῶν βασιλειῶν διαγορεύει βίβλος. Ταῦτα ὁρῶν ὁ βασι-
λεὺς Ἀβεννήρ, ὀψὲ καὶ μόλις εἰς αἴσθησιν ἐλθών, τῶν ἑαυτοῦ κατε-
γίνωσκε ψευδωνύμων θεῶν τῆς ἀσθενείας, καὶ κενῆς ἀπάτης· καὶ ἐκ-
κλησιάσας αὖθις τοὺς πρώτους τῆς βουλῆς, τὰ μελετώμενα αὐτῷ εἰς
φῶς ἐξῆγε. Πάντων δὲ τὰ αὐτὰ βεβαιούντων, (ἐπεσκέψατο γὰρ αὐτοὺς
ἀνατολὴ ἐξ ὕψους ὁ Σωτήρ, τῆς δεήσεως ἀκούσας τοῦ θεράποντος αὐ-
τοῦ Ἰωάσαφ), ἔδοξε τῷ βασιλεῖ δῆλα ταῦτα ποιῆσαι τῷ υἱῷ. Γράφει
οὖν τὴν ἑξῆς ἐπιστολὴν τῷ Ἰωάσαφ, περιέχουσαν οὕτω.

*Βασιλεὺς Ἀβεννήρ, τῷ ποθεινοτάτῳ υἱῷ Ἰωάσαφ, χαίρειν.*

Λογισμοὶ πολλοὶ τὴν ἐμὴν ὑπεισερχόμενοι ψυχήν, δεινῶς, φίλτατε,
ταράττουσιν, υἱέ· τὰ γὰρ ἡμέτερα πάντα ἐκλείποντα ὁρῶν, ὃν τρόπον
καπνὸς ἐκλείπει, τὰ τῆς σῆς δὲ θρησκείας λάμποντα ὑπὲρ τὸν ἥλιον,
εἰς αἴσθησιν ἦλθον, ἀληθῆ τὰ παρὰ σοῦ μοι λεγόμενα εἶναι· καὶ ὅτι
σκότος ἡμᾶς βαθὺ τῶν ἁμαρτιῶν, καὶ τῆς ἀσεβείας ἐκάλυπτεν, ὡς ἐν-



τεῦθεν, οὐδὲ πρὸς τὴν ἀλήθειαν διαβλέψαι, καὶ τὸν ἁπάντων Δημιουρ-
γὸν καταμαθεῖν ἠδυνάμεθα· ἀλλὰ καὶ φῶς οὕτω τηλαυγέστατον διὰ
σοῦ ἀναδειχθὲν ἡμῖν, τοὺς ὀφθαλμοὺς μύσαντες, ὁρᾶν ἡμεῖς οὐκ ἠ-
θελήσαμεν· πολλὰ μέν σοι κακὰ ἐνδειξάμενοι, ἐλεεινῶς δὲ φεῦ! καὶ
τῶν χριστιανῶν οὐκ ὀλίγους ἀνελόντες· οἵτινες τῇ συνεργούσῃ αὐτοῖς
ἀμάχῳ δυνάμει κραταιούμενοι, διὰ τέλους πρὸς τὴν ἡμετέραν ὠμό-
τητα ὑπερέσχον. Νυνὶ δὲ τὴν παχεῖαν ἐκείνην ἀχλὺν τῶν ἡμετέρων
ὀμμάτων περιελόντες, αὐγήν τινα μικρὰν τῆς ἀληθείας ὁρῶμεν, καὶ
τῶν προτέρων μεταμέλεια εἰσέρχεται κακῶν· ἀλλὰ καὶ ταύτην τὴν
αὐγήν, νέφος ἄλλο δεινῆς ἀπογνώσεως ἐπιπολάζον, σκοτίζειν πειρᾶ-
ται, τὸ πλῆθος προβαλλόμενον τῶν ἐμῶν κακῶν· καὶ ὅτι βδελυκτὸς
ἤδη ἐγὼ τῷ Χριστῷ, καὶ ἀπρόσδεκτός εἰμι, ὡς ἀποστάτης καὶ πολέ-
μιος αὐτοῦ γεγονώς. Τί οὖν πρὸς ταῦτα, τέκνον γλυκύτατον, λέγεις
αὐτός; δῆλά μοι τάχιστα ποίησον· καὶ τί δεῖ ποιεῖν με τὸν σὸν πα-
τέρα δίδαξον, καὶ πρὸς ἐπίγνωσιν χειραγώγησον τοῦ συμφέροντος.

Ταύτην τὴν ἐπιστολὴν ὁ Ἰωάσαφ δεξάμενος, καὶ τὰ ἐμφερόμενα
ἐπελθών, ἡδονῆς ὁμοῦ καὶ θαύματος τὴν ψυχὴν ἐπληροῦτο. Εἰς τὸ
ἑαυτοῦ δὲ ταμιεῖον εἰσελθὼν εὐθύς, καὶ ἐπὶ πρόσωπον πεσὼν ἐνώπιον
τοῦ δεσποτικοῦ χαρακτῆρος, δάκρυσι τὴν γῆν κατέβρεχεν, εὐχαριστῶν
ὁμοῦ τῷ Δεσπότῃ, καὶ ἐξομολογούμενος, καὶ χείλη ἀγαλλιάσεως κι-
νῶν πρὸς ὑμνῳδίαν, «ὑψώσω σε, λέγων, ὁ βασιλεύς μου καὶ ὁ Θεός
μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος. Μέγας εἶ Κύριε, καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης
σου οὐκ ἔστι πέρας» (Ψαλμ. ρμδ'.). Καί· τίς λαλήσει τῆς δυναστείας
σου; ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις σου; τοῦ στρέψαντος τὴν
πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων; Ἰ-
δοὺ γάρ, Κύριε, ἡ ἀκρότομος αὕτη, καὶ πέτρας σκληροτέρα καρδία τοῦ
ἐμοῦ πατρός, σοῦ θελήσαντος, ὡσεὶ κηρὸς ἐμαλάχθη· δυνατὸν γάρ σοι
καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Εὐχαριστῶ σοι,
Δέσποτα φιλάνθρωπε, Θεὲ τοῦ ἐλέους, ὅτι ἐμακροθύμησας τοῖς παρα-
πτώμασιν ἡμῶν, καὶ ἕως τοῦ νῦν ἀτιμωρήτους ἡμᾶς εἴασας· ἡμεῖς
μὲν γὰρ ἄξιοι ἦμεν πάλαι ἀποῤῥιφῆναι ἀπὸ τοῦ προσώπου σου, καὶ
παραδειγματισθῆναι ἐν τῷ βίῳ τούτῳ, ὡς οἱ τὴν Πεντάπολιν οἰκοῦν-
τες παράνομοι, πυρὶ καὶ θείῳ κατακαυθέντες, ἡ δὲ ἀνείκαστός σου μα-
κροθυμία ἐφιλανθρωπεύσατο ἐφ' ἡμᾶς. Εὐχαριστῶ σοι ὁ εὐτελὴς ἐγὼ
καὶ ἀνάξιος, εἰ καὶ μὴ ὑπάρχω αὐτάρκης πρὸς δοξολογίαν τῆς σῆς ἀ-
γαθότητος· καὶ δέομαι τῶν ἀμετρήτων σου οἰκτιρμῶν Κύριε Ἰησοῦ
Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ ἀοράτου Πατρός, ὁ πάντα λόγῳ παραγαγών,

www.tezaurliturgic.ro



καὶ θελήματι τῷ σῷ συνέχων, ὁ ταθεὶς ἐπὶ ξύλου καὶ δήσας τὸν ἰσχυρόν, καὶ τοῖς ὑπ᾽ ἐκείνου δεθεῖσιν αἰώνιον βραβεύσας ἐλευθερίαν· αὐτὸς καὶ τανῦν ἔκτεινόν σου τὴν ἀόρατον χεῖρα καὶ παντουργόν, καὶ εἰς τέλος ἐλευθέρωσον τὸν δοῦλόν σου καὶ πατέρα μου τῆς χαλεπῆς ἐκείνης αἰχμαλωσίας τοῦ διαβόλου, καὶ ὑπόδειξον αὐτῷ ἐναργέστατα, ὅτι σὺ εἶ ὁ ἀεὶ ζῶν Θεὸς ἀψευδής, καὶ βασιλεὺς μόνος αἰώνιος καὶ ἀθάνατος. Ἴδε μου τὴν συντριβὴν τῆς καρδίας ἱλέῳ καὶ εὐμενεῖ ὄμματι, καὶ κατὰ τὴν ἀψευδῆ σου ἐπαγγελίαν, γενοῦ μετ᾽ ἐμοῦ, τοῦ γινώσκοντος καὶ ὁμολογοῦντός σε ποιητήν, καὶ προνοητὴν πάσης κτίσεως· πηγασάτω ἐν ἐμοὶ τὸ σὸν ἀλλόμενον ὕδωρ, καὶ δοθήτω μοι λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, καὶ νοῦς, καλῶς ἡδρασμένος ἐν σοὶ τῷ ἀκρογωνιαίῳ λίθῳ, ἵνα δυνήσωμαι ὁ ἀχρεῖος οἰκέτης σου καταγγεῖλαι τῷ ἐμῷ γεννήτορι, ὡς δεῖ, τὸ μυστήριον τῆς σῆς οἰκονομίας, καὶ ἀποστῆσαι αὐτὸν τῇ σῇ δυνάμει, τῆς ματαίας πλάνης τῶν πονηρῶν δαιμόνων, καὶ προσαγαγεῖν σοι τῷ Θεῷ καὶ Δεσπότῃ μου, τῷ μὴ βουλομένῳ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ ἀναμένοντι τὴν ἐπιστροφὴν καὶ μετάνοιαν· ὅτι δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Οὕτως εὐξάμενος, καὶ πληροφορίαν λαβὼν μὴ διαμαρτεῖν τοῦ ποθουμένου, τῇ εὐσπλαγχνίᾳ τοῦ Θεοῦ θαῤῥήσας, ἐξάρας ἐκεῖθεν μετὰ τῆς βασιλικῆς δορυφορίας, τὰ βασίλεια καταλαμβάνει τοῦ ἰδίου πατρός. Ὡς δὲ τῷ πατρὶ ἀνηγγέλη ἡ ἄφιξις τοῦ υἱοῦ, ἐξέρχεται εὐθὺς εἰς συνάντησιν αὐτοῦ, περιπλέκεται, καταφιλεῖ, μεγίστην ποιεῖται χαράν, καὶ δημοτελῆ ἑορτὴν ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. Τί δὲ τὸ μετὰ ταῦτα; Συγκαθέζονται κατὰ μόνας ἀλλήλοις, καὶ τί ἄν τις εἴποι ἅπερ διείλεκται τότε τῷ βασιλεῖ ὁ υἱός, καὶ μεθ᾽ ὅσης φιλοσοφίας; τί δ᾽ ἄλλῳ γε, ἢ τὰ τῷ θείῳ Πνεύματι αὐτῷ ὑπηχούμενα; δι᾽ οὗ οἱ ἁλιεῖς σαγηνεύουσι Χριστῷ τὸν κόσμον ὅλον, καὶ οἱ ἀγράμματοι, τῶν σοφῶν σοφώτεροι γίνονται. Τῇ τούτου χάριτι καὶ αὐτὸς σοφισθείς, ἐλάλει τῷ βασιλεῖ, φωτίζων αὐτὸν φῶς γνώσεως. Καὶ πρότερον γὰρ πολλὰ κοπιάσας τοῦ ἑλκύσαι τῆς δεισιδαίμονος πλάνης τὸν πατέρα, τί μὲν οὐ λέγων, τί δὲ οὐ ποιῶν, ὥστε τοῦτον ἐπαγαγέσθαι, κενὴν ψάλλειν ἐῴκει, καὶ εἰς ὦτα λέγειν μὴ ἀκουόντων· ὅτε δὲ ἐπέβλεψεν ὁ Κύριος ἐπὶ τὴν ταπείνωσιν τοῦ δούλου αὐτοῦ Ἰωάσαφ, καὶ τῆς δεήσεως αὐτοῦ ἐπακούσας, τὰς κεκλεισμένας πύλας τῆς καρδίας τοῦ πατρὸς αὐτοῦ διήνοιξε, «θέλημα γάρ, φησί, τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται» (Ψαλμ. ρμδ΄. 19), ῥᾳδίως τὰ λεγόμενα συνίει ὁ βασιλεύς· ὥστε καιροῦ εὐθέτου τυχόντα τὸν υἱὸν τῇ τοῦ Χριστοῦ χάριτι κατὰ τῶν πονηρῶν νίκην ἆραι πνευμάτων,



τῶν κυριευσάντων τῆς ψυχῆς τοῦ πατρὸς αὐτοῦ, καὶ τῆς τούτων πλάνης τέλεον ἐλευθερῶσαι αὐτόν, τὸν σωτήριον δὲ τρανῶς γνωρίσαι λόγον, καὶ τῷ ἐν οὐρανοῖς οἰκειῶσαι ζῶντι Θεῷ· ἐξ ἀρχῆς γὰρ τὸν λόγον ἀναλαβών, ἀνήγγειλεν αὐτῷ, ἃ οὐκ ᾔδει μεγάλα καὶ θαυμαστά, ἃ τοῖς ὠσὶ τῆς καρδίας οὐκ ἀκηκόει. Πολλὰ μὲν αὐτῷ περὶ Θεοῦ φθεγξάμενος, καὶ τὴν εὐσέβειαν παραδεικνύς, ὡς οὐκ ἔστιν ἄλλος Θεὸς ἐν οὐρανῷ ἄνω, οὔτε ἐπὶ τῆς γῆς κάτω, εἰμὴ ὁ ἐν Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι γνωριζόμενος εἷς Θεός· πολλὰ δὲ μυστήρια γνωρίσας τῆς θεολογίας, ἐφ᾽ οἷς καὶ τὰ περὶ τῆς ἀοράτου τε καὶ ὁρατῆς διήγγειλε κτίσεως· ὅπως ἐκ μὴ ὄντων τὰ πάντα εἰς τὸ εἶναι παραγαγὼν ὁ δημιουργός, κατ᾽ εἰκόνα τε καὶ ὁμοίωσιν αὐτοῦ πλάσας τὸν ἄνθρωπον, καὶ τοῦτον αὐτεξουσίῳ τιμήσας, τῶν ἐν τῷ παραδείσῳ καλῶν μετέχειν πεποίηκεν, ἀπέχεσθαι τούτου μόνου κελεύσας, ὅπερ ἦν τὸ ξύλον τῆς γνώσεως· ἠθετηκότα δὲ τὴν ἐντολήν, τοῦ παραδείσου ἐξώρισεν· ὅθεν τῆς πρὸς αὐτὸν οἰκειότητος ὀλισθήσας, εἰς τὰς πολλὰς ταύτας περιπέπτωκε πλάνας τὸ ἀνθρώπινον γένος, δουλωθὲν ταῖς ἁμαρτίαις, καὶ ὑποπεσὸν τῷ θανάτῳ διὰ τῆς τυραννίδος τοῦ διαβόλου· ὅς, ὑποχειρίους τοὺς ἀνθρώπους ἅπαξ λαβών, παντελῶς ἐπιλαθέσθαι πεποίηκε τοῦ Θεοῦ καὶ Δεσπότου, καὶ αὐτῷ ἀνέπεισε λατρεύειν, διὰ τῆς τῶν εἰδώλων μυσαρᾶς προσκυνήσεως. Σπλαγχνισθεὶς οὖν ὁ πλάσας ἡμᾶς Θεός, εὐδοκίᾳ τοῦ Πατρός, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, εὐδόκησεν ἐκ Παρθένου ἁγίας καθ᾽ ἡμᾶς τεχθῆναι· καὶ πάθεσιν ὁμιλήσας ὁ ἀπαθής, διὰ τρίτης τε ἡμέρας ἀναστὰς ἐκ νεκρῶν, ἐλυτρώσατο ἡμᾶς τοῦ προτέρου ἐπιτιμίου, καὶ κλέους ὑπερτέρου ἠξίωσεν· ἀνήγαγε γὰρ ἡμᾶς ἀνερχόμενος, ὅθεν ἐτύγχανε καταβεβηκώς· ὃν καὶ αὖθις ἥξειν πιστεύομεν, ἵνα τὸ πλάσμα τὸ ἑαυτοῦ ἀναστήσῃ, ἀποδώσει δὲ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἐπὶ τούτοις, τὴν ἐκδεχομένην τοὺς ἀξίους τῶν οὐρανῶν ἐμυσταγώγει βασιλείαν, καὶ τὰ ἀπόῤῥητα ἀγαθά, καὶ τὴν ἀποκειμένην τοῖς φαύλοις προσετίθει βάσανον, τὸ ἄσβεστον πῦρ, τὸ ἐξώτερον σκότος, τὸν ἀτελεύτητον σκώληκα, καὶ ὅσην ἄλλην οἱ τῆς ἁμαρτίας δοῦλοι κόλασιν ἑαυτοῖς ἐθησαύρισαν. Ταῦτα πάντα λόγοις πλείοσι, καὶ δαψιλῶς αὐτῷ ἐνυπάρχουσαν τὴν τοῦ Πνεύματος μαρτυροῦσι χάριν διεξελθών, εἶτα καὶ τὸ ἀνεξιχνίαστον πέλαγος τῆς τοῦ Θεοῦ διηγούμενος φιλανθρωπίας, καὶ οἷός ἐστιν ἕτοιμος δέχεσθαι τὴν μετάνοιαν τῶν πρὸς αὐτὸν ἐπιστρεφόντων· καὶ ὡς οὐκ ἔστιν ἁμαρτία νικῶσα τὴν αὐτοῦ εὐσπλαγχνίαν, εἴπερ θελήσομεν μετανοῆσαι· ἐκ πολλῶν δὲ τοῦτο παραδειγμάτων, καὶ γραφικῶν παραστήσας μαρτυριῶν, ὁ μέν,

www.tezaurliturgic.ro



τέλος ἐπέθηκε τῷ λόγῳ. [1] Κατανυγεὶς δὲ ὁ βασιλεὺς ἐπὶ τῇ θεοδιδάκτῳ σοφίᾳ ταύτῃ, φωνῇ μεγάλῃ, καὶ θερμοτάτῃ ψυχῇ τὸν σωτῆρα Χριστὸν ὡμολόγει, πάσης ἀποστὰς δεισιδαίμονος πλάνης· τὸ σημεῖόν τε προσκυνεῖν τοῦ ζωοποιοῦ Σταυροῦ ὑπὸ τῇ πάντων ὄψει, καὶ εἰς ἐπήκοον πάντων, Θεὸν κηρύττει ἀληθινόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τήν τε προτέραν ἀσέβειαν διεξελθών, τὴν οἰκείαν τε κατὰ τ ν χριστιανῶν ὠμότητα, καὶ μιαιφονίαν ἐλέγξας, μέγα μέρος πρὸς τὴν εὐσέβειαν γίνεται· ὡς ἐντεῦθεν ἔργῳ τὸ εἰρημένον τῷ Παύλῳ γνωσθῆναι· καὶ ὅπου ὁ τῆς ἀσεβείας ὑπῆρχε πλεονασμός, ἐκεῖ καὶ τὴν περίσσειαν γενέσθαι τῆς χάριτος. Πολλὰ τοίνυν και τοῦ σοφωτάτου Ἰωάσαφ τοῖς συνελθοῦσι τότε στρατηγοῖς, καὶ σατράπαις, καὶ παντὶ τῷ λαῷ περὶ Θεοῦ, καὶ τῆς εἰς αὐτὸν εὐσεβείας διαλεγομένου, καὶ οἱονεὶ πυρίνῃ γλώσσῃ καλόν τε καὶ ᾠδικὸν τερετίζοντος, ἡ τοῦ ἁγίου Πνεύματος χάρις ἐπιφοιτήσασα, πάντας εἰς δοξολογίαν ἐκίνει Θεοῦ, ὡς ἐκ μιᾶς φωνῆς βοησάντων τῶν ὄχλων, μέγας ὁ Θεὸς τῶν χριστιανῶν· οὐκ ἔστιν ἄλλος Θεὸς πλὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν Πατρί, καὶ Πνεύματι ἁγίῳ δοξαζομένου. Ζήλου δὲ θείου κατάπλεως γενόμενος ὁ βασιλεὺς Ἀβεννήρ, ἐφάλλεται στεῤῥῶς κατὰ τῶν εἰδώλων, ἃ ἦσαν ἐν τῷ παλατίῳ αὐτοῦ, ἐκ χρυσοῦ καὶ ἀργύρου πεποιημένα, καὶ εἰς ἔδαφος ταῦτα κατασπᾷ· εἶτα εἰς λεπτὰ διελών, πένησι διανέμει, καὶ ὠφέλιμα οὕτω τὰ ἀνωφελῆ θέμενος.

Ἀμέλει, καὶ μετὰ τοῦ υἱοῦ τοὺς τῶν εἰδώλων ναοὺς καὶ βωμοὺς πάντας περιστάντες, μέχρις αὐτῶν κατηδάφουν τῶν θεμελίων· ἱερὰ δὲ τῷ Θεῷ τεμένη ἀντῳκοδόμουν οὐ μόνον δὲ ἐν τῇ πόλει, ἀλλὰ καὶ ἀνὰ τὴν χώραν πᾶσαν, σπουδῇ ταῦτα ἐποίουν· τὰ δὲ πονηρὰ πνεύματα τὰ τοῖς βωμοῖς ἐνοικοῦντα, ὀλολύζοντα, ἠλαύνοντο· καὶ τὴν ἄμαχον τοῦ Θεοῦ ἡμῶν δύναμιν ὑποτρέμοντα, ἐβόων· πᾶσα δὲ ἡ περίχωρος, καὶ τὰ τῶν προσοίκων ἐθνῶν πλεῖστα πρὸς τὴν εὐσεβῆ πίστιν ἐχειραγωγοῦντο. Τότε δὴ καὶ τοῦ ἀνωτέρω ῥηθέντος θειοτάτου Ἐπισκόπου παραγενομένου, κατηχεῖται ὁ βασιλεὺς Ἀβεννήρ, καὶ τῷ θείῳ τελειοῦται βαπτίσματι, εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ Ἰωάσαφ τοῦτον ἐκ τῆς θείας κολυμβήθρας ἀναδέχεται· τοῦτο δὴ τὸ καινότατον, γεννήτωρ τοῦ πατρὸς ἀναδειχθείς, καὶ τῷ σαρκικῶς γεννήσαντι, τῆς πνευματικῆς ἀναγεννήσεως πρόξενος γινόμενος· υἱὸς γὰρ ἦν τοῦ οὐρανίου Πατρός, καὶ καρπὸς ὄντως τῆς θείας ῥίζης θειότατος· ῥίζης ἐκείνης τῆς βοώσης, «ἐγώ εἰμι ἡ

[1] Ὅρα ὁμολογίαν καὶ γνησίαν μετάνοιαν τοῦ βασιλέως Ἀβεννήρ.



ἄμπελος, ὑμεῖς τὰ κλήματα» (Ἰωάν. ιέ. 5). Οὕτως ἀναγεννηθεὶς ὁ βασιλεὺς δι᾽ ὕδατος καὶ Πνεύματος, ἔχαιρε χαρᾷ ἀνεκλαλήτῳ· σὺν αὐτῷ δὲ καὶ πᾶσα ἡ πόλις καὶ ἡ περίχωρος, τοῦ θείου ἠξιοῦντο βαπτίσματος· καὶ φωτὸς υἱοὶ ἀνεδείκνυντο οἱ πρὶν ἐσκοτισμένοι. Πᾶσα δὲ νόσος, καὶ πᾶσα δαιμονικὴ ἐπιφορά, πόῤῥω τῶν πιστευόντων ἠλαύνετο. Ἄρτιοι δὲ καὶ ὑγιεῖς πάντες τάς τε ψυχὰς καὶ τὰ σώματα ἦσαν· καὶ πολλὰ ἕτερα θαυμάσια εἰς βεβαίωσιν τῆς πίστεως ἐτελειοῦντο· ἐκκλησίαι τε ἀνῳκοδομοῦντο, καὶ Ἐπίσκοποι οἱ κεκρυμμένοι διὰ τὸν φόβον ἐφανεροῦντο, καὶ τὰς ἰδίας ἀπελάμβανον ἐκκλησίας· καὶ ἄλλοι ἔκ τε τῶν Ἱερέων καὶ Μοναζόντων προεχειρίζοντο εἰς τὸ ποιμαίνειν τὸ τοῦ Χριστοῦ ποίμνιον.

Ὁ μέντοι βασιλεὺς Ἀβεννήρ, οὕτω τῆς προτέρας ἐκείνης μοχθηρᾶς ἀγωγῆς ἀποστάς, καὶ μετάμελος ὢν ἐφ᾽ οἷς ἔπραξε, πᾶσαν μὲν τὴν βασίλειον ἀρχὴν τῷ υἱῷ παραδίδωσιν· αὐτὸς δὲ καθ᾽ ἑαυτὸν ἠρεμῶν, κόνιν ἀεὶ τῇ κεφαλῇ καταχέων, βαρεῖς τε ἀναφέρων στεναγμούς, καὶ λούων τοῖς δάκρυσιν ἑαυτόν, μόνος μόνῳ τῷ πανταχοῦ παρόντι ὡμίλει, συγγνώμην αὐτῷ τῶν οἰκείων πταισμάτων ἐξαιτούμενος· εἰς τοσαύτην δὲ κατανύξεως, καὶ ταπεινοφροσύνης ἄβυσσον ἑαυτὸν καθῆκεν, ὡς παραιτεῖσθαι καὶ τὸ τοῦ Θεοῦ ὄνομα τοῖς αὐτοῦ ὀνομάζειν χείλεσι· μόλις δὲ τούτου τῇ τοῦ υἱοῦ νουθεσίᾳ κατατολμῆσαι. Οὕτω δὲ τὴν καλὴν ἀλλοίωσιν ἀλλοιωθείς, τὴν πρὸς ἀρετὴν ἀπάγουσαν ὥδευσεν, ὡς ὑπερβῆναι αὐτὸν τῇ εὐσεβείᾳ, τῶν προτέρων ἀνομιῶν τὸ ἀγνόημα. Ἐπὶ τέσσαρας δὲ χρόνους οὕτω βιοὺς ἐν μετανοίᾳ, καὶ δάκρυσι, καὶ ἀρετῇ πάσῃ, ἀῤῥωστίᾳ περιέπεσεν, ἐν ᾗ καὶ τελευτᾷ. Ὅτε δὲ τὸ τέλος ἤγγισεν, ἤρξατο φοβεῖσθαι, καὶ ἀδημονεῖν, μνείαν ποιούμενος τῶν αὐτῷ πεπραγμένων κακῶν. Ὁ δὲ Ἰωάσαφ ῥήμασι παρακλητικοῖς τὸ ἐπιπεσὸν αὐτῷ διεκούφιζεν ἄχθος. «Ἵνα τί περίλυπος εἶ, πάτερ, λέγων; καὶ ἵνα τί συνταράττεις ἑαυτόν; ἔλπισον ἐπὶ τὸν Θεόν, καὶ ἐξομολογοῦ αὐτῷ· ὅς ἐστιν ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν» (Ψαλμ. μά. 6. ξδ΄. 6). Ὃς κέκραγε διὰ τοῦ προφήτου· «Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· μάθετε καλὸν ποιεῖν· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ» (Ἠσαΐ. ά. 16). Μὴ φοβοῦ τοίνυν, ὦ πάτερ, μηδὲ δίσταζε· οὐ νικῶσι γὰρ αἱ ἁμαρτίαι τῶν ἐπιστρεφόντων πρὸς Θεόν, τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα· αὗται γὰρ ὑπὸ μέτρον εἰσὶ καὶ ἀριθμόν, ὅσαι ἂν ὦσιν· ἐκείνη δὲ ἀμέτρητός ἐστι καὶ ἀναρίθμητος. Οὐκ ἐνδέχεται τοίνυν τὸ ὑποκείμενον μέτρῳ,

www.tezaurliturgic.ro



τοῦ ἀμετρήτου περιγενέσθαι. Τοιούτοις παρακλητικοῖς ῥήμασι κατεπάδων αὐτοῦ τὴν ψυχήν, εὔελπιν ἀπειργάσατο.

Εἶτα ἐκτείνας ὁ πατὴρ τὰς χεῖρας, εὐχαριστῶν αὐτῷ ὑπερηύχετο, καὶ τὴν ἡμέραν εὐλόγει, ἐν ᾗ αὐτὸς ἐγεννήθη, τέκνον, λέγων, γλυκύτατον, τέκνον οὐκ ἐμόν, ἀλλὰ τοῦ οὐρανίου Πατρός· ποίαν ἀποδώσω σοι χάριν; ποίαις εὐλογήσω σε εὐλογίαις; τίνα δὲ εὐχαριστίαν ἀναπέμψω Θεῷ περὶ σοῦ; ἀπολωλὼς γὰρ ἤμην, καὶ εὑρέθην διὰ σοῦ· νεκρὸς ἤμην τῇ ἁμαρτίᾳ, καὶ ἀνέζησα· ἐχθρός, καὶ ἀποστάτης Θεοῦ, καὶ κατηλλάγην. Τί οὖν ἀνταποδώσω σοι ὑπὲρ τούτων ἁπάντων; Θεός ἐστιν ὁ ἀξίας σοι παρέχων τὰς ἀμοιβάς. Οὕτω λέγων, καὶ πυκνὰ τὸν φίλτατον καταφιλῶν παῖδα, εἶτα εὐξάμενος, καὶ εἰς χεῖράς σου, φιλάνθρωπε Θεέ, παρατίθημι τὸ πνεῦμά μου εἰπών, ἐν μετανοίᾳ τὴν ψυχὴν τῷ Θεῷ παρέθετο. Ὁ δὲ Ἰωάσαφ δάκρυσι τιμήσας τελευτήσαντα τὸν πατέρα, καὶ κηδεύσας αὐτοῦ τὸ λείψανον ἐντίμως, κατέθετο ἐν μνήματι ἀνδρῶν εὐσεβῶν· οὐ μέντοι βασιλικῇ περιβαλὼν ἐσθῆτι, ἀλλὰ μετανοίας κοσμήσας ἀμφίοις. Στὰς δὲ ἐπὶ τῷ μνήματι, χεῖράς τε εἰς οὐρανὸν διάρας, καὶ δάκρυα τῶν ὀμμάτων ποταμηδὸν καταδύσας, ἐβόησε πρὸς τὸν Θεὸν λέγων. Εὐχαριστῶ σοι, βασιλεῦ τῆς δόξης, μόνε κραταιὲ καὶ ἀθάνατε, ὅτι οὐ παρεῖδες τὴν δέησίν μου, καὶ τῶν δακρύων μου οὐ παρεσιώπησας, ἀλλ' εὐδόκησας τὸν δοῦλόν σου τοῦτον, καὶ πατέρα μου, τῆς ὁδοῦ ἀποστρέψαι τῶν ἀνομιῶν, καὶ πρὸς ἑαυτὸν ἑλκύσαι τὸν Σωτῆρα τῶν ἁπάντων· ἀποστήσας μὲν τῆς ἀπάτης τῶν εἰδώλων, καταξιώσας δὲ γνωρίσαι σὲ τὸν ἀληθινὸν Θεὸν καὶ φιλάνθρωπον. Καὶ νῦν, ὦ Κύριε, Κύριέ μου καὶ Θεέ, ὁ ἀνεξιχνίαστον ἔχων τὸ τῆς ἀγαθότητος πέλαγος, τάξον αὐτὸν ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναπαύσεως, ὅπου τὸ φῶς λάμπει τοῦ σοῦ προσώπου· καὶ μὴ μνησθῇς ἀνομιῶν αὐτοῦ ἀρχαίων, ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός σου ἐξάλειψον τὸ χειρόγραφον τῶν αὐτοῦ πταισμάτων, καὶ τὰ γραμματεῖα διάῤῥηξον τῶν αὐτοῦ ὀφλημάτων· καὶ τοὺς ἁγίους σου κατάλλαξον αὐτῷ, οὓς πυρί τε καὶ ξίφει ἀνεῖλε· καὶ ἐπίταξον αὐτοὺς μὴ κατ' αὐτοῦ ὀργίζεσθαι· πάντα γὰρ δυνατά σοι τῷ πάντων Δεσπότῃ, ἀλλ' ἢ μόνον τὸ μὴ ἐλεεῖν τοὺς μὴ ἐπιστρέφοντας πρὸς σέ, τοῦτο ἀδύνατον· τὸ γὰρ ἔλεός σου ἐκκέχυται ἐπὶ πάντας, καὶ σώζεις τοὺς ἐπικαλουμένους σε, Κύριε Ἰησοῦ Χριστέ· ὅτι πρέπει σοι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τοιαύτας εὐχὰς καὶ δεήσεις προσέφερε τῷ Θεῷ ἐν ὅλαις ἑπτὰ ἡμέραις, μηδόλως τοῦ μνήματος ἀποστάς· μὴ βρώσεως, ἢ πόσεως τὸ παράπαν μνησθείς, μήτε μὴν ἀναπαύσεως ὕπνου μετασχών· ἀλλὰ δάκρυσι μὲν τὸ ἔδαφος ἔβρεχε, στεναγμοῖς δὲ ἀσιγήτοις εὐχόμενος διετέλει. Τῇ ὀγδόῃ δὲ εἰς τὸ παλάτιον ἐπανελθών, πάντα τὸν πλοῦτον καὶ τὰ χρήματα τοῖς δεομένοις διένειμεν, ὡς μηκέτι ἀπολειφθῆναί τινα τῶν χρείαν ἐχόντων. Ἐν ὀλίγαις δὲ ἡμέραις τῆς τοῦ πατρὸς τελευτῆς, τὴν τοιαύτην τελέσας διακονίαν, καὶ πάντας τοὺς θησαυροὺς κατακενώσας, ὅπως, μέλλοντι τὴν στενὴν εἰσιέναι πύλην, μηδὲν αὐτῷ ἐμποδίσειεν ὁ τῶν χρημάτων ὄγκος, τῇ τεσσαρακοστῇ ἡμέρᾳ τῆς τοῦ πατρὸς τελευτῆς μνήμην αὐτῷ τελῶν, συγκαλεῖ πάντας τοὺς ἐν τέλει, καὶ τοὺς στρατιωτικὰ περιεζωσμένους, καὶ τοῦ πολιτικοῦ λαοῦ οὐκ ὀλίγους, καὶ προκαθίσας ὡς ἔθος, φησὶν εἰς ἐπήκοον πάντων.



Ἰδού, καθὼς ὁρᾶτε, Ἀβεννὴρ ὁ βασιλεὺς καὶ πατήρ μου τέθνηκεν ὡς εἷς τῶν πενήτων· καὶ οὐδὲν αὐτῷ οὔτε ὁ πλοῦτος, οὔτε ἡ βασιλικὴ δόξα, οὔτε ἐγὼ ὁ φιλοπάτωρ υἱός, οὔτε τις τῶν λοιπῶν αὐτοῦ φίλων καὶ συγγενῶν βοηθῆσαι ἴσχυσεν αὐτῷ, ἢ τῆς ἀπαραιτήτου ψήφου ἐξελέσθαι· ἀλλ' ὑπάγει πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια, λόγον ὑφέξων τῆς πολιτείας τοῦ παρόντος βίου· μηδένα τῶν ἁπάντων συνεργὸν ἐπαγόμενος, ἀλλ' ἢ μόνον τὰ αὐτῷ πεπραγμένα, ὁποῖα ἂν ᾖ· τὸ αὐτὸ δὲ τοῦτο, καὶ πᾶσι τοῖς τὴν βροτείαν λαχοῦσι φύσιν συμβαίνειν πέφυκε, καὶ ἄλλως οὐκ ἔστι. Νῦν οὖν ἀκούσατέ μου, φίλοι καὶ ἀδελφοί, λαὸς Κυρίου, καὶ κλῆρος ἅγιος, οὓς ἐξηγόρασε Χριστὸς ὁ Θεὸς τῷ τιμίῳ αὐτοῦ αἵματι, καὶ τῆς παλαιᾶς πλάνης καὶ δουλείας τοῦ ἀντικειμένου ἐῤῥύσατο· αὐτοὶ οἴδατε τὴν ἐν ὑμῖν ἀναστροφήν μου, ὡς ἐξότε τὸν Χριστὸν ἔγνων, καὶ δοῦλος αὐτοῦ ἠξιώθην γενέσθαι, πάντα μισήσας, αὐτὸν ἐπόθησα μόνον, καὶ τοῦτό μοι ἦν καταθύμιον, τῆς ζάλης τοῦ βίου, καὶ ματαίας τύρβης ὑπεξελθόντα, μόνος μόνῳ αὐτῷ συνεῖναι, καὶ ἐν ἀταράχῳ γαλήνῃ ψυχῆς δουλεῦσαι τῷ Θεῷ μου καὶ Δεσπότῃ· ἀλλὰ κατέσχε με ἡ τοῦ πατρός μου ἔνστασις καὶ ἐντολή, ἡ τιμᾶν τοὺς γεννήτορας κελεύουσα. Ὅθεν Θεοῦ χάριτι καὶ συνεργείᾳ οὐκ εἰς μάτην ἐκοπίασα, οὐδὲ εἰς κενὸν τὰς τοιαύτας ἀνάλωσα ἡμέρας, ἀλλ' ἐκεῖνόν τε ᾠκείωσα Χριστῷ, καὶ πάντας ὑμᾶς τοῦτον μόνον γινώσκειν Θεὸν ἀληθινόν, καὶ Κύριον τοῦ παντὸς ἐδίδαξα· οὐκ ἐγὼ τοῦτο ποιήσας, ἀλλ' ἡ χάρις αὐτοῦ ἡ σὺν ἐμοί· ἥτις κἀμὲ τῆς δεισιδαίμονος πλάνης καὶ λατρείας τῶν δαιμόνων καὶ εἰδώλων ἐξείλετο, καὶ ὑμᾶς, λαός μου, τῆς χαλεπῆς ἠλευθέρωσεν αἰχμαλωσίας. Καιρὸς οὖν ἤδη λοιπὸν τὰ ἐπηγγελμένα τῷ Θεῷ, ἔργῳ πληρῶσαι· καιρὸς ἀπελθεῖν, ὅπου αὐτὸς ὁδηγήσει με, καὶ ἀποδοῦναι τὰς εὐχάς μου, ἃς ηὐξάμην αὐτῷ. Νῦν οὖν σκέψασθε ὑμεῖς, ὃν ἂν βούλησθε ἀφηγεῖσθαι ὑμῶν καὶ βασιλεύειν· ἤδη γὰρ κατηρτισμένοι ἐστὲ εἰς τὸ θέλημα τοῦ Κυρίου, καὶ οὐδὲν ἀποκέκρυπται ὑμῖν τῶν αὐτοῦ προσταγμάτων· ἐν τούτοις πορεύ-

www.tezaurliturgic.ro



εσθε, μὴ ἐκκλίνοντες δεξιά, ἢ ἀριστερά· καὶ ὁ Θεὸς τῆς εἰρήνης εἴη μετὰ πάντων ὑμῶν.

Ταῦτα ὡς ἤκουσεν ὁ λαὸς ἐκεῖνος καὶ δῆμος, θόρυβος εὐθύς, καὶ πάταγος, καὶ βοὴ πλείστη, καὶ σύγχυσις ἦν, κλαιόντων πάντων, καὶ ὀδυρομένων τὴν ὀρφανίαν. Τοιαῦτα θρηνοῦντες, πρὸς τοῖς θρήνοις, καὶ ὅρκοις ἐβεβαίουν ἀλλήλοις, μὴ μεθήσειν ὅλως, ἀλλ' ἀνθέξεσθαι, καὶ τὴν ὑποχώρησιν αὐτῷ μὴ παραχωρῆσαι τὸ παράπαν. Οὕτω βοῶντος τοῦ δήμου, καὶ τῶν ἐν τέλει πάντων, ὑπολαβὼν ὁ βασιλεύς, κατασείει τῷ ὄχλῳ, καὶ σιγὴν αὐτοῖς διακελεύεται· καὶ εἴκειν τῇ ἐκείνων ἐνστάσει εἰπών, λυπουμένους αὐτοὺς ὅμως, καὶ τὰ τῆς οἰμωγῆς σημεῖα ἐπὶ τῶν παρειῶν φέροντας, παραμυθούμενος οἴκαδε ἐκπέμπει. Αὐτὸς δὲ ἕνα τῶν ἀρχόντων, ὃς ἦν πάντων πρόκριτος αὐτῷ, ἐπ' εὐσεβείᾳ καὶ σεμνότητι βίου θαυμαζόμενος, Βαραχίας τοὔνομα, ὅνπερ καὶ ἀνωτέρω ὁ λόγος ἐδήλωσεν, ἡνίκα Ναχὼρ τὸν Βαρλαὰμ ὑποκρινόμενος τοῖς φιλοσόφοις διελέγετο, καὶ μόνος ὁ Βαραχίας ἡτοιμάσθη συμπαραστῆναι αὐτῷ, καὶ συναγωνίσασθαι, ζήλῳ θείῳ ἐκκαυθεὶς τὴν καρδίαν· τοῦτον κατὰ μόνας λαβὼν ὁ βασιλεὺς Ἰωάσαφ, προσηνῶς διελέγετο, καὶ θερμότατα ἐδεῖτο παραλαβεῖν τὴν βασιλείαν, καὶ ἐν φόβῳ Θεοῦ τὸν λαὸν αὐτοῦ ποιμᾶναι, ὡς ἂν αὐτὸς τὴν ποθουμένην αὐτῷ πορεύσεται ὁδόν. Ὡς δὲ αὐτὸν ἀπαναινόμενον εἶδε, καὶ πάντῃ ἀπαγορεύοντα, καί, ὦ βασιλεῦ, λέγοντα· ὡς ἄδικός σου ἡ κρίσις· ὡς κατ' ἐντολήν σοι ὁ λόγος· εἰ γὰρ ἀγαπῆσαι τὸν πλησίον ὡς ἑαυτὸν ἐδιδάχθης, τίνι τρόπῳ, ὅπερ αὐτὸς ἀποῤῥίψαι σπουδάζεις βάρος, ἐμοὶ ἐπιθεῖναι ἐπείγῃ; εἰ μὲν γὰρ καλὸν τὸ βασιλεύειν, αὐτὸς τὸ καλὸν κάτεχε· εἰ δὲ πρόσκομμα τοῦτο ψυχῆς καὶ σκάνδαλον, τί μοι προστίθης, καὶ ὑποσκελίζειν βούλει; Ὡς τοιαῦτα λέγοντα, καὶ διαβεβαιούμενον εἶδεν, ἐπαύσατο τῆς ὁμιλίας. Καὶ δὴ ὑπὸ νύκτα βαθεῖαν, ἐπιστολὴν μὲν διαχαράττει πρὸς τὸν λαόν, πολλῆς γέμουσαν τῆς φιλοσοφίας, καὶ πᾶσαν ὑπαγορεύουσαν τὴν εὐσέβειαν· ὁποίαν τε ὀφείλουσι περὶ Θεοῦ δόξαν ἔχειν· οἷον δὲ βίον αὐτῷ προσφέρειν· οἵους ὕμνους· οἵας εὐχαριστίας· εἶτα, μὴ ἄλλον ἢ τὸν Βαραχίαν δέξασθαι εἰς τὴν βασίλειον κελεύει ἀρχήν· καὶ εἰς τὸν ἑαυτοῦ κοιτῶνα τὸν χάρτην, ἐν ᾧ ἡ ἐπιστολή, καταλιπών, λαθὼν ἅπαντας ἐξέρχεται τοῦ παλατίου· ἀλλ' οὐκ ἠδυνήθη λαθεῖν εἰς τέλος· ἅμα γὰρ πρωῒ τοῦτο ἀκουσθέν, τάραχον εὐθὺς καὶ ὀδυρμὸν τῷ λαῷ ἐνεποίησε· καὶ πάντες τάχει πολλῷ εἰς ζήτησιν αὐτοῦ ἐξέρχονται, προκαταλαβεῖν αὐτῷ τὴν φυγὴν ἐκ παντὸς τρόπου διανοούμενοι. Ὅθεν οὐδὲ εἰς μάτην αὐτοῖς ἐχώρησεν ἡ σπουδή· ὡς γὰρ πάσας προκατελάμβανον τὰς ὁδούς, ὄρη τε



πάντα περιεκύκλουν, καὶ ἀτριβεῖς περιήρχοντο φάραγγας, ἐν χειμάῤῥῳ τινὶ τοῦτον εὑρίσκουσι, χεῖρας εἰς οὐρανὸν ἐκτεταμένας ἔχοντα, καὶ τὴν εὐχὴν τῆς ἕκτης ἐπιτελοῦντα ὥρας. Ἰδόντες δὲ αὐτόν, περιεχύθησαν, δάκρυσι δυσωποῦντες, καὶ τὴν ἀποδημίαν ὀνειδίζοντες.

Ὁ δέ, τί, φησί, μάτην κοπιᾶτε; μηκέτι γὰρ ἐμὲ βασιλέα ἔχειν ἐλπίζετε. Τῇ πολλῇ δὲ αὐτῶν ὑπενδοὺς ἐνστάσει, ὑποστρέψας αὖθις εἰς τὸ παλάτιον, καὶ συναγαγὼν ἅπαντας, τὴν ἑαυτοῦ ἐφανέρωσε βουλήν· εἶτα καὶ ὅρκοις ἐμπεδοῖ τὸν λόγον, ὡς οὐδὲ μίαν αὐτοῖς τοῦ λοιποῦ συνέσται ἡμέραν· ἐγὼ γάρ, φησί, τὴν πρὸς ὑμᾶς διακονίαν μου ἐπλήρωσα· καὶ οὐδὲν ἐνέλιπον, οὐδὲ ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι, διαμαρτυρόμενος πᾶσι τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν, καὶ μετανοίας ὁδὸν ὑποδεικνύων. Καὶ νῦν ἰδοὺ ἐγὼ πορεύομαι τὴν ὁδόν, ἣν ἔκπαλαι ἐπόθουν· καὶ οὐκέτι ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες. Διὸ μαρτύρομαι ὑμῖν τὴν σήμερον ἡμέραν κατὰ τὸν θεῖον Ἀπόστολον, ὅτι καθαρὸς ἐγώ εἰμι ἀπὸ τοῦ αἵματος πάντων ὑμῶν· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. Ταῦτα ἀκούσαντες, καὶ τὸ τῆς γνώμης αὐτοῦ στεῤῥὸν ἐπιστάμενοι, ὡς οὐδὲν αὐτὸν τῆς προθέσεως κωλῦσαι δύναται, ὠδύροντο μὲν τὴν ὀρφανίαν, οὐκ εἶχον δὲ ὅλως αὐτὸν πειθόμενον. Τότε ὁ βασιλεύς, τὸν Βαραχίαν ἐκεῖνον, ὃν καὶ φθάσας ὁ λόγος ἐδήλωσε, κατασχών, τοῦτον, εἶπεν, ἀδελφοί, τοῦτον ὑμῖν προχειρίζομαι βασιλέα. Τοῦ δὲ ἰσχυρῶς πρὸς τὸ πρᾶγμα ἀπειθοῦντος, ἄκοντα καὶ μὴ βουλόμενον τῇ βασιλικῇ ἀρχῇ ἐγκαθίστησι, καὶ τῇ κεφαλῇ αὐτοῦ τὸ διάδημα περιτίθησι, τὸ βασιλικόν τε δακτύλιον δίδωσιν εἰς τὴν χεῖρα· καὶ στὰς κατὰ ἀνατολάς, ηὔξατο εὐχὴν τῷ βασιλεῖ Βαραχίᾳ, ἀπερίτρεπτον αὐτῷ τὴν εἰς Θεὸν φυλαχθῆναι πίστιν, καὶ ἀκλινῆ τὴν κατὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ εὑρεῖν πορείαν· σὺν τούτῳ δέ, ὑπερηύχετο τοῦ κλήρου, καὶ τοῦ ποιμνίου παντός· ᾐτεῖτό τε ἀντίληψιν αὐτοῖς παρὰ Κυρίου καὶ σωτηρίαν, καὶ πᾶν ὅ,τι περ ἂν αὐτοῖς εἰς αἴτησιν ᾖ, πρὸς τὸ συμφέρον οἰκονομούμενον. Οὕτως εὐξάμενος, ἐπιστραφεὶς λέγει τῷ Βαραχίᾳ.

Ἰδού, ἀδελφέ, ἐντέλλομαί σοι, καθώς ποτε ὁ Ἀπόστολος διεμαρτύρατο. «Πρόσεχε σεαυτῷ, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ σε τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο βασιλέα ποιμαίνειν τὸν λαὸν τοῦ Κυρίου, ὃν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος» (Πράξ. κ'. 17)· καὶ καθὼς πρὸ ἐμοῦ ἔγνως τὸν Θεόν, καὶ ἐλάτρευσας αὐτῷ ἐν καθαρῷ συνειδότι, οὕτω καὶ νῦν πλείονα σπουδὴν ἐνδείκνυσο εὐαρεστῆσαι αὐτῷ· ὡς γὰρ μεγάλης ἠξιώθης παρὰ Θεοῦ ἀρχῆς, τοσοῦτον μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις. Οὐκοῦν

www.tezaurliturgic.ro



ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος τῆς εὐχαριστίας, τὰς ἁγίας αὐτοῦ φυλάττων ἐντολάς, καὶ πάσης ἐκκλίνων ὁδοῦ, τῆς εἰς ἀπώλειαν φερούσης. Ὥσπερ γὰρ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ναύτης σφάλῃ, μικρὰν φέρει τοῖς πλέουσι ζάλην· ὅταν δὲ αὐτὸς ὁ κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν· οὕτω καὶ ἐν βασιλεῦσιν· ἂν μέν τις τῶν ἀρχομένων ἁμάρτῃ, οὐ τοσοῦτον τὸ κοινὸν ὅσον ἑαυτὸν ἀδικεῖ· ἂν δὲ αὐτὸς ὁ βασιλεύς, πάσης ἐργάζεται τῆς πολιτείας βλάβην. Ὡς μεγάλας οὖν ὑφέξων εὐθύνας, εἴ τι παρίδῃς τῶν δεόντων, μετὰ πολλῆς ἀκριβείας φύλαττε σεαυτὸν ἐν τῷ ἀγαθῷ· μίσησον πᾶσαν ἡδονήν, πρὸς ἁμαρτίαν σε ἕλκουσαν· φησὶ γὰρ ὁ Ἀπόστολος· «εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον» (Ἑβρ. ιβ΄. 14)· τὸν κύκλον πρόσεχε, ὅστις περιτρέχει τῶν ἀνθρωπίνων πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτὰ καὶ περιφέρων· καὶ ἐν τῇ τούτων ἀγχιστρόφῳ μεταβολῇ, ἀμετάβλητον ἔχε τὸν εὐσεβῆ λογισμόν· τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον· σὺ δὲ πάγιος ἔσο ἐν τῷ ἀγαθῷ, ὅλως ἐρηρεισμένος· μὴ ἐπαίρου διὰ τῆς προσκαίρου δόξης πρὸς μάταιον φύσημα· ἀλλὰ κεκαθαρμένῳ λογισμῷ, τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ νόει φύσεως· τὸ βραχύ τε καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ θάνατον· καὶ ταῦτα λογιζόμενος, εἰς τὸν τῆς ὑπεροψίας οὐ βληθήσῃ βόθρον, ἀλλὰ φοβηθήσῃ τὸν Θεόν, τὸν ἀληθῆ καὶ ἐπουράνιον βασιλέα· καὶ ὄντως μακάριος ἔσῃ· «μακάριοι γὰρ πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ» (Ψαλμ. ρκζ΄. 1). Καί· «μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα» (Ψαλμ. ριά. 1).

Ποίας δὲ πρὸ πάντων ὀφείλεις τηρεῖν ἐντολάς; «μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται» (Ματθ. έ. 7). Καί· «γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος» (Λουκ. ς΄. 36). Ταύτην γὰρ τὴν ἐντολὴν πρὸ πάντων ἀπαιτοῦνται οἱ ἐν μεγίστῃ ὄντες ἀρχῇ· καὶ ἀληθῶς ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα τῆς ἐξουσίας ὀφείλει μιμεῖσθαι κατὰ δύναμιν· ἐν τούτῳ δὲ μάλιστα τὸν Θεὸν μιμήσεται, ἐν τῷ μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον· ἀλλὰ καὶ τὸ ὑπήκοον οὐδὲν οὕτως εἰς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιΐας χάρις διδομένη τοῖς χρῄζουσιν· ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, κατεσχηματισμένη ἐστὶ θωπεία, πεπλασμένῳ τιμῆς ὀνόματι φενακίζουσα τοὺς αὐτὴν προσέχοντας· καὶ τὸ ἀκουσίως ὑποτεταγμένον, στασιάζει, καιροῦ λαβόμενον· τὰ δὲ τοῖς δεσμοῖς τῆς εὐνοίας κρατούμενον, βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν εὐπείθειαν. Διὸ εὐπρόσιτος ἔσο τοῖς



δεομένοις, καὶ ἄνοιγε ὦτα τοῖς πενομένοις, ἵνα εὕρῃς τὴν τοῦ Θεοῦ ἀκοὴν ἀνεῳγμένην· οἷοι γὰρ τοῖς ἡμετέροις γινόμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν Δεσπότην· καὶ ὡς ἀκούομεν, ἀκουσθησόμεθα· καὶ ὡς ὁρῶμεν, ὁραθησόμεθα ὑπὸ τοῦ θείου καὶ παντεφόρου βλέμματος. Προεισενέγκωμεν οὖν τοῦ ἐλέου τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν. Ἀλλὰ καὶ ἑτέραν ἄκουε ἐντολήν, σύζυγον τῆς προτέρας· «ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν» καί· «ἐὰν οὐκ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὑμῖν ἀφήσει ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν» (Ματθ. ς΄. 15)· Διὸ μὴ μνησικακήσῃς τοῖς πταίουσιν, ἀλλὰ συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν· ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις· καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγῇ, τῆς δεσποτικῆς ὀργῆς γίνεται ἀπαλλαγή· καὶ αὖθις· τὸ ἀσυμπαθὲς ἡμῶν πρὸς τοὺς πταίοντας, ἀσύγγνωστα ἡμῖν ποιεῖ τὰ ἡμέτερα πταίσματα· καθάπερ ἀκούεις, τί ὁ τῶν μυρίων πέπονθεν ὀφειλέτης ταλάντων, τῇ πρὸς τὸν σύνδουλον ἀσπλαγχνίᾳ, ἑαυτῷ τὴν εἴσπραξιν ἀνανεώσας τοῦ τοσούτου χρέους. Διὸ προσεκτέον ἀκριβῶς μὴ τὰ ὅμοια καὶ ἡμεῖς πάθοιμεν· ἀλλ᾽ ἀφήσωμεν πᾶσαν ὀφειλήν, καὶ πᾶσαν μῆνιν ἐκ καρδίας ἐκβάλωμεν, ἵνα καὶ ἡμῖν ἀφεθῇ τὰ πολλὰ ἡμῶν ὀφλήματα· ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων, τὴν καλὴν φύλαττε παρακαταθήκην, τὸν εὐσεβῆ τῆς πίστεως λόγον, ὃν ἔμαθες καὶ ἐδιδάχθης· καὶ πᾶν ζιζάνιον αἱρέσεως μὴ ἐκφυέσθω ἐν ὑμῖν· ἀλλὰ καθαρὸν καὶ ἄδολον τὸν θεῖον διατήρησον σπόρον, ἵνα πολύχουν τὸν καρπὸν ὑποδείξῃς τῷ Δεσπότῃ, ἡνίκα ἔλθῃ λόγον ἀπαιτῶν ἑκάστῳ τῶν βεβιωμένων, καὶ ἀποδιδοὺς ἑκάστῳ καθὰ ἔπραξεν· ὅταν οἱ μὲν δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, τοὺς ἁμαρτωλοὺς δὲ σκότος καλύψει, καὶ αἰσχύνη αἰώνιος. «Καὶ τανῦν, ἀδελφοί, παρατίθεμαι ὑμᾶς τῷ Θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ὑμᾶς ἐποικοδομῆσαι, καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσι» (Πραξ. κ΄. 32).

Καὶ ταῦτα εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ, καθὰ γέγραπται, μετὰ δακρύων αὖθις προσηύξατο. Καὶ ἐπιστραφείς, κατεφίλησε τὸν Βαραχίαν, ὃν βασιλέα προεχειρίσατο, καὶ πάντας τοὺς ἐν τέλει. Τότε δὴ γίνεται πρᾶγμα δακρύων ὡς ἀληθῶς ἄξιον. Περιστάντες γὰρ αὐτὸν ἅπαντες, ὥσπερ τῷ ἐκείνῳ συνεῖναι, ζῶντας, καὶ τῇ διαιρέσει μέλλοντας συναφαιρεῖσθαι καὶ τὰς ψυχάς, τί μὴ πρὸς οἶκτον ἔλεγον; ποίαν θρήνων ὑπερβολὴν ἀπελίμπανον; κατεφίλουν αὐτόν· περιέβαλλον· παραφρονεῖν αὐτοὺς ἐποίει τὸ πάθος· οὐαὶ ἡμῖν ἐβόων τῆς χαλεπῆς ταύτης δυστυχίας· δεσπότην αὐτὸν ἀνεκαλοῦντο· πατέρα· σωτῆρα· εὐερ-

www.tezaurliturgic.ro



γέτην· διὰ σοῦ, φασί, τὸν Θεὸν ἔγνωμεν· τῆς πλάνης λελυτρώμεθα· τῶν κακῶν πάντων ἀνάπαυσιν εὕρομεν· τί λοιπὸν ἔσται ἡμῖν μετὰ τὸν σὸν χωρισμόν; ποῖα οὐ καταλήψεται κακά; Τοιαῦτα λέγοντες, τὰ στήθη ἔπαιον, καὶ τὴν κατασχοῦσαν αὐτοὺς ὠλοφύροντο συμφοράν. Ὁ δὲ λόγοις αὐτοὺς παρακλήσεως τῶν πολλῶν κατασιγήσας οἰμωγῶν, καὶ συνεῖναι τῷ πνεύματι ἐπαγγειλάμενος, ὡς τῷ γε σώματι ἀδύνατον ἤδη τοῦτο γενέσθαι[1]· τοιαῦτα εἰπών, πάντων ὁρώντων, ἐξέρχεται τοῦ παλατίου. Καὶ εὐθὺς πάντες συνείποντο, καὶ τὴν ὑποστροφὴν ἀπηγόρευον· τὴν πόλιν ὡς μηκέτι δυνατὸν ὄμμασιν ὀφθῆναι τῆς ἑαυτῶν ἀπεδίδρασκον. Ὡς δὲ τῆς πόλεως ἔξω γεγόνασι, μόλις ποτὲ τῇ τοῦ λόγου τομῇ παραινοῦντος αὐτοῦ, καὶ δριμυτέραν που τὴν ἐπιτίμησιν ἐπιφέροντος, ἀπ' αὐτοῦ διεῤῥάγησαν, καὶ ἄκοντες ἐπανήρχοντο, πυκνῶς αὐτοῖς τῶν ὀφθαλμῶν ἐπιστρεφομένων, καὶ τὴν πορείαν τοῖς ποσὶν ἐγκοπτόντων. Τινὲς δὲ τῶν θερμοτέρων, ὀδυρόμενοι, μακρόθεν ἠκολούθουν αὐτῷ· ἕως ἡ νὺξ ἐπελθοῦσα, διέστησεν αὐτοὺς ἀπ' ἀλλήλων.

Ἐξῆλθεν οὖν τῶν βασιλείων ὁ γενναῖος ἐκεῖνος χαίρων, ὡς ὅταν, ἐκ μακρᾶς ἐξορίας εἰς τὴν ἰδίαν τις ἐπανερχόμενος, γηθοσύνως πορεύοιτο· καὶ ἦν ἐνδεδυμένος ἔξωθεν μὲν τὰ ἐξ ἔθους ἱμάτια, ἔσωθεν δὲ τὸ τρίχινον ῥάκος ἐκεῖνο, ὅπερ ὁ Βαρλαὰμ αὐτῷ ἐδεδώκει· τῇ δὲ νυκτὶ ἐκείνῃ εἰς οἰκίσκον πένητός τινος καταντήσας, τὰ περικείμενα αὐτῷ ἄμφια ἐκβαλών, τελευταίαν ταύτην εὐποιΐαν τῷ πένητι δίδωσι· καὶ οὕτω ταῖς ἐκείνου τε καὶ πολλῶν ἑτέρων πενήτων εὐχαῖς ἐπίκουρον ἑαυτοῦ τὸν Θεὸν θέμενος, καὶ τὴν αὐτοῦ χάριν τε καὶ βοήθειαν, ὡς ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης ἑαυτῷ περιβαλλόμενος, ἐπὶ τὸν ἐρημικὸν ἐξῆλθε βίον, μὴ ἄρτον ἐπιφερόμενος, μὴ ὕδωρ, μὴ ἄλλο τι τῶν πρὸς τροφὴν ἐπιτηδείων, μὴ ἱμάτιον ἐνδεδυμένος, ἀλλ' ἢ τὸ σκληρὸν ἐκεῖνο ῥάκος, ὅπερ πρὸ μικροῦ ἐμνήσθημεν· πόθῳ γάρ τινι ὑπερφυεῖ, καὶ ἔρωτι θείῳ τρωθεὶς τὴν ψυχὴν τοῦ ἀθανάτου βασιλέως Χριστοῦ, ὅλος ἦν τοῦ ποθουμένου ἐξεστηκώς, ὅλος ἠλλοιωμένος Θεῷ, κάτοχος τῇ τούτου ἀγάπῃ· κραταιὰ γάρ, φησιν, ὡς πῦρ ἀγάπη. Τοιαύτην αὐτὸς ἀπὸ τῆς θείας ἀγάπης ἐδέξατο μέθην, καὶ οὕτως ἐξεκαύθη τῇ δίψῃ, κατὰ τὸν εἰπόντα· «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός. Ἐδίψησέ σε ἡ ψυχή μου τὸν Θεόν, τὸν ἰσχυρόν, τὸν ζῶντα» (Ψαλμ. μα' 1)· καὶ καθὼς ἡ τετρωμένη τῆς τοιαύτης ἀγάπης ψυχὴ βοᾷ ἐν τῷ

[1] Ὅρα γενναίαν ἀναχώρησιν ἐκ τοῦ ματαίου βίου, τοῦ γενναίου, καὶ θείου Ἰωάσαφ.



Ἄσματι τῶν Ἀσμάτων· «Ἐκαρδίωσας ἡμᾶς τῷ πόθῳ σου, ἐκαρδίωσας ἡμᾶς» (Ἆσμα δ'. θ.)· καί· «Δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν μοι τὴν φωνήν σου· ἡ γὰρ φωνή σου φωνὴ ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία» (αὐτόθι β'. 14.). Ταύτης τῆς ἀνεκλαλήτου ὡραιότητος, τοῦ Χριστοῦ τὸν πόθον· φημι· ὡς πῦρ ἐν καρδίᾳ δεξάμενος ὁ τῶν Ἀποστόλων χορός, καὶ τῶν Μαρτύρων οἱ δῆμοι, πάντων ὑπερεῖδον τῶν ὁρωμένων, πάσης δὲ ζωῆς προσκαίρου τὰ μυρία τῶν βασάνων καὶ θανάτων εἴδη προείλοντο, ἐρασθέντες τοῦ θείου κάλλους, καὶ τὸ περὶ ἡμᾶς τοῦ Θεοῦ λογισάμενοι φίλτρον.

Τοῦτο τὸ πῦρ καὶ ὁ καλὸς οὗτος, καὶ εὐγενὴς μὲν τὸ σῶμα, εὐγενέστατος δὲ μᾶλλον καὶ βασιλικώτατος τὴν ψυχὴν ἐν ἑαυτῷ δεξάμενος, πάντων ὁμοῦ τῶν γηΐνων καταφρονεῖ, πατεῖ πάσας τὰς τοῦ σώματος ἡδονάς, ὑπερορᾷ πλούτου καὶ δόξης καὶ τῆς παρ' ἀνθρώπων τιμῆς, ἀποτίθεται διάδημα καὶ ἁλουργίδα, τῶν ἀραχνίων ὑφασμάτων εὐτελέστερα ταῦτα λογισάμενος· πρὸς πάντα δὲ τὰ ἐπίπονα καὶ λυπηρὰ τοῦ ἀσκητικοῦ βίου προθύμως ἑαυτὸν ἐκδίδωσιν, ἐκολλήθη, βοῶν, ὦ Χριστέ μου, «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου» (Ψαλμ. ξβ'. θ.). Καὶ οὕτως ἀμεταστρεπτὶ χωρήσας εἰς τὸ τῆς ἐρήμου βάθος, καὶ ὡς ἄχθος τι καὶ κλοιὸν βαρύτατον ἀποθέμενος τῶν προσκαίρων τὴν σύγχυσιν, εὐφράνθη τῷ πνεύματι· καὶ τῷ ποθουμένῳ ἀτενίσας Χριστῷ, ἐβόα πρὸς αὐτὸν ὡς παρόντι, καὶ τῆς φωνῆς ἐπαΐοντι διαλεγόμενος. Μὴ τὰ ἀγαθά, φησι, τοῦ κόσμου τούτου ἴδῃ ὁ ὀφθαλμός μου ἔτι, Κύριε· μὴ μετεωρισθείη ἀπὸ τῆς δεῦρο τὸν νοῦν, ὑπὸ τῆς παρούσης ματαιότητος· ἀλλ' ἔμπλησον τοὺς ὀφθαλμούς μου, Κύριε, δακρύων πνευματικῶν, καὶ κατεύθυνον τὰ διαβήματά μου, καὶ ὑπόδειξόν μοι τὸν θεράποντά σου Βαρλαάμ, τὸν ἐμοὶ σωτηρίας γενόμενον πρόξενον, ἵνα καὶ τοῦ ἐρημικοῦ βίου τούτου καὶ ἀσκητικοῦ δι' αὐτοῦ τὴν ἀκρίβειαν μάθοιμι, καὶ μὴ τῇ ἀπειρίᾳ τῶν πολέμων τοῦ ἐχθροῦ ὑποσκελισθῶ. Δός μοι, Κύριε, τὴν ὁδὸν εὑρεῖν, δι' ἧς ἐπιτύχω σου· ὅτι τέτρωται ἡ ψυχή μου τῷ πόθῳ σου, καὶ σὲ διψῶ τὴν πηγὴν τῆς σωτηρίας μου. Ταῦτα ἔστρεφε καθ' ἑαυτὸν ἀεί, καὶ τῷ Θεῷ διελέγετο, διὰ προσευχῆς αὐτῷ καὶ θεωρίας ὑψηλοτάτης ἑνούμενος· καὶ οὕτω συντόνως τὴν ὁδοιπορίαν διήνυε, τὸν χῶρον σπεύδων καταλαβεῖν, ἔνθα Βαρλαὰμ διῆγεν· ἐτρέφετο δὲ ταῖς φυομέναις βοτάναις κατὰ τὴν ἔρημον· οὐδὲ γὰρ ἄλλο ἐπεφέρετο, καθάπερ ἔφθην εἰπών, εἰμὴ μόνον τὸ σῶμα τὸ ἴδιον, καὶ τὸ ῥάκος, ὃ περιεβέβλητο· ἀλλὰ τροφὴν μὲν μετρίαν καὶ οὐδαμινὴν ἐκ τῶν βοτανῶν

www.tezaurliturgic.ro



πορίζόμενος, ὕδατος παντελῶς ἠπόρει, ἀνύδρου πάνυ καὶ ξηρᾶς οὔσης τῆς ἐρήμου ἐκείνης.

Ἤδη τοίνυν περὶ τὰς μεσημβρίας τοῦ ἡλίου σφοδρὸν φλέγοντος τῆς ὁδοιπορίας ἐχόμενος, σφοδρότερον αὐτὸς ἐφλέγετο ἐν δίψῃ καύματος ἐν ἀνύδρῳ, καὶ τὴν ἐσχάτην ἐταλαιπωρεῖτο ταλαιπωρίαν, ἀλλ' ἐνίκα ὁ πόθος τὴν φύσιν· καὶ ἡ δίψα, ἣν πρὸς τὸν Θεὸν ἐδίψα, τὴν φλόγα ἐδρόσιζε τῆς τοῦ ὕδατος δίψης. Ὁ δὲ μισόκαλος καὶ πονηρὸς δαίμων, μὴ ὑποφέρων ἐν αὐτῷ τὴν τοιαύτην ὁρᾶν πρόθεσιν, καὶ οὕτω θερμοτάτην πρὸς τὸν Θεὸν ἀγάπην, πολλοὺς αὐτῷ κατὰ τὴν ἔρημον ἐξήγειρε πειρασμούς, ὑποβάλλων αὐτῷ μνήμην τῆς βασιλικῆς αὐτοῦ δόξης, καὶ τῆς παρισταμένης αὐτῷ λαμπροτάτης δορυφορίας· φίλων τε, καὶ συγγενῶν, καὶ ὁμηλίκων· καὶ ὡς αἱ ἁπάντων ψυχαί, τῆς αὐτοῦ ἐξήρτηντο ψυχῆς, καὶ τὰς ἄλλας ἀνέσεις τοῦ βίου· εἶτα τὸ τραχὺ τῆς ἀρετῆς προεβάλλετο, καὶ τοὺς πολλοὺς αὐτῆς ἱδρῶτας· τοῦ σώματός τε τὴν ἀσθένειαν, καὶ τὸ ἀσύνηθες αὐτοῦ ἐν τῇ τοιαύτῃ ταλαιπωρίᾳ· καὶ τοῦ χρόνου τὸ μῆκος· τὴν ἐν χερσί τε ἀνάγκην τῆς δίψης, καὶ τὸ μηδαμόθεν ἐκδέχεσθαι παράκλησιν, ἢ τέλος τοῦ τοσούτου κόπου· καὶ ὅλως πολὺν ἤγειρε κονιορτὸν λογισμῶν ἐν τῇ διανοίᾳ αὐτοῦ, καθάπερ περὶ τοῦ μεγάλου γέγραπται Ἀντωνίου. Ὡς δὲ εἶδεν ἑαυτὸν ὁ ἐχθρὸς ἀσθενοῦντα πρὸς τὴν ἐκείνου πρόθεσιν, (τὸν Χριστὸν γὰρ αὐτὸς ἐνθυμούμενος, καὶ τῷ ἐκείνου πόθῳ φλεγόμενος, ῥωννύμενός τε καλῶς τῇ ἐλπίδι, καὶ τῇ πίστει στηριζόμενος, εἰς οὐδὲν τὰς ἐκείνου ὑποβολὰς ἐλογίζετο·) κατῃσχύνθη ὁ πολέμιος, ἐκ πρώτης, ὃ λέγεται, προσβολῆς πεσών. Ἑτέραν οὖν ἔρχεται ὁδόν· (πολλαὶ γὰρ αὐτῷ αἱ τῆς κακίας τρίβοι)· καὶ φαντάσμασι ποικίλοις ἀνατρέπειν αὐτὸν ἐπειρᾶτο, καὶ εἰς δειλίαν αὐτὸν ἐμβαλεῖν· ποτὲ μὲν μέλας αὐτῷ φαινόμενος, οἷός ἐστι· ποτὲ δὲ ῥομφαίαν ἐσπασμένην κατέχων, ἐπεπήδα αὐτῷ, καὶ πατάξαι ἠπείλει, εἰ μὴ θᾶττον εἰς τὰ ὀπίσω στραφῇ· ἄλλοτε θηρίων ὑπήρχετο παντοδαπῶν μορφάς, βρύχων κατ' αὐτοῦ, καὶ δεινότατον ἀποτελῶν μυκηθμὸν καὶ ψόφον· εἶτα καὶ εἰς δράκοντα μετεμορφοῦτο, καὶ ἀσπίδα καὶ βασιλίσκον.

Ὁ δὲ καλὸς ἐκεῖνος καὶ γενναῖος ἀθλητής, ἀτρέμας ἦν τὴν ψυχήν, ἅτε δὴ τὸν ὕψιστον ἑαυτοῦ καταφυγὴν θέμενος· νήφων δὲ τῇ διανοίᾳ, καὶ καταγελῶν τοῦ πονηροῦ, ἔλεγεν· οὐκ ἔλαθές με, ὦ ἀπατεών, ὅστις εἶ ὁ ταῦτά μοι ἐγείρων, ὁ ἐξ ἀρχῆς κακὰ τεκταινόμενος τῶν ἀνθρώπων τῷ γένει, καὶ ἀείποτε πονηρὸς ὤν, καὶ τὸ βλάπτειν οὐδαμῶς ἀπολείπων ἀλλ' ὡς προσῆκόν σου τὸ σχῆμα καὶ οἰκειότατον· αὐτὸ δὴ τοῦτο, τὸ θηρία καὶ ἑρπετὰ μιμεῖσθαι, τὸ θηριῶδές σου τῆς γνώμης καὶ σκο-



λιόν, ἰοβόλον τε καὶ βλαπτικὸν τῆς προαιρέσεως ἐνδεικνύμενος. Τί οὖν ἀνηνύτοις ἐπιχειρεῖς ἄθλιε; ἐξότε γὰρ ἔγνων τῆς σῆς εἶναι κακίας τὰ μηχανήματα ταῦτα καὶ φόβητρα, οὐδεμία μοι λοιπὸν φροντὶς περὶ σοῦ. «Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου» (Ψαλμ. ριζ'. 7). Καί· «Ἐπὶ ἀσπίδα σὲ καὶ βασιλίσκον ἐπιβήσομαι, οἷς ὁμοιοῦσαι, καὶ καταπατήσω σε τὸν λέοντα καὶ δράκοντα, τῇ δυνάμει τοῦ Χριστοῦ κραταιούμενος (Ψαλμ. ϟ'. 13). Αἰσχυνθείησαν, καὶ ἐντραπείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους» (Ψαλμ. ς'. 11). Ταῦτα λέγων, καὶ τὸ σημεῖον τοῦ Σταυροῦ ἑαυτῷ περιβαλὼν ὅπλον ἀκαταγώνιστον, πάσας τοῦ διαβόλου τὰς φαντασίας κατήργησεν· εὐθὺς γὰρ τά τε θηρία καὶ τὰ ἑρπετά, ὡς ἐκλείπει καπνὸς ἐξέλιπον, καὶ ὡς τήκεται κηρός, ἀπὸ προσώπου πυρός· αὐτὸς δέ, τῇ τοῦ Χριστοῦ δυνάμει ἰσχύων, ἐπορεύετο χαίρων καὶ εὐχαριστῶν τῷ Κυρίῳ· ἀλλὰ καὶ θηρία πολλὰ καὶ ποικίλα, καὶ ὄφεων παντοδαπὰ καὶ δρακοντόμορφα γένη ἡ ἔρημος ἐκείνη τρέφει· ἅτινα συναντῶντα αὐτῷ, οὐκ ἔτι φαντασία, ἀλλ' ἀληθείᾳ ἐδείκνυτο· ὡς ἐντεῦθεν φόβου μὲν ἦν πλήρης ἡ ὁδὸς καὶ πόνου, αὐτὸς δὲ ἀμφοτέρων ὑπερίπτατο τῷ λογισμῷ· τὸν μὲν φόβον, τῆς ἀγάπης, ὥς φησιν ἡ Γραφή, ἔξω βαλούσης· τὸν πόνον δέ, τοῦ πόθου ἐπικουφίζοντος. Οὕτως οὖν πολλαῖς καὶ ποικίλαις συμφοραῖς καὶ ταλαιπωρίαις πυκτεύων, δι' ἡμερῶν οὐκ ὀλίγων κατέλαβε τὴν ἔρημον ἐκείνην τῆς Σενααρίτιδος γῆς, ἐν ᾗ ὁ Βαρλαὰμ ᾤκει· ἔνθα καὶ ὕδατος τυχών, τὴν φλόγα κατέσβεσε τῆς δίψης.

Ἔμεινε δὲ Ἰωάσαφ διετίαν ὅλην κατὰ τὸ πέλαγος τῆς ἐρήμου ταύτης ἀλώμενος, καὶ μὴ εὑρίσκων τὸν Βαρλαάμ· τοῦ Θεοῦ κἀνταῦθα τὸ στεῤῥὸν τοῦ λογισμοῦ αὐτοῦ, καὶ τὸ τῆς ψυχῆς γενναῖον δοκιμάζοντος· καὶ ἦν οὕτως αἴθριος συγκαιόμενος τῷ καύσωνι, καὶ τῷ κρύει πηγνύμενος, καὶ ἀπαύστως ζητῶν ὥσπερ τινα θησαυρὸν πολύτιμον, τὸν τιμιώτατον γέροντα· πολλοὺς δὲ ὑπέμεινε πειρασμούς, καὶ πολέμους τῶν πονηρῶν πνευμάτων· καὶ πολλοὺς ὑπήνεγκε πόνους τῆς τῶν βοτανῶν ἐνδείας, αἷς εἰς τροφὴν ἐκέχρητο· ὅτι καὶ ταύτας, ξηρὰ οὖσα ἡ ἔρημος ἐνδεῶς ἐβλάστανεν· ἀλλὰ τῷ πόθῳ τοῦ Δεσπότου φλεγομένη ἡ ἀδαμαντίνη ψυχὴ ἐκείνη καὶ ἀήττητος, ῥᾷον ἤνεγκε τὰ λυπηρὰ ταῦτα, ἢ τὰς ἡδονὰς ἕτεροι. Διὸ τῆς ἄνωθεν οὐ διήμαρτε συμμαχίας· ἀλλὰ κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν αὐτοῦ καὶ πόνων, αἱ παρὰ τοῦ ποθουμένου Χριστοῦ ἐγγινόμεναι παρακλήσεις καθ' ὕπνους τε καὶ καθ' ὕπαρ, εὔφραναν τὴν ψυχὴν αὐτοῦ. Συμπληρουμένης δὲ τῆς διετίας, Ἰωάσαφ μὲν ἀπαύστως περιῄει ζητῶν τὸν ποθούμενον· καὶ ἐπο-

www.tezaurliturgic.ro



νιᾶτο πρὸς τὸν Θεόν, δάκρυα ποταμηδὸν προχεόμενος· καὶ δεῖξόν μοι, Δέσποτα, βοῶν, δεῖξόν μοι τὸν αἴτιόν μοι τῆς σῆς ἐπιγνώσεως, καὶ τῶν τοσούτων ἀγαθῶν γενόμενόν μοι πρόξενον, καὶ μὴ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου, καλοῦ με τοσούτου στερήσης, ἀλλ᾽ ἀξίωσόν με ἰδεῖν τε αὐτόν, καὶ ἴσον αὐτῷ τὸν ἀγῶνα τῆς ἀσκήσεως θέσθαι. Εὑρίσκει δὲ Θεοῦ χάριτι σπήλαιον, ἰχνηλατήσας τῶν ἐκεῖσε πορευομένων τὴν τρίβον, καὶ Μοναχῷ τινι ἐντυγχάνει τὸν ἐρημικὸν μετιόντι βίον. Καὶ τούτῳ θερμότατα περιχυθείς, καὶ ἀσπασάμενος, τοῦ Βαρλαὰμ ἠρώτα τὸ σκήνωμα εὑρεῖν, καὶ τὰ καθ᾽ ἑαυτὸν διεξῄει, δῆλα τῷ ἀνδρὶ τιθέμενος. Δι᾽ αὐτοῦ τοίνυν τὸν τόπον διδαχθεὶς τῆς τοῦ ζητουμένου οἰκήσεως, καταλαμβάνει τάχιστα, ὡς ὅταν θηρευτὴς ἐμπειρότατος ἴχνεσιν ἐπιτύχοι τοῦ θηράματος. Καὶ φθάσας τινὰ σημεῖα τὰ παρὰ τοῦ ἄλλου γέροντος διδαχθέντα αὐτῷ, ἐπορεύετο χαίρων, καὶ τῇ ἐλπίδι ῥωννύμενος, ὡς νήπιον ἐκ μακροῦ χρόνου τὸν πατέρα ἐλπίζων θεάσασθαι· ὅταν γὰρ ὁ κατὰ Θεὸν πόθος εἰς ψυχὴν ῥαγῇ, πολλῷ τοῦ φυσικοῦ δείκνυται θερμότερός τε καὶ βιαιότερος. Ἐφίσταται τοίνυν τῇ θύρᾳ τοῦ σπηλαίου, καὶ κρούσας, εὐλόγησον, εἶπε, πάτερ, εὐλόγησον.

Ὡς δὲ τῆς φωνῆς ἀκούσας ἐξῆλθεν ὁ Βαρλαὰμ τοῦ σπηλαίου, ἐγνώρισε τῷ πνεύματι τὸν κατά γε τὴν ἔξω θέαν οὐκ εὐχερῶς γνωρισθῆναι δυνάμενον, διὰ τὴν θαυμαστὴν ἐκείνην μεταβολὴν καὶ ἀλλοίωσιν, ἣν ἠλλοίωτο, καὶ μετεβέβλητο τῆς ὄψεως ἐκείνης τῆς προτέρας, καὶ τῆς ὡραῖον ἀνθούσης νεότητος· μεμελανωμένος μὲν ἐκ τῆς ἡλιακῆς καύσεως, κατάκομος δὲ ταῖς θριξίν, ἐκτετηκυίας δὲ τὰς παρειάς, καὶ τοὺς ὀφθαλμοὺς ἔσω που εἰς βάθος δεδυκότας, καὶ τὰ βλέφαρα περιπεφλεγμένα ἔχων ταῖς ῥοαῖς τῶν δακρύων, καὶ τῇ πολλῇ τῆς ἐνδείας ταλαιπωρίᾳ. Ἔγνω δὲ καὶ Ἰωάσαφ τὸν πνευματικὸν πατέρα, τοὺς χαρακτῆρας μάλιστα τῆς ὄψεως ἔχοντα τοὺς αὐτούς. Στὰς οὖν εὐθὺς κατὰ ἀνατολὰς ὁ γέρων, εὐχὴν ἀνέπεμπε τῷ Θεῷ χαριστήριον· καὶ μετὰ τὴν εὐχὴν ἐπειπόντες τό, ἀμήν, περιπλακέντες καὶ περιπτυξάμενοι, θερμοτάταις ἠμείβοντο ἀλλήλους περιπλοκαῖς, χρονίου πόθου ἐμφορούμενοι ἀκορέστως. Ἐπεὶ δὲ ἀρκούντως περιέβαλον ἀλλήλους, καὶ προσηγόρευσαν, καθίσαντες προσωμίλουν. Λόγου δὲ ἀρξάμενος ὁ Βαρλαάμ, καλῶς ἦλθες, ἔλεγε, τέκνον ἠγαπημένον· τέκνον Θεοῦ, καὶ κληρονόμε τῆς ἐπουρανίου βασιλείας, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν ἠγάπησας· ὃν ἐπόθησας δικαίως ὑπὲρ τὰ πρόσκαιρα καὶ φθαρτά, καὶ ὡς ἐχέφρων ἔμπορος καὶ σοφὸς πάντα πωλήσας, τὸν ἀτίμητον ἐξωνήσω μαργαρίτην· καὶ τῷ ἀσύλῳ ἐντυχὼν θησαυρῷ, κεκρυμμένῳ ἐν τῷ ἀγρῷ τῶν ἐντολῶν οὗτ Κυρίου, πάντα δέ-



δωκας, μηδενὸς φεισάμενος τῶν ὅσων οὔπω παρερχομένων, ἵνα τὸν ἀγρὸν ἐκεῖνον ἀγοράσῃς σεαυτῷ· δῴη σοι Κύριος ἀντὶ τῶν προσκαίρων, τὰ αἰώνια· ἀντὶ τῶν φθαρτῶν, τὰ ἄφθαρτα καὶ μὴ παλαιούμενα. Εἰπὲ γοῦν μοι, φίλτατε, πῶς ἐνταῦθα παρεγένου; πῶς μετὰ τὴν ἐμὴν ἄφιξιν γέγονε τὰ κατὰ σέ; καὶ εἰ ἔγνω τὸν Θεὸν ὁ σὸς πατήρ, ἢ καὶ εἰσέτι τῇ προτέρᾳ ἀφροσύνῃ ὑπὸ τῆς τῶν δαιμόνων ἀπάτης αἰχμαλωτίζεται;

Ταῦτα τοῦ Βαρλαὰμ ἐρομένου, ἀναλαβὼν ὁ Ἰωάσαφ τὸν λόγον, ὅσα μετὰ τὴν ἐκείνου ἀποδημίαν γέγονε αὐτῷ, καὶ ὅσα ὁ Κύριος εὐώδωσε μέχρι τῆς αὖθις συνελεύσεως αὐτῶν, πάντα κατὰ μέρος διῄει. Ὁ δὲ γέρων, ἀκούων σὺν ἡδονῇ καὶ θαύματι, θερμῶς δακρύων, ἔλεγε. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, ὁ ἀεὶ παριστάμενος καὶ βοηθῶν τοῖς ἀγαπῶσί σε. Δόξα σοι, Χριστέ, βασιλεῦ τῶν ἁπάντων, καὶ Θεὲ πανάγαθε, ὅτι εὐδόκησας τὸν σπόρον, ὃν ἐν τῇ ψυχῇ κατέβαλον τοῦ δούλου σου Ἰωάσαφ, οὕτως ἑκατοστεύοντα καρπὸν ἐνεγκεῖν, ἐπάξιον σοῦ τοῦ γεωργοῦ καὶ Δεσπότου τῶν ἡμετέρων ψυχῶν. Δόξα σοι, παράκλητε ἀγαθέ, τὸ πανάγιον Πνεῦμα, ὅτι ἧς ἔδωκας χάριτος τοῖς ἁγίοις σου Ἀποστόλοις, ταύτης μετασχεῖν κατηξίωσας τοῦτον, καὶ πολυάνθρωπα πλήθη τῆς δεισιδαίμονος δι᾽ αὐτοῦ ἠλευθέρωσας πλάνης, καὶ τῇ ἀληθινῇ ἐφώτισας θεογνωσίᾳ. Οὕτω παρ᾽ ἀμφοτέρων ηὐχαριστεῖτο ὁ Θεός· καὶ τοιαῦτα ὁμιλούντων, καὶ τῇ τοῦ Θεοῦ ἀγαλλιωμένων χάριτι, κατελάμβανεν ἡ ἑσπέρα· καὶ δὴ εἰς προσευχὴν ἀναστάντες, τὰς συνήθεις ἐτέλουν λειτουργίας· εἶτα καὶ τροφῆς μνησθέντες, παρετίθει πολυτελῆ τράπεζαν ὁ Βαρλαάμ, τῆς πνευματικῆς πεπληρωμένην καρυκίας, αἰσθητῆς δὲ ἥκιστα μετέχουσαν παρακλήσεως· λάχανα γὰρ ἦσαν ὠμά, ὧν αὐτουργὸς καὶ γεωργὸς ἦν ὁ γέρων, καὶ φοίνικες ὀλίγοι, ἐν τῇ αὐτῇ εὑρισκόμενοι ἐρήμῳ, καὶ ἄγριαι βοτάναι. Εὐχαριστήσαντες οὖν, καὶ τῶν παρατεθέντων μεταλαβόντες, καὶ ὕδωρ ἐκ τῆς παρατυγχανούσης πηγῆς πιόντες, τῷ ἀνοίγοντι χεῖρα καὶ ἐμπιπλῶντι πᾶν ζῶον, αὖθις ηὐχαρίστουν· ἀναστάντες δὲ πάλιν, καὶ τὰς νυκτερινὰς πληρώσαντες εὐχάς, τῆς πνευματικῆς μετὰ τὴν εὐχὴν ἥπτοντο ὁμιλίας· λόγους σωτηρίους, καὶ τῆς οὐρανίου πεπληρωμένους φιλοσοφίας παρ᾽ ὅλην διερχόμενοι τὴν νύκτα, ἕως οὗ αὐτοὺς ὁ ὄρθρος τῶν συνήθων αὖθις μνησθῆναι εὐχῶν πεποίηκεν.

Ἔμεινε δὲ Ἰωάσαφ μετὰ τοῦ Βαρλαὰμ ἱκανοὺς οὑτωσὶ χρόνους, τὴν θαυμαστὴν ταύτην καὶ ὑπεράνθρωπον μετερχόμενος πολιτείαν, καὶ ὡς πατρὶ τούτῳ καὶ πευδευτῇ, μεθ᾽ ὅσης συμπαρομαρτῶν αὐτῷ ταπεινώσεως καὶ ὑποταγῆς, καὶ πρὸς πᾶσαν ἰδέαν γυμναζόμενος ἀρετῆς, ἄριστά τε παιδευόμενος τὴν πάλην τῶν πονηρῶν πνευμάτων. Ἐν-

www.tezaurliturgic.ro



τεῦθεν τὰ μὲν πάθη ἐθανάτωσε πάντα, τὸ φρόνημα δὲ τῆς σαρκὸς οὕτω καθυπέταξε τῷ πνεύματι, ὡς δοῦλον δεσπότῃ, τρυφῆς καὶ ἀναπαύσεως πάντῃ ἐπιλαθόμενος, τῷ ὕπνῳ δὲ ὡς κακῷ προστάσσων οἰκέτῃ· καὶ ἁπλῶς εἰπεῖν τοσοῦτος ἦν αὐτῷ ὁ ἀγὼν τῆς ἀσκήσεως, ὡς καὶ αὐτὸν θαυμάζειν τὸν πολλοὺς ἐν ταύτῃ διενεγκόντα χρόνους Βαρλαάμ, καὶ τῆς καρτερᾶς αὐτῷ ἡττᾶσθαι ἐνστάσεως· τοσοῦτον μὲν γὰρ τῆς σκληρᾶς ἐκείνης καὶ ἀπαρακλήτου βρώσεως, μετεῖχεν ὅσον ἀποζῆν μόνον, καὶ μή, βιαίως θανόντα, τοὺς μισθοὺς ζημιωθῆναι τῆς τῶν καλῶν ἐργασίας· οὕτω δὲ εἰς τὸ ἀγρυπνεῖν τὴν φύσιν ὑπέταξεν, ὡς ἄσαρκός τις καὶ ἀσώματος· εὐχῆς δὲ αὐτῷ, καὶ τῆς νοερᾶς ἐργασίας ἄληκτον τὸ ἔργον ἦν· καὶ ἅπας ὁ τῆς ζωῆς χρόνος εἰς θεωρίας ἀνηλίσκετο πνευματικάς τε καὶ οὐρανίους, ὡς μὴ ὥραν, μὴ στιγμὴν αὐτὸν ζημιωθῆναι τὸ παράπαν, ἀφ᾿ οὗπερ τὴν ἔρημον ᾤκησε ταύτην· τοῦτο γὰρ ἔργον ὄντως Μοναχικῆς τάξεως, τὸ μηδέποτε ἀργὸν εὑρεθῆναι τῆς πνευματικῆς ἐργασίας· ὃ δὴ καλῶς κατώρθωσεν ὁ γενναῖος ἐκεῖνος, καὶ εὐσταλὴς σταδιοδρόμος τῆς οὐρανίου πορείας, καὶ ἄσβεστον αὐτοῦ τὴν θέρμην ἐφύλαξεν ἀπ᾿ ἀρχῆς μέχρι τέλους ἀναβάσεις ἀεὶ ἐν καρδίᾳ θέμενος, καὶ ἐκ δυνάμεως εἰς ὑψηλοτέραν μεταβαίνων δύναμιν· πόθον πόθῳ, καὶ σπουδὴν σπουδῇ διηνεκῶς προστιθείς, ἕως οὗ ἔφθασεν εἰς τὴν ἐλπιζομένην καὶ ποθουμένην μακαριότητα.

Οὕτως οὖν ἀλλήλοις συνόντες Βαρλαὰμ καὶ Ἰωάσαφ, καὶ τὴν καλὴν ἅμιλλαν ἁμιλλώμενοι, ἐκτὸς πάσης μερίμνης, καὶ πάσης βιωτικῆς ὄντες ταραχῆς, ἀνεπιθόλωτόν τε τὸν νοῦν κεκτημένοι, καὶ ἀμιγῆ πάσης συγχύσεως, μετὰ τοὺς πολλοὺς αὐτῶν ὑπὲρ τῆς εὐσεβείας καμάτους, ἐν μιᾷ τῶν ἡμερῶν προσκαλεσάμενος ὁ γέρων τὸν πνευματικὸν υἱόν, ὃν διὰ τοῦ Εὐαγγελίου ἐγέννησε, λόγου ἥπτετο καὶ ὁμιλίας πνευματικῆς· πάλαι, λέγων, ὦ φίλτατε Ἰωάσαφ, ἐν ταύτῃ σε τῇ ἐρήμῳ κατοικεῖν ἔδει, καὶ τοῦτό μοι προσευχομένῳ περὶ σοῦ ὁ Χριστὸς ἐπηγγείλατο πρὸ τῆς τοῦ βίου τελευτῆς ὄψεσθαι. Εἶδον οὖν ὡς ἐπεθύμουν· εἶδόν σε ἀποῤῥαγέντα μὲν κόσμου καὶ τῶν ἐν κόσμῳ, συναφθέντα δὲ τῷ Χριστῷ ἀδιστάκτῳ γνώμῃ, καὶ εἰς μέτρον ἐλθόντα τελειότητος τοῦ πληρώματος αὐτοῦ. Νῦν οὖν ἐπειδή μοι ὁ τῆς ἀναλύσεως καιρὸς ἐπὶ θύραις, καὶ ἡ σύντροφος καὶ ἡλικιῶτις ἐπιθυμία τοῦ συνεῖναι τῷ Χριστῷ διὰ παντὸς ἤδη πεπλήρωται, σὺ μὲν δὴ κάλυψόν μου τὸ σῶμα τῇ γῇ, καὶ τὸν χοῦν ἀπόδος τῷ χοΐ· μεῖνον δὲ τοῦ λοιποῦ ἐν τῷδε τῷ τόπῳ, τῆς πνευματικῆς ἐχόμενος πολιτείας, καὶ τῆς ἐμῆς μνείαν ποιούμενος μετριότητος· δέδοικα γὰρ μήποτε ἡ ζοφερὰ τῶν δαιμόνων πληθύς, τῇ ψυχῇ μου ἐμποδὼν καταστῇ, διὰ τὸ πλῆ-



θος τῶν ἐμῶν ἀγνοημάτων. Σὺ οὖν, τέκνον, μὴ ὀλιγωρήσῃς τὸ ἐπίπονον τῆς ἀσκήσεως, μηδὲ δειλιάσῃς τὸ μῆκος τοῦ χρόνου, καὶ τὰς ἐπιβουλὰς τῶν δαιμόνων· ἀλλὰ τούτων μὲν τῆς ἀσθενείας τῇ τοῦ Χριστοῦ ῥωννύμενος δυνάμει τολμηρῶς καταγέλα· πρὸς δὲ τὴν σκληρότητα τῶν πόνων, καὶ τὸ τοῦ χρόνου διάστημα οὕτως ἔσο, ὡς καθ᾿ ἡμέραν τὴν ἐντεῦθεν ἀνάλυσιν προσδοκῶν, καὶ ὡς ἀρχὴν εἶναί σοι τῆς ἀσκήσεως τὴν αὐτὴν ἡμέραν καὶ τέλος. «Οὕτως ἀεὶ τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν δίωκε ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ» (Φιλιπ. γ'. 14)· Καθάπερ ὁ θεῖος Ἀπόστολος παρακελεύεται «Μὴ ἐκκακῶμεν, λέγων, ἀλλ᾿ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ᾿ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ τῇ ἡμέρᾳ. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ᾿ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα αἰώνια» (Β'. Κορινθ. δ'. 16).

Ταῦτα λογιζόμενος, ἀγαπητέ, ἀνδρίζου καὶ ἴσχυε· καὶ ὡς καλὸς στρατιώτης σπούδαζε τῷ στρατολογήσαντι ἀρέσαι· κἂν λογισμούς σοι ὀλιγωρίας ὁ πονηρὸς φέρῃ, καὶ τὸν τόνον ὑποχαλᾷν τῆς προθέσεως σπεύδῃ, μὴ φοβηθῇς αὐτοῦ τὰς ἐπιβουλὰς τὸ δεσποτικὸν ἐννοῶν πρόσταγμα· «ἐν τῷ κόσμῳ θλίψιν ἕξετε· λέγοντος, ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον» (Ἰωάν. ιϛ'. 33). Διὸ χαῖρε ἐν Κυρίῳ πάντοτε, ὅτι ἐξελέξατό σε, καὶ διεχώρησεν ἐκ τοῦ κόσμου, καὶ ἔθετο ὡς ἐν προσώπῳ αὐτοῦ· αὐτὸς δὲ ὁ καλέσας σε κλήσει ἁγίᾳ, ἐγγύς ἐστιν ἀεί. «Μηδὲν μεριμνᾶτε, ἀλλ᾿ ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματά σου γνωριζέσθω πρὸς τὸν Θεόν» (Φιλιπ. δ'.6)· αὐτὸς γὰρ εἴρηκεν· «οὐ μή σε ἀνῶ, οὐδ᾿ οὐ μή σε ἐγκαταλείπω» (Ἰησ. Ναυῆ ά. 5). Οὕτω μὲν οὖν ἐν τῇ σκληρότητι τῆς ἀγωγῆς, καὶ τῇ ὀλιγωρίᾳ τῆς ἀσκήσεως τοιούτους κτώμενος λογισμούς, εὐφραίνου, μεμνημένος Κυρίου τοῦ Θεοῦ ἡμῶν· «ἐμνήσθην γάρ, φησί, τοῦ Θεοῦ καὶ εὐφράνθην» (Ψαλμ. οϛ'. 3). Ὅταν δὲ πάλιν ὁ ἐξ ἐναντίας ἄλλον σοι τρόπον ἐπινοεῖ πολέμων, ὑψηλόφρονας προβάλλων λογισμούς, καὶ τὴν δόξαν ὑποδεικνύων τῆς τοῦ κόσμου βασιλείας, ἣν κατέλιπες, καὶ τὰ λοιπὰ τὰ ἐν τῷ κόσμῳ, τὸν σωτήριον προβαλοῦ λόγον ὡς θυρεὸν τὸν φάσκοντα· «ὅταν ποιήσητε πάντα τὰ διατεταγμένα ὑμῖν, λέγετε, ἀχρεῖοι δοῦλοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν» (Λουκ. ιζ'. 10). Ἀλλὰ καὶ τίς ἐξ ἡμῶν δύναται τὴν ὀφειλὴν ἐκτίσαι, ἣν ὀφείλομεν τῷ Δεσπότῃ; ὑπὲρ ὧν δι᾿ ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· καὶ ἔπαθεν ὁ ἀπαθής,

www.tezaurliturgic.ro



ἵνα τῶν παθῶν ἡμᾶς ἐλευθερώσῃ· ποία γὰρ χάρις δούλῳ, ὅμοια τῷ δεσπότῃ παθεῖν; ἡμεῖς δὲ πολλὰ τῶν αὐτοῦ ὑστερούμεθα παθημάτων. Ταῦτα ἐννόει, «λογισμοὺς καθαιρῶν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ» (Β΄. Κορινθ. ι΄. 5). Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὴν καρδίαν σου καὶ τὰ νοήματά σου ἐν Χριστῷ Ἰησοῦ.

Τούτων ὑπὸ τοῦ μακαρίου Βαρλαὰμ λεχθέντων, ἡ ῥοὴ τῶν δακρύων τοῦ Ἰωάσαφ μέτρον οὐκ εἶχεν· ἀλλ' ὡς ἐκ πηγῆς πολυχεύμονος βρύουσα, ὅλον αὐτόν, καὶ τὴν γῆν, ἐν ᾗ ἐκάθητο, κατέβρεχεν. Ὀδυρόμενος δὲ τὸν χωρισμόν, ἠξίου μάλα θερμῶς συνοδοιπόρος αὐτῷ τῆς τελευταίας πορείας γενέσθαι, καὶ μηκέτι παραμεῖναι τῷ βίῳ μετὰ τὴν ἐκείνου ἐκδημίαν· διατί, λέγων, τὸ σεαυτοῦ μόνον ζητεῖς, ὦ πάτερ, καὶ μὴ τὸ τοῦ πλησίον; πῶς δὲ τελείαν ἐν τούτῳ πληροῖς ἀγάπην, κατὰ τὸν εἰπόντα· «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν» (Λευϊτ. ιθ΄. 18), πρὸς ἀνάπαυσιν μὲν αὐτὸς ἀπαίρων, εἰς θλίψιν δὲ καὶ ταλαιπωρίαν ἐμὲ καταλιμπάνων; καὶ πρὶν καλῶς ἐγγυμνασθῆναι τοῖς ἄθλοις τῆς ἀσκήσεως, καὶ τῶν πολεμίων μαθεῖν τὰς πολυτρόπους ἐφόδους, πρὸς μονομαχίαν με τῆς αὐτῶν παρατάξεως προβαλλόμενος; ἵνα τί γένηται ἄλλο, εἰ μὴ βληθῆναί με ταῖς κακοτρόποις αὐτῶν μηχαναῖς, καὶ ἀποθανεῖν οἴμοι! τὸν ψυχικὸν ὄντως καὶ αἰώνιον θάνατον, ὅπερ τοῖς ἀπείροις καὶ δειλοῖς συμβαίνειν πέφυκε μονομάχοις; ἀλλὰ δεήθητι τοῦ Κυρίου δυσωπῶ, ὅπως κἀμὲ συνέκδημον τοῦ βίου λαβεῖν· ναί, πρὸς αὐτῆς τῆς ἐλπίδος, ἧς ἔχεις ἀπολαβεῖν τοῦ καμάτου τὸν μισθόν, δεήθητι μηδεμίαν ἡμέραν μετὰ τὸν σὸν χωρισμὸν παροικεῖν τῷ βίῳ καὶ εἰς τὸ πέλαγος ταύτης πλανᾶσθαι τῆς ἐρήμου.

Ταῦτα τοῦ Ἰωάσαφ σὺν δάκρυσι λέγοντος, ὁ γέρων πράως ἀνακόπτων καὶ ὁμαλῶς, οὐκ ὀφείλομεν, τέκνον, ἔφη, τοῖς ἀνεφίκτοις κρίμασι τοῦ Θεοῦ ἀνθίστασθαι· ἐγὼ γὰρ πολλὰ δεηθεὶς περὶ τούτου, καὶ τὸν ἀβίαστον Δεσπότην βιασάμενος τοῦ μὴ χωρισθῆναι ἡμᾶς ἀπ' ἀλλήλων, ἐδιδάχθην παρὰ τῆς αὐτοῦ ἀγαθότητος, ὡς οὐκ ἔστι συμφέρον σε νῦν τὸ ἄχθος τῆς σαρκὸς ἀποθέσθαι, ἀλλὰ παραμεῖναι δεῖ τῇ ἀσκήσει, ἕως λαμπρότερον ἑαυτῷ τὸν στέφανον πλέξῃς· οὐ γὰρ ἀρκούντως ἀκμὴν ἠγωνίσω πρὸς τὴν ἡτοιμασμένην σοι μισθαποδοσίαν, ἀλλὰ δεῖ σε κοπιᾶσαι μικρόν, ἵνα χαίρων εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· ἐγὼ ἐγγύς που τῶν ἑκατόν εἰμι λοιπὸν χρόνων, διατελέσας ἐν τῇ ἐρήμῳ ταύτῃ ἐνιαυτοὺς ἤδη πέντε καὶ ἑβδομήκοντα· σοῦ δέ, εἰ καὶ οὐ τοσοῦτον ἐκταθήσεται ὁ χρόνος, ἀλλὰ πλησίον που γενέ-



σθαι δεῖ, καθὼς κελεύει ὁ Κύριος, ἵνα ἐφάμιλλος ἀναδειχθῇς, καὶ μηδὲν ὅλως ὑστερούμενος τῶν βαστασάντων τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Δέχου τοίνυν, ὦ φιλότης, τὰ τῷ Θεῷ δεδογμένα ἀσμένως· ἃ γὰρ αὐτὸς βεβούλευται, τίς ἱκανὸς ἀνθρώπων διασκεδάσαι; καὶ καρτέρει τῇ ἐκείνου φυλαττόμενος χάριτι· νῆφε δὲ ἀεὶ πρὸς τοὺς ἐναντίους λογισμούς, καὶ τὴν καθαρότητα τοῦ νοός σου ὥσπερ τινὰ θησαυρὸν πολύτιμον διατήρει, πρὸς ὑψηλοτέραν ἐργασίαν καὶ θεωρίαν ἐμβιβάζων ἑαυτὸν ἡμέραν καθ' ἡμέραν, ἵνα πληρωθῇ ἐπὶ σοί, ὃ τοῖς φίλοις αὐτοῦ ὁ Σωτὴρ ἐπηγγείλατο· «ἐάν τις ἀγαπᾷ με, λέγων, τὸν λόγον μου τηρήσει· καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν» (Ἰωάν. ιδ΄. 23).

Ταῦτα εἰπὼν ὁ γέρων, καὶ πολλῷ πλείονα τῆς ἡγιασμένης αὐτοῦ ψυχῆς, καὶ θεολόγου γλώττης ἐπάξια, τὴν ἀνιωμένην τοῦ Ἰωάσαφ ψυχὴν παρεμυθεῖτο. Εἶτα πρός τινας ἐκπέμπει αὐτὸν ἀδελφούς, ἐκ πολλοῦ τοῦ διαστήματος τὴν οἴκησιν ἔχοντας, τοῦ ἀγαγεῖν τὰ πρὸς τὴν ἱερὰν θυσίαν ἁρμόδια. Καὶ δὴ ἀναζωσάμενος ὁ Ἰωάσαφ, τάχιστα λίαν τὴν διακονίαν πληροῖ· ἐδεδίει γὰρ μήπως, ἀπόντος αὐτοῦ, τὴν ὀφειλὴν ὁ Βαρλαὰμ τῆς φύσεως ἀποδῷ, καὶ τὸ πνεῦμα παραθεὶς τῷ Κυρίῳ, ζημίαν αὐτῷ τὴν χαλεπὴν ἐπενέγκοι, μὴ ῥημάτων, μὴ προσφθεγμάτων ἐξοδίων, μὴ εὐχῶν, μὴ εὐλογιῶν τῶν ἐκείνου τυγχάνοντι. Οὕτω δὲ ἀνδρικώτατα διελθόντος αὐτοῦ τὴν μακαρίαν ὁδὸν ἐκείνην, καὶ τὰ τῆς ἱερᾶς θυσίας ἐνεγκόντος, προσφέρει τῷ Θεῷ τὴν ἀναίμακτον λατρείαν ὁ θειότατος Βαρλαάμ, καὶ κοινωνήσας αὐτός, μεταδοὺς δὲ καὶ τῷ Ἰωάσαφ τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, ἠγαλλιάσατο τῷ πνεύματι· καὶ τῆς συνήθους μεταλαβόντες τροφῆς, ψυχωφελέσι λόγοις τὴν ψυχὴν αὖθις ἔτρεφε τοῦ Ἰωάσαφ, οὐκ ἔτι, λέγων, ἡμᾶς, ὦ φίλτατε υἱέ, συναγάγει ἐν τῷ βίῳ τούτῳ εἰς ἓν ἑστία καὶ τράπεζα· πορεύομαι γὰρ ἤδη τὴν τελευταίαν ὁδὸν τῶν πατέρων μου. Χρὴ οὖν σε τὸ πρὸς ἐμὲ φίλτρον, διὰ τῆς φυλακῆς τῶν τοῦ Θεοῦ ἐντολῶν, καὶ τῆς ἐν τῷδε τῷ τόπῳ μέχρι τέλους καρτερίας ἐνδείξασθαι, πολιτευόμενος καθὼς ἔμαθες καὶ ἐδιδάχθης, καὶ μεμνημένος διὰ παντὸς τῆς ταπεινῆς, καὶ ῥαθύμου ψυχῆς μου. Χαρᾷ οὖν χαῖρε, καὶ τῇ ἐν Χριστῷ ἀγαλλιάσει εὐφραίνου, ὅτι τῶν ἐπιγείων καὶ φθαρτῶν ἀντηλλάξω τὰ αἰώνιά τε καὶ ἄφθαρτα· καὶ ὅτι ἐγγίζει ὁ μισθὸς τῶν ἔργων σου, καὶ ὁ μισθαποδότης ἤδη πάρεστιν, ὃς ἥξει τὸν ἀμπελῶνα ἰδεῖν, ὃν ἐγεώργησας, καὶ πλουσίως σοι τὸν μισθὸν τῆς γεωργίας παρέξει· «πιστὸς γὰρ ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, καθὼς ὁ θεσπέσιος βοᾷ Παῦλος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· εἰ ὑπομένομεν,

www.tezaurliturgic.ro



καὶ συμβασιλεύσομεν» (Β΄. Τιμοθ. 11), βασιλείαν τὴν αἰώνιον καὶ ἀτελεύτητον τῷ φωτὶ καταλαμπόμενοι τῷ ἀπροσίτῳ, καὶ τῆς ἐλλάμψεως καταξιούμενοι τῆς μακαρίας ὄντως καὶ ζωαρχικῆς Τριάδος.

Τοιαῦτα μὲν ὁ Βαρλαὰμ ἕως ἑσπέρας καὶ παρ᾽ ὅλην τὴν νύκτα τῷ Ἰωάσαφ ὡμίλει, ἀκατασχέτοις δάκρυσιν ὀδυρομένῳ, καὶ τὸν χωρισμὸν μὴ ὑποφέροντι· ἄρτι δὲ τῆς ἡμέρας διαφαινούσης, τὴν πρὸς αὐτὸν ὁμιλίαν διαπεράνας, ἦρεν εἰς οὐρανοὺς χεῖράς τε καὶ ὄμματα, καὶ εὐχαριστίαν ἀναπέμψας τῷ Θεῷ, ἔφη· Κύριε ὁ Θεός μου, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, εὐχαριστῶ σοι, ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, καὶ ἐν τῇ ὀρθοδόξῳ σου ὁμολογίᾳ, καὶ ἐν ὁδῷ τῶν ἐντολῶν σου ἠξίωσας τὸν δρόμον τελέσαι με τῆς ἐνθάδε παροικίας. Καὶ νῦν φιλάγαθε Δέσποτα καὶ πανοικτίρμον, δέξαι με εἰς τὰς αἰωνίους σου σκηνὰς καὶ μὴ μνησθῇς ὅσα σοι ἥμαρτον ἐν γνώσει τε καὶ ἀγνοίᾳ· φύλαξον δὲ καὶ τὸν πιστόν σου δοῦλον τοῦτον, οὗπερ προστῆναί με τὸν ἀχρεῖον ἠξίωσας οἰκέτην σου· ῥῦσαι οὖν αὐτὸν ἀπὸ πάσης ματαιότητος, καὶ ἐπηρείας τοῦ ἀντικειμένου, καὶ ὑψηλότερον αὐτὸν ποίησον τῶν πολυπλόκων παγίδων, ὧν εἰς σκάνδαλον ἥπλωσεν ὁ πονηρὸς πάντων τῶν θελόντων σωθῆναι· ἀφάνισον, παντοδύναμε, πᾶσαν τὴν δύναμιν τοῦ ἀπατεῶνος ἀπὸ προσώπου τοῦ δούλου σου· καὶ δὸς αὐτῷ ἐξουσίαν πατεῖν τὴν ὀλεθροκτόνον κάραν τοῦ πολεμίου τῶν ἡμετέρων ψυχῶν· κατάπεμψον ἐξ ὕψους τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ ἐνίσχυσον αὐτὸν πρὸς τὰς ἀοράτους παρατάξεις, ἵνα τὸν τῆς νίκης ἀξιωθῇ ἀναδέξασθαι παρὰ σοῦ στέφανον, καὶ δοξασθῇ ἐν αὐτῷ τὸ ὄνομά σου τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ὅτι σοὶ πρέπει δόξα καὶ αἴνεσις εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Ἡ ὁσία κοίμησις τοῦ θείου Βαρλαάμ.

Ταῦτα εὐξάμενος, καὶ τὸν Ἰωάσαφ πατρικῶς περιπτυξάμενος, καὶ ἀσπασμὸν αὐτῷ δοὺς ἐν φιλήματι ἁγίῳ, τῷ τύπῳ τε τοῦ Σταυροῦ ἑαυτὸν ἐπισφραγισάμενος, καὶ τοὺς πόδας ἐξάρας, καὶ λίαν περιχαρὴς γενόμενος, ὥσπερ τινῶν ἐπιδημησάντων φίλων, τὴν μακαρίαν ἀπῆλθε πορείαν, πρὸς τὴν ἐκεῖθεν διελθὼν γεροδοσίαν, πρεσβύτης ὤν, καὶ πλήρης ἡμερῶν τῶν τοῦ Πνεύματος. Ὁ δὲ Ἰωάσαφ περιχυθεὶς τῷ πατρὶ μεθ᾽ ὅσης ἂν εἴποις τῆς εὐλαβείας καὶ οἰμωγῆς, δάκρυσί τε τὸ λείψανον λούσας, καὶ τῷ τριχίνῳ ῥακίῳ, ὅπερ αὐτὸς ἦν ἐν τῷ παλατίῳ παρασχὼν περιειλίξας, τοὺς νενομισμένους ἐπιλέγει ψαλμούς, διὰ πάσης ἡμέρας καὶ νυκτὸς ὅλης ψάλλων ἅμα καὶ δάκρυσι τὸ τίμιον τοῦ μάκαρος βρέχων σῶμα. Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, τάφον ποιήσας πλησίον



τοῦ σπηλαίου, καὶ εὐλαβῶς ἄγαν τὸ ἱερὸν λείψανον διαβαστάσας, ἐν τῷ μνήματι κατέθετο τὸν πνευματικὸν πατέρα ὁ υἱὸς ὁ τιμιώτατος· καὶ θερμότερον ἐκκαυθεὶς τὴν ψυχήν, εἰς ἐκτενεστέραν τε συντείνας εὐχὴν ἑαυτόν, ἔφη· «Κύριε ὁ Θεός μου, εἰσάκουσον τῆς φωνῆς μου, ἧς ἐκέκραξα· ἐλέησόν με, καὶ εἰσάκουσόν μου, ὅτι σὲ ἐκ καρδίας ζητῶ. Ἐξεζήτησέ σε ἡ ψυχή μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· βοηθός μου γενοῦ· μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ Σωτήρ μου· ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, σὺ δὲ Κύριε προσελάβου με. Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ· ἕνεκα τῶν ἐχθρῶν μου μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με· ὅτι ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας· ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ· μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ὅτι πλήν σου οὐκ ἔστιν ὁ βοηθῶν μοι» (Ψαλμ. κϛ΄. 7. κά. 11)· ἰδοὺ γὰρ εἰς τὸ πέλαγος τῶν οἰκτιρμῶν σου τὴν ἐλπίδα ἐθέμην τῆς ψυχῆς μου· κυβέρνησόν μου τὴν ψυχὴν καὶ τὴν ζωήν, ὁ πᾶσαν τὴν κτίσιν ἀῤῥήτῳ σοφίας προνοίᾳ κυβερνῶν· καὶ γνώρισόν μοι ὁδόν, ἐν ᾗ πορεύσομαι· καὶ σῶσόν με ὡς ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος, εὐχαῖς καὶ ἱκεσίαις τοῦ θεράποντός σου Βαρλαάμ. Ὅτι σὺ εἶ ὁ Θεός μου, καὶ σὲ δοξάζω τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ταῦτα εὐξάμενος, πλησίον τοῦ μνήματος ἐκάθισε κλαίων· καὶ καθεζόμενος, ὕπνωσε· καὶ ὁρᾷ τοὺς φοβεροὺς ἄνδρας ἐκείνους, οὓς καὶ πρότερον ἑωράκει, ἐλθόντας πρὸς αὐτόν, καὶ ἀπαγαγόντας αὐτὸν εἰς τὴν μεγίστην ἐκείνην καὶ θαυμαστὴν πεδιάδα, καὶ πρὸς τὴν δεδοξασμένην καὶ ὑπέρλαμπρον εἰσαγαγόντας πόλιν· εἰσερχομένων δὲ αὐτῶν τὴν πύλην, ἕτεροι προσυπήντουν πολλῷ κατηγλαϊσμένοι φωτί, στεφάνους ἔχοντες ἐν χερσίν, ἀῤῥήτῳ διαλάμποντας κάλλει, καὶ οἵους ὀφθαλμοὶ βρότειοι οὐδέποτε ἐθεάσαντο. Ἐρομένου δὲ τοῦ Ἰωάσαφ, τίνος οἱ στέφανοι τῆς δόξης οἱ ὑπέρλαμπροι, οὓς ὁρῶ; Σὸς μὲν ὁ εἷς, ἔφησαν, ὑπὲρ τῶν πολλῶν ψυχῶν, ὧν ἔσωσας, κατασκευασθείς, κοσμηθεὶς δὲ νυνὶ ὑπὲρ τῆς ἀσκήσεως, ἧς μετέρχῃ, εἴπερ ἀνδρείως ταύτην ἕως τέλους διέλθοις· ὁ δὲ ἕτερος, σὸς μὲν καὶ αὐτός, ἀλλὰ τῷ πατρί σου δεῖ σε παρασχεῖν, τὸν διὰ σοῦ τῆς ὁδοῦ ἐκκλίναντα τῆς πονηρᾶς, καὶ μετανοήσαντα γνησίως τῷ Κυρίῳ. Ὁ δὲ Ἰωάσαφ δυσχεραίνοντι ἐῴκει, καί, πῶς δυνατόν, φησίν, ἴσων μου τοῦ τοσαῦτα κοπιάσαντος τυχεῖν τὸν πατέρα μου δωρεῶν, ὑπὲρ μόνης τῆς μετανοίας; Εἶπε ταῦτα, καὶ τὸν Βαρλαὰμ εὐθὺς ἐδόκει βλέπειν, ὀνειδίζοντα οἱονεὶ καὶ λέγοντα· οὗτοι οἱ λόγοι μου, Ἰωάσαφ, οὕς ποτέ σοι ἔλεγον, ὅταν ὑ-

www.tezaurliturgic.ro



περπλουτήσης, οὐκ εὐμετάδοτος ἔσῃ, καὶ αὐτὸς ἠπόρεις ἐπὶ τῷ ῥήματι. Νυνὶ δὲ πῶς ἐδυσχέρανας ἐπὶ τῇ ἰσοτιμίᾳ τοῦ σοῦ πατρός, καὶ οὐ μᾶλλον εὐφράνθης τὴν ψυχήν, ὅτι εἰσηκούσθη σου ἡ πολλὴ περὶ αὐτοῦ δέησις; Ὁ δὲ Ἰωάσαφ, ὡς εἴθιστο αὐτῷ ἀεὶ λέγειν, συγχώρησον, ἔφη, πάτερ, συγχώρησον· ποῦ δὲ αὐτὸς οἰκεῖς; γνώρισόν μοι. Καὶ ὁ Βαρλαάμ· ἐν ταύτῃ, φησί, τῇ περικαλλεῖ καὶ μεγάλῃ πόλει οἰκεῖν ἔλαχον, ἐν μεσαιτάτῃ τῆς πόλεως πλατείᾳ, φωτὶ καταστραπτομένῃ ἀπλέτῳ. Ἀξιοῦν δὲ αὖθις ὁ Ἰωάσαφ ἐδόκει τὸν Βαρλαὰμ εἰς τὸ ἑαυτοῦ ἀπαγαγεῖν αὐτὸν σκήνωμα, καὶ φιλοφρόνως ξεναγῆσαι· ἀλλ᾽ οὔπω τὸν καιρὸν ἥκειν ἔλεγεν ἐκεῖνος, πρὸς ἐκεῖνά σε τὰ σκηνώματα ἐλθεῖν, ἔτι τὸ φορτίον τοῦ σώματος ἐπικείμενον. Εἴπερ οὖν ἀνδρείως καρτερήσεις καθάπερ σοι ἐνετειλάμην, ἥξεις μικρὸν ὕστερον, καὶ τῶν αὐτῶν ἀξιωθήσῃ σκηνωμάτων· τῆς αὐτῆς τε τεύξῃ χαρᾶς καὶ δόξης, καὶ συνδιαιωνίζων ἔσῃ μοι. Ἔξυπνος δὲ γενόμενος ἐπὶ τούτοις ὁ Ἰωάσαφ, τοῦ φωτὸς ἐκείνου καὶ τῆς ἀῤῥήτου δόξης εἶχε τὴν ψυχὴν ἔτι πεπληρωμένην· καὶ σὺν πολλῷ τῷ θαύματι, τῷ Δεσπότῃ χαριστήριον ἀνέπεμπεν ὕμνον.

Ἔμεινε δὲ μέχρι τέλους τὴν Ἀγγελικὴν ἐπὶ γῆς ἀληθῶς ἀνύων διαγωγήν, καὶ σκληροτέρᾳ ἀσκήσει μετὰ τὴν παρέλευσιν τοῦ γέροντος χρώμενος· πέμπτῳ μὲν καὶ εἰκοστῷ τῆς ἡλικίας ἔτει, τὴν ἐπίγειον καταλιπὼν βασιλείαν, καὶ τὸν ἀσκητικὸν ὑπελθὼν ἀγῶνα· πέντε δὲ καὶ τριάκοντα χρόνους ἐν τῇ πανερήμῳ ταύτῃ ἀσκήσας, ὥσπερ τις ἄσαρκος, τὴν ὑπεράνθρωπον ἄσκησιν· πολλὰς μὲν πρότερον ψυχὰς ἀνθρώπων τοῦ ψυχοφθόρου δράκοντος ἀποσπάσας, καὶ τῷ Θεῷ προσαγαγὼν σεσωσμένας, καὶ Ἀποστολικῆς ἐν τούτῳ χάριτος ἀξιωθείς· μάρτυς δὲ τῇ προαιρέσει γενόμενος, καὶ παῤῥησίᾳ τὸν Χριστὸν ἐνώπιον βασιλέων ὁμολογήσας καὶ τυράννων, καὶ κῆρυξ μεγαλοφωνότατος τῆς αὐτοῦ μεγαλειότητος ἀναφανείς· πολλὰ δ᾽ αὖ πάλιν πνεύματα πονηρίας ἐν τῇ ἐρήμῳ καταπαλαίσας, καὶ πάντων τῇ τοῦ Χριστοῦ περιγενόμενος δυνάμει, καὶ τῆς ἄνωθεν πλουσίως μετασχὼν δωρεᾶς τε καὶ χάριτος. Ἐντεῦθεν κεκαθαρμένον τὸ τῆς ψυχῆς ὄμμα πάσης περιγείου ἀχλύος εἶχεν, ὡς παρόντα δὲ τὰ μέλλοντα προεθεώρει· καὶ Χριστὸς ἦν αὐτῷ ἀντὶ πάντων· Χριστὸν ἐπόθει· Χριστὸν ὡς παρόντα ἑώρα· Χριστοῦ τὸ κάλλος διαπαντὸς ἐνωπτρίζετο, κατὰ τὸν Προφήτην τὸν λέγοντα· «προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ» (Ψαλμ. ιέ. 8), Καὶ αὖθις· «ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου» (Ψαλμ. ξβ΄. 9). Ἐκολλήθη γὰρ ὄντως ἡ ψυχὴ αὐτοῦ ὀπίσω τοῦ Χριστοῦ, συν-



αρμοσθεῖσα αὐτῷ ἀῤῥαγεῖ συναφείᾳ· οὐ μετετράπη τῆς θαυμαστῆς ταύτης ἐργασίας· οὐκ ἠλλοίωσε τὸν κανόνα τῆς ἀσκήσεως αὐτοῦ· ἀπ᾽ ἀρχῆς μέχρι τέλους, ἴσην τηρήσας τὴν προθυμίαν· ἐκ νεωτέρου, μέχρι τῆς τοσαύτης ἡλικίας· μᾶλλον δὲ εἰς ὑψηλοτέραν ὁσημέραι προκόπτων τὴν ἀρετήν, καὶ καθαρωτέρας ἀξιούμενος θεωρίας.

**Ἡ ὁσία κοίμησις τοῦ τρισμάκαρος Ἰωάσαφ.**

Ἀμέλει, τοιαύτην πολιτευσάμενος πολιτείαν, καὶ οὕτως ἀξίαν τῆς ἑαυτοῦ κλήσεως ἐργασίαν ἀποδεδωκὼς τῷ καλέσαντι, σταυρώσας τὸν κόσμον ἑαυτῷ, καὶ ἑαυτὸν τῷ κόσμῳ, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει Θεόν, καὶ πρὸς τὸν ἀεὶ ποθούμενον ἐκδημεῖ Δεσπότην, καὶ τῷ προσώπῳ Κυρίου ἀμέσως καὶ καθαρῶς ἐμφανίζεται· τῷ τῆς ἐκεῖθέν τε δόξης ἤδη προευτρεπισμένῳ στεφάνῳ κοσμεῖται, καὶ Χριστὸν βλέπειν καταξιοῦται· Χριστῷ συνεῖναι· Χριστοῦ τῷ κάλλει διαπαντὸς ἐναγάλλεσθαι· οὗπερ εἰς χεῖρας τὴν ἑαυτοῦ ψυχὴν παραθέμενος, ἐν τῇ τῶν ζώντων μετεφοίτησε χώρᾳ, ἔνθα ἦχος ἑορταζόντων· ἔνθα τῶν εὐφραινομένων ἡ κατοικία. Τὸ δέ γε τίμιον αὐτοῦ σῶμα, ἐκ γειτόνων αὐτῷ τὰς οἰκήσεις ποιούμενός τις, ἀνὴρ ἅγιος, ὃς καὶ τὴν πρὸς Βαρλαὰμ πορείαν ἐκείνῳ πρότερον ὑπέδειξε, θείᾳ τινὶ μυηθεὶς ἀποκαλύψει, κατ᾽ αὐτὴν τὴν ὥραν τῆς τελειώσεως αὐτοῦ παραγίνεται· καὶ ὕμνοις ἱεροῖς τιμήσας, δάκρυά τε κατασπείσας, σύμβολον τοῦ πρὸς αὐτὸν πόθου, τ᾽ ἄλλα δὴ τὰ νενομισμένα χριστιανοῖς πάντα τελέσας, ἐν τῷ τοῦ πατρὸς ἔθετο Βαρλαὰμ μνήματι· συνεῖναι γὰρ ἔδει τὰ σώματα, ὧν αἱ ψυχαὶ συνδιαιωνίζειν ἔμελλον ἀλλήλοις.

Προστάγματι δέ τινος φοβερωτάτου κατ᾽ ὄναρ κραταιῶς ἐπισκήπτοντος πεισθεὶς ὁ τοῦτον κηδεύσας ἀναχωρητής, τὰ βασίλεια καταλαμβάνει Ἰνδῶν, καὶ τῷ βασιλεῖ Βαραχίᾳ προσελθών, πάντα αὐτῷ δῆλα τὰ περὶ τοῦ Βαρλαάμ, καὶ τοῦ μακαρίου τούτου τίθησιν Ἰωάσαφ. Ὁ δέ, μὴ μελλήσας, ἀπέρχεται αὐτὸς μετὰ δυνάμεως ὄχλου, καὶ τῷ σπηλαίῳ ἐφίσταται· τὸ μνῆμά τε θεωρεῖ· καὶ τούτῳ θερμότατα ἐπιδακρύσας, αἴρει τὸ κάλυμμα, καὶ ὁρᾷ τόν τε Βαρλαὰμ καὶ Ἰωάσαφ, ἔχοντας τὰ μέλη κατὰ τὸ σχῆμα κείμενα, καὶ τὰ σώματα οὐδὲν τοῦ προτέρου χρωτὸς παραλλάττοντα· ὁλόκληρα δὲ καὶ ἀκριβῶς ὑγιῆ σὺν τοῖς ἐνδύμασιν.

Ταῦτα τοίνυν τὰ ἱερὰ τῶν ἁγίων σκηνώματα, πολλὴν ἐκπέμποντα τὴν εὐωδίαν, καὶ οὐδὲν ὅλως ἀηδὲς ἐπιδεικνύμενα, θήκαις ἐνθεὶς ὁ βασιλεὺς τιμίαις, εἰς τὴν ἑαυτοῦ πατρίδα κομίζει. Ὡς δὲ εἰς τὰς ἀκοὰς ἔπιπτε τοῦ λαοῦ τὸ γεγονός, πλῆθος ἀριθμοῦ κρεῖττον ἐκ πάν-

www.tezaurliturgic.ro



των τε τῶν πόλεων καὶ περιχώρων, εἰς προσκύνησιν καὶ θέαν συνέρρεον τῶν μακαρίων σωμάτων ἐκείνων. Ἔνθεν τοι καὶ ὕμνους ἐπ' αὐτοῖς τοὺς ἱεροὺς ᾄσαντες, καὶ λαμπάδας φιλοτίμως ἅψαντες, ἀκολούθως εἶπεν ἄν τις καὶ λίαν οἰκείως, τὰ φῶτα περὶ τοὺς τοῦ φωτὸς υἱούς τε καὶ κληρονόμους· λαμπρῶς δὲ ὁμοῦ καὶ μεγαλοπρεπῶς ἐν τῇ ἐξ αὐτῶν κρηπίδων παρὰ τοῦ Ἰωάσαφ ἀνεγηγερμένῃ κατέθεντο ἐκκλησίᾳ. Πολλὰ δὲ θαύματα καὶ ἰάσεις ἔν τε τῇ μετακομιδῇ, ἔν τε τῇ καταθέσει, καὶ ἐν τοῖς ἑξῆς χρόνοις διὰ τῶν ὁσίων αὐτοῦ καὶ θεραπόντων ἐποίησε Κύριος· καὶ εἶδεν ὁ βασιλεύς τε καὶ πᾶς ὁ ὄχλος τὰς δι' αὐτῶν γινομένας δυνάμεις, καὶ πολλοὶ τῶν πέριξ ἐθνῶν ἀπιστίαν νοσοῦντες καὶ τοῦ Θεοῦ ἄγνοιαν, διὰ τῶν γινομένων ἐν τῷ μνήματι σημείων ἐπίστευσαν· καὶ πάντες οἱ ὁρῶντές τε καὶ ἀκούοντες τὴν ἀγγελομίμητον τοῦ Ἰωάσαφ πολιτείαν, καὶ τὸν ἐξ ἁπαλῶν ὀνύχων διάπυρον αὐτοῦ πρὸς τὸν Θεὸν πόθον, ἐθαύμαζον, δοξάζοντες ἐν πᾶσι τὸν Θεόν, τὸν ἀεὶ συνεργοῦντα τοῖς ἀγαπῶσιν αὐτόν, καὶ μεγίσταις τούτους ἀμειβόμενον δωρεαῖς. Ἕως ὧδε τὸ πέρας τοῦ παρόντος λόγου, ὃν κατὰ δύναμιν ἐμὴν γεγράφηκα, καθὼς ἀκήκοα παρὰ τῶν ἀψευδῶς παραδεδωκότων μοι τιμίων ἀνδρῶν. Γένοιτο δὲ ὑμᾶς τοὺς ἀναγινώσκοντάς τε καὶ ἀκούοντας τὴν ψυχωφελῆ διήγησιν ταύτην, τῆς μερίδος ἀξιωθῆναι τῶν εὐαρεστησάντων τῷ Κυρίῳ εὐχαῖς καὶ πρεσβείαις Βαρλαὰμ τε καὶ Ἰωάσαφ τῶν μακαρίων, περὶ ὧν ἡ διήγησις· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ὧ πρέπει τιμή, κράτος, μεγαλοπρέπεια, σὺν τῷ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν τε καὶ ἀεί, καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΩΝ ΟΣΙΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ
# ΙΩΑΣΑΦ ΚΑΙ ΒΑΡΛΑΑΜ
### ΣΥΝΤΕΘΕΙΣΑ
### ΠΑΡΑ ΑΓΑΠΙΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΚΡΗΤΟΣ

*Εἰς τὸν μικρὸν Ἑσπερινόν, ἱστῶμεν στίχους δ'. εἰς Ἦχον πλ. δ'.*

*Ὢ τοῦ παραδόξου θαύματος.*

Χαίροις Ἰωάσαφ πάνσοφε, ὁ τὸν ζυγὸν τοῦ Χριστοῦ, τὸν χρηστὸν καὶ ἡδύτατον, ἐπ' ὤμων ἀράμενος, καὶ σαρκὸς βδελυξάμενος, ἡδυπαθείας καὶ χαρυκεύματα, καὶ κόσμον ὅλως ἀπαρνησάμενος, πρέσβευε δέομαι, τῷ Δεσπότῃ δοῦναί μοι ἁμαρτιῶν, ἄφεσιν ὡς εὔσπλαγχνος καὶ ὑπεράγαθος.

Χαίροις Ὁσίων τὸ καύχημα, τῶν ἀρετῶν ὁ κανών, βασιλέων ἀγλάϊσμα, μαρτύρων ὁμότροπος, διδασκάλων συνόμιλος, ὁ τῶν Ἀγγέλων ὄντως ἐφάμιλλος, τῇ σωφροσύνῃ καὶ καθαρότητι. Χαίροις τρισόλβιε, ὁ τὸν Κόσμον ἅπαντα καταλιπών, ὅθεν τὸν ποθούμενον Χριστὸν ἐκέρδησας.

Μάκαρ Ἰωάσαφ πάνσοφε, τοὺς ἀναξίους Θεῷ, ὡς ἀξίους προσήγαγες, Θευδᾶν τὸν παγκάκιστον, καὶ Ναχὼρ τοὺς γηράσαντας, ἐν ταῖς κακίαις καὶ πανουργεύμασι, καὶ τοὺς σοὺς δούλους σὺν τῷ γεννήτορι, ὅθεν τῶν πόνων σου, ἐπαξίως εἴληφας τὰς ἀμοιβάς, παρὰ τοῦ Δεσπότου σου ἀγαλλιώμενος.

Χαίροις Βαρλαὰμ θεσπέσιε, σὺ γὰρ προσῆξας Θεῷ, Ἰωάσαφ τὸν πάνσοφον, τοῖς σοφοῖς σου ῥήμασι, σαγηνεύσας ὡς ἔμπορος, Χριστὸν κηρύττων τὸν πολυτίμητον, Λίθον καὶ ὄντως ἀξιοθαύμαστον, ὃν καθικέτευε, μετ' αὐτοῦ πρεσβεύοντες, δοῦναι ἡμῖν, ἐγκλημάτων ἄφεσιν καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος δ'.

Νουνεχῶς κατανοήσας τῆς ψυχῆς τὴν εὐγένειαν, πάνσοφε Ἰωάσαφ, τὸ πάχος τοῦ σώματος ὑποτάξαι ταύτῃ ὡς κρείττονι ἔσπευσας, καὶ

www.tezaurliturgic.ro



τὴν εἰκόνα τοῦ κτίσαντος ἀῤῥύπωτον διατηρῆσαι, ἐντεῦθεν ἀνενδότως, πρὸς τὸ πρωτότυπον ἀνατεινόμενος, καὶ ταῖς πρὸς αὐτὸν ἀναβάσεσι καλλυνόμενος, ἀνέπτης πρὸς τὰς οὐρανίους σκηνάς, ἀμέσως ἐντυγχάνων τῷ ποθουμένῳ σοι, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

---

Εἰς τὸν στίχ. Ἦχος β'. — Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε τῶν ἀσκητῶν, τὰ στίφη συνελθόντα, ἐν ὕμνοις ἐγκωμίων, τὸν μέγαν Ἰωάσαφ, εἰκότως εὐφημήσωμεν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Οἶκος τοῦ παντουργοῦ, Πνεύματος χρηματίσας, Παμμάκαρ Ἰωάσαφ, ταῖς ἀρεταῖς μετέστης, ἐκ γῆς πρὸς τὰ οὐράνια.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος.

Χαίροις ἡ κορωνίς, καὶ κλέος τῶν ἀνάκτων, καύχημα τῶν Ὁσίων, ταμεῖον ἰαμάτων, καὶ ἀρετῶν θησαύρισμα.

Δόξα Πατρί.

Πανένδοξε Τριάς, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τοὺς πίστει, εἰλικρινεῖ καὶ βίῳ, ἀμέμπτῳ σοι λατρεύοντας.

Καὶ νῦν.

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

Νῦν ἀπολύεις. (Τὸ ἀπολυτ. ὅρα εἰς τὸν μεγάλ. Ἑσπερινόν).

Δόξα καὶ νῦν. Θεοτοκ. Τοῦ Γαβριὴλ φθεγξαμένου. Καὶ ἀπόλυσις.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν προοιμιακόν, καὶ τὸ Μακάριος ἀνήρ, τὸ α'· Ἀντίφωνον, ἱστῶμεν. Στίχ. η'. Ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Σὺ τὸν ζυγὸν τοῦ Κυρίου, ἐπ' ὤμων ἦρας Σοφέ, καὶ ἀπηρνήσω πάντα, τῆς σαρκὸς τὰ ἡδέα, βλεφάροις δὲ οὐδ' ὅλως δέδωκας σοῖς, νυσταγμὸν παναοίδιμε, διηνεκῶς καταρδεύων σου τὴν στρωμνήν, Ἰωάσαφ τοῖς σοῖς δάκρυσι.

Τοῦ Βαρλαὰμ καθυπείκων, ταῖς εἰσηγήσεσιν, ὡς ἔμπορος ἐχέφρων, τὸν πολύτιμον λίθον, ἐπλούτησας Τρισμάκαρ καταλιπών, πλοῦτον δόξαν τε ῥέουσαν, ἀνθ' ὧν πλουσίως ἐδέξω παρὰ Θεοῦ, τὰ ἀφθάρτως διαμένοντα.

Ἔξωθεν μὲν ἁλουργίδι καὶ διαδήματι, κεκοσμημένος Μάκαρ, Ἰωά-



σαφ ὑπῆρχες, ῥάκεσι τριχίνοις ἔσωθεν δέ, τῆς σαρκὸς κατεμάρανας, τὴν ὡραιότητα πᾶσαν τὰς ἀμοιβάς, τῶν σῶν πόνων ἐκδεχόμενος.

Ῥέουσαν δόξαν καὶ πλοῦτον φθαρτὸν ἐμίσησας, καὶ βασιλείαν ὅλως, ἐβδελύξω πανσόφως, πάντα τὰ τοῦ βίου καταλιπών, ὡς φθαρτὰ καὶ ἐπίκηρα, ἀνθ' ὧν ἐδέξω ἀφθόνως ἐν οὐρανοῖς, σὺν Ἀγγέλοις τὰ ἀΐδια.

Δόξα, Ἦχος α'.

Τῶν ἀσκητῶν ἡ κρηπίς, καὶ μοναστῶν ἡ ἀκρότης, ἡ στάθμη τῆς ἀρετῆς, καὶ τῆς ἐρήμου πολίτης, Ἰνδῶν τὸ κλέος, ὁ γόνος τοῦ Ἀβεννήρ, ἡ κορωνὶς τῶν ἀνάκτων, καὶ τῶν Ἀγγέλων ἐφάμιλλος, Ἰωάσαφ ὁ πάνσοφος, σήμερον συγκαλεῖται ἡμᾶς πρὸς ἑστίασιν πνευματικὴν τῶν ἱερῶν ἀγώνων αὐτοῦ. Δεῦτε οὖν φιλέορτοι, ᾠδαῖς ᾀσμάτων αὐτὸν εὐφημήσωμεν· πρεσβεύει γὰρ τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τὴν παγκόσμιον δόξαν.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν·

Καὶ τὸ προκείμενον. Τὰ δὲ Ἀναγνώσματα· ζήτει εἰς Ὅσιον.

Εἰς τὴν Λιτὴν ψάλλομεν. Ἦχος α'.

Χαρμονικῶς ἐκτελοῦμεν τὴν μνήμην σου, Ἰωάσαφ ἰσαπόστολε, πάντων ἀνάκτων βάσις καὶ καύχημα. Ἀγρευθεὶς γὰρ ὑπὸ Βαρλαὰμ τοῦ τρισμάκαρος, τὴν ὀρθόδοξον Πίστιν ἐπλούτησας· ὅθεν καὶ πρόσκαιρον δόξαν, καὶ βασιλείαν ἐπίκηρον κατεφρόνησας, ἀνθ' ἧς ἐκληρώσω τὴν ἀεὶ διαμενουσαν. Ἀντὶ δὲ φθαρτοῦ διαδήματος, τὸν ἀμαράντινον ἐκομίσω στέφανον. Διὸ αἰτοῦμέν σε, πρέσβευε ὑπὲρ ἡμῶν Πάτερ ἁγιώτατε.

Ἦχος β'.

Τοῦ εὐσεβοῦς Ἰωάσαφ ἡ μνήμη, ὡς μύρον ἐκκενούμενον σήμερον ἀνέτειλε. Χριστὸν γὰρ ποθήσας, εἰδώλων κατεφρόνησε, καὶ Κόσμον ἐμίσησε, καὶ ἐν οὐρανοῖς ἀπέλαβε τὸν τῆς ἐλπίδος στέφανον.

Δόξα. Ἦχος β'.

Τῶν ὑπὲρ νοῦν ἀγαθῶν δεξάμενος ἔρωτα, πάντα τὰ ἐν Κόσμῳ τερπνὰ ὑπερεῖδες Θεόληπτε, καὶ ἀγγελικῶς τὸν βίον διήνυσας, καὶ νῦν ἐν οὐρανοῖς αὐλίζῃ, Θεὸν ἱλεούμενος ὑπὲρ τῶν πιστῶς ἐκτελούντων, Πάτερ Ἰωάσαφ τὴν μνήμην σου.

Καὶ νῦν. Πάντων προστατεύεις.

---

Εἰς τὸν Στίχ. Ἦχος ά. Πανεύφημοι Μάρτυρες.

*Σοφίαν Θεοῦ τὴν ἀληθῆ, ἀγαπήσας Ὅσιε, φιλοσοφίας τὸν πρώτιστον, ὅρον ἐξήσκησας, μελέτην θανάτου· ὅθεν ἐθανάτωσας, τὰ πάθη τῆς σαρκός, καὶ ἐζώωσας, φιλοσοφώτατα, τὴν ψυχὴν καὶ πρὸς ἀΐδιον, ἤρθης δόξαν, καὶ ζωὴν αἰώνιον.

www.tezaurliturgic.ro



Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Λαβὼν ἐπωμάδιον Σταυρόν, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἀκολουθῶν κατεπάτησας, πᾶσαν τὴν δύναμιν, τοῦ ἐχθροῦ ἀνδρείως, ἡδονὰς τοῦ σώματος, μισήσας Ἰωάσαφ πανόλβιε, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Θεοῦ ἀμπελῶνος ἀληθής, ἐργάτης καὶ δόκιμος, ἀναδειχθεὶς καὶ ἀσκήσεως, βάρος καὶ καύσωνα, πάντα τῆς ἡμέρας, καρτερῶς ἐβάστασας, ἀρδεύων τὴν στρωμνήν σου τοῖς δάκρυσι, διὸ ἀπέλαβες, πολυπλάσιον ἀντάμειψιν, τῶν σῶν πόνων ἐκ χειρὸς Κυρίου σου.

Δόξα. Ἦχος β'.

Ὅσιε Πάτερ, ἀγγελικὴν ζηλώσας διαγωγήν, ἀτροφίαν ἐξήσκησας, καὶ τὴν ἄρρευστον ζωὴν καὶ ἀμείνονα, ποθήσας πανσόφως, ταύτης τῆς ἐπικήρου κατεφρόνησας· ὅθεν νῦν κεκλήρωσαι, ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια. Διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν πίστει καὶ πόθῳ, ἐκτελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.

Ἀπολυτίκιον. Ἦχος ά.

Βασιλείαν μισήσας ὡς ἐχέφρων καὶ πάνσοφος, τὰς τοῦ βίου φροντίδας Ἰωάσαφ τρισόλβιε, κατέλιπες ἐν ὅλῃ τῇ ψυχῇ, καὶ ἄρας ἐπὶ ὤμων τὸν Σταυρόν, προσέδραμες προθύμως τῷ Χριστῷ, ὥσπερ διψῶσα ἔλαφος. Ὅθεν τῷ δεδωκότι σοι ἰσχύν, γηθόμενοι κραυγάζομεν· Δόξα σοι τῷ δοξάσαντι τὸν οὕτω σε ποθήσαντα. — Δόξα ὅμοιον.

Καὶ νῦν Θεοτοκ. Τοῦ Γαβριὴλ φθεγξαμένου. Καὶ ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον μετὰ τὴν ά. Στιχολογ. Κάθισ. Τὸν Τάφον σου Σωτήρ.

Ἀσέβειαν πατρός, εἰς εὐσέβειαν Μάκαρ, μετέβαλες εὐχαῖς, καὶ νηστείαις σχολάζων, ἀφθόνως τε διένειμας, σοῦ τὸν πλοῦτον τοῖς πένησιν· ὅθεν ἄσυλον, καὶ μὴ φθειρόμενον πλοῦτον, πολυπλάσιον παρὰ Κυρίου λαμβάνεις, ἀεὶ εὐφραινόμενος.

Δόξα, ὅμοιον, καὶ νῦν Θεοτοκ.

Ἀπόθου ὦ ψυχή, ῥαθυμίας τὸν ὕπνον, καὶ ἄναψον φαιδράν, μετανοίας λαμπάδα, καὶ ἔξελθε νῦν χαίρουσα, τῆς τοῦ βίου συγχύσεως, εἰς ἀπάντησιν, τοῦ ἀθανάτου νυμφίου, δέξαι λέγουσα καὶ μὴ ἀπώσῃ με Λόγε, λιταῖς τῆς τεκούσης σε.

Εἰς τὴν β'. στιχολογίαν. Ἦχος γ'.

Τὴν ὡραιότητα.

Δόξαν τὴν ῥέουσαν, ἐμφρόνως Ὅσιε, καὶ ἡδυπάθειαν, πᾶσαν τοῦ σώματος, ἐν ὅλῃ τῇ καρδίᾳ σου ἐμίσησας Θεοφόρε, καὶ Χριστὸν ἐπόθησας, ἐφετὸν τὸ ἀκρότατον, ὅς τις σε ἠμείψατο, οὐρανίοις χαρίσμασι. Διὸ χαρμονικῶς ἐκβοῶμεν σοι· Χαῖρε πατέρων ἀγλάϊσμα.



Δόξα. Ὅμοιον. Καὶ νῦν.

Θρόνος πάγχρυσος, τοῦ Βασιλέως, καὶ Παράδεισος, διηνθισμένος, ἀνεδείχθης Θεοτόκε πανάχραντε, τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν· ὅθεν ἅπαντες Θεοῦ ἀληθῶς Μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Μετὰ τὸν πολυέλεον.

Τὴν σοφίαν καὶ λόγον. Ἦχος πλ. δ'.

Τὰ ἐπίγεια πάντα καταλιπών, καὶ ἐν Κόσμῳ ὑπάρχων σωματικῶς, τῷ πνεύματι γέγονας, τῶν Ἀγγέλων συμμέτοχος, καὶ τὰ πάθη πάντα νεκρώσας τοῦ σώματος, τῆς Τριάδος ἐδείχθης σεπτὸν οἰκητήριον· ὅθεν τοὺς ἀχρήστους, τῷ Χριστῷ ταῖς εὐχαῖς σου, σοφοῖς τε διδάγμασι προσηγάγω καὶ δάκρυσιν, Ἰωάσαφ, μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ· τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον. Καὶ νῦν.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ. Χαῖρε Κόρη καθέδρα βασιλική. Κλίνη πορφυρόστρωτε. Χρυσοπόρφυρε θάλαμε. Χλαμὺς ἁλουργόχροε. Τιμαλφέστατον τέμενος. Ἀστραπηφόρον ἅρμα. Λυχνία πολύφωτε. Χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε. Ἀγλαόχρυσε τράπεζα. Θεοκόσμητον σκήνωμα. Χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε. Χαῖρε μόνη ψυχῆς μου διάσωσμα.

Τὰ α'. Ἀντίφωνον τοῦ δ'. Ἤχου. Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου. Εὐαγγέλιον Ὀσιακόν. Δόξα. ταῖς τοῦ σοῦ Ὁσίου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἰδιόμελ. πλ. β'. Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος. Εἶτα Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. Ὠδὴ α'. Ἦχος πλ. δ'. Οἷον βούλει.

Καὶ τοῦ Ὁσίου. Ἁρματηλάτην Φαραώ. πλ. δ'.

Χαῖρε Πατέρων κορωνὶς πανάριστε, καὶ τῶν Ὁσίων κρηπίς. Ἀσκητῶν τὸ κλέος. Χαῖρε ἐγκαλλώπισμα, τῶν βασιλέων ἔνδοξε. Χαῖρε τῆς σωφροσύνης, τὸ περιβόητον ἄγαλμα. Χαῖρε τῶν ἀγγέλων ἐφάμιλλε.

Μετατεθεὶς τῇ προαιρέσει Ὅσιε, πρὸς οὐρανὸν ἀληθῶς, Ἀγγελικῶς Πάτερ, ἐπὶ γῆς ἐβίωσας, νεκρώσας σου τὸ φρόνημα, τῇ πολλῇ ἐγκρατείᾳ δι' ἧς Θεοῦ οἰκητήριον, ὤφθης Ἰωάσαφ Θεσπέσιε.

Χαῖρε δυὰς ἡ τῆς Τριάδος πρόμαχος, χαῖρε σοφὲ Βαρλαάμ, Ἰωάσαφ χαῖρε, τοῦ Θεοῦ θεράποντες, οἱ κόσμον ἀρνησάμενοι, καὶ Χριστὸν ὁλοψύχως, ὑπὲρ χρυσὸν ἀγαπήσαντες, καὶ τὰ τῆς σαρκὸς βδελυξάμενοι.

www.tezaurliturgic.ro



Ὑμνολογίας ἱερεῖς ὑμνήσωμεν, τὴν πολυύμνητον, τὴν τὸν Θεὸν Λόγον ὑπὲρ λόγον τέξασαν, τὸν μόνον ὑπερύμνητον, ὃν ὑμνεῖ πᾶσα φύσις, ὃν οὐρανῶν τὰ στρατεύματα, θείαις ὑμνῳδίαις γεραίρουσιν.

Ἄλλος. Ἦχος α'. Χριστὸς γεννᾶται.

Ἐξ ὕψους χάριν μοι δώρησαι, Θεὸς ὁ ἐν Τριάδι ὑμνούμενος, Πατὴρ Υἱὸς Πνεῦμα ἅγιον, ὅπως τοῦ σοῦ Ὁσίου χαρμονικῶς, μέλψω τοὺς ἀγῶνας θαυμαστούς, καὶ πολιτείαν τὴν ἰσάγγελον.

Χριστὸν ποθήσας Μακάριε, ἐν ὅλῃ τῇ ψυχῇ καὶ καρδίᾳ σου, κόσμου τὰ τερπνὰ κατέλιπες· ὅθεν σὺν τοῖς Ἀγγέλοις ἐν οὐρανοῖς, νῦν ἀπολαμβάνεις, Ἰωάσαφ ἐναργῶς τοῦ ποθουμένου σου. Δόξα.

Τριάδα σέβω τὴν ἄκτιστον, Πατέρα καὶ Υἱὸν σὺν τῷ Πνεύματι, οὐσίαν ἁπλῆν Θεότητα, Φύσιν μὴ τεμνομένην οὐσιωδῶς, Τρεῖς τὰς ὑποστάσεις, διαιρῶν προσωπικῶς καὶ καθ' ὑπόστασιν. Καὶ νῦν.

Ῥυσθῆναι Κόρη πανάμωμε, Παθῶν ἐπικρατείας τοὺς δούλους σου, τὸν σὸν ἐκτενῶς ἱκέτευε, Κύριον καὶ Δεσπότην, ὃν ἐκ τῶν σῶν, πάναγνε αἱμάτων, ἐσωμάτωσας ἡμῖν προσομιλήσαντα.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Σὺ τὸν ζυγὸν τοῦ Χριστοῦ, τὸν χρηστὸν βαστάσας ἐπ' ὤμων, Ἰωάσαφ ταῖς φροντίσιν οὐδ' ὅλως, ἐδουλώθης τῆς σαρκός· ἀλλ' ἤρθης ἐν τῷ πνεύματι, τῆς ἀρετῆς εἰς ὕψος, ὡς Ἀποστόλων ὁμόζηλος.

Καταφρονήσας τῶν τῆς γῆς, ἡδέων τὰς οὐρανίους, ἀπολαύσεις ἐκληρώσω πλουσίως, καὶ παρίστασαι Θεῷ, τῷ ἐραστῇ σου πάνσοφε, ψάλλων σὺν ἀσωμάτοις, διηνεκῶς τὸν τρισάγιον.

Τῆς ἐναρέτου ἐρασθείς, διαγωγῆς τοῦ πανσόφου, Βαρλαὰμ ἐγκαταλέλοιπας Μάκαρ, τὰς ἐν βίῳ ταραχάς, καὶ τούτῳ ἠκολούθησας, καὶ προσευχαῖς ἀπαύστοις, θείας γαλήνης τετύχηκας.

Ὁ πρὸ νεκρώσεως νεκρός, ὁ πρὸ ταφῆς τεθαμμένος, ὁ πρὸ μνήματος ἐν μνήματι μένων, τῆς λιθώδους καὶ σκληρᾶς ἀναλγησίας, Δέσποινα, τὴν τῆς ζωῆς Μητέρα, Σὲ ἱκετεύω ζωῶσαί με.

Τῷ πρὸ τῶν αἰώνων.

Πίστει τε καὶ πόθῳ, τὴν σορὸν τῶν λειψάνων σου σέβομαι, καὶ τὴν εἰκόνα προσκυνῶ σου, Ἰωάσαφ τρισμάκαρ, Χριστῷ τῷ Θεῷ δεόμενος, τοῦ οἰκτειρῆσαι με ταῖς προσευχαῖς πάσης περιστάσεως.

Ἔσπευσας τὸ χεῖρον, ὡς σοφὸς ὑποτάξαι τῷ κρείττονι, καταφρονήσας τῶν ῥεόντων, τὰ ἀΐδια μόνα, ποθῶν ὅλῃ τῇ καρδίᾳ σου· ὅθεν πλουσίας Χριστὸς ὁ Θεός, ἀμοιβὰς παρέχει σοι.

Δόξα Πατρί.

Ἵλεως γενοῦ μοι, Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν, τῷ ἐν ἀμέτροις



πλημμελείαις, ῥυπωθέντι τῷ βίῳ, δεινῶς καὶ ψυχὴν μολύναντι, διατηροῦσά με πάντοθεν καὶ ἀεί, ἄτρωτον, ἐκ θλίψεως.

Ὁ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθεὶς ὑπὲρ ἔννοιαν, ἐκ τῆς Παρθένου ἐπ' ἐσχάτων ἐσαρκώθη ὡς οἶδεν, αὐτὸς θέλων τὸ ἀνθρώπινον ἀνακαινίσαι φθαρέν, πονηροῦ, συμβουλίᾳ ὄφεως.

Κάθισμα, Ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ἐνθάψας πονηράς, τῶν δαιμόνων ἐνέδρας, ἐδέξω ἐκ Θεοῦ τὰ τῆς νίκης βραβεῖα, ἐπαξίως τῶν πόνων σου, καὶ καμάτων ἀήττητε· ὅθεν χαίροντες, ἀνευφημοῦμεν ἐν ὕμνοις, τοὺς ἀγῶνας σου, καὶ θαυμαστὰς ἀριστείας, Χριστὸν μεγαλύνοντες. Δόξα. Ὅμοιον. Καὶ νῦν. Θεοτόκιον. Μαρία τὸ σεπτόν.

Ὠδὴ δ'. Σύ μου Χριστὲ Κύριος.

Ὄντως ἐν σοί, τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον, ἐπληρώθη, Ἰωάσαφ πάνσοφε, τὸν γὰρ Σταυρόν σου ἀναλαβών, πάντα τὰ ἡδέα, σαρκὸς καὶ κόσμον ἐμίσησας, ποθήσας τὸν Σωτῆρα, οὗ τοῖς ἴχνεσιν ὅλως, ἀκορέστῳ στοργῇ ἠκολούθησας.

Ἔζη Χριστός, ἐν σοὶ τῷ ὄντι Μακάριε καὶ σὺ ἔζης, ἐν αὐτῷ γηθόμενος, καὶ μὴ προσχὼν ὅλως τῇ σαρκί, ἀλλὰ πᾶσαν ταύτης, προσπάθειαν βδελυξάμενος, διὸ νῦν σὺν ἐκείνῳ, τῶν ἐσόπτρων λυθέντων βασιλεύεις ἀεὶ εὐφραινόμενος.

Σὲ ὁ Πατήρ, τῶν οἰκτιρμῶν προσελάβετο, ὡς γνησίως, τοῦτον ἀγαπήσαντα, καὶ ταῖς αὐτοῦ Πάτερ ἐντολαῖς, ἐπαγρυπνηκότα, καὶ τοῖς υἱοῖς συναρίθμιον, τῆς χάριτος ποιήσας, ἀϊδίου σε δόξης, Ἰωάσαφ θεόφρων ἠξίωσεν.

Πίστις θερμή, ἡγείσθω καὶ μὴ ἀπόδειξις, τοῦ φρικώδους, Κόρη μυστηρίου σου, κατανοούμενον γὰρ αὐτό, ἄφραστον ὑπάρχει, καὶ θεωρούμενον ἄληπτον, ἐστὸς γὰρ παρατρέχει, καὶ ληφθὲν διαφεύγει, καὶ φανέν τι μικρὸν ἀποκρύπτεται.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ἔχων ἐν καρδίᾳ σου Χριστοῦ, τὸν ἔρωτα θερμότερον, οὐκ ἔθελξέ σε κάλλος γυναίου, οὐκ ἔρως ὁ τῆς σαρκός, νεανίδων ἔνδοξε, οὐδ' ὅλως προσέχων ταῖς θωπείαις, ἀλλ' ἔστης καρτερικῶς, οἷά τις ἀδάμας στεῤῥότατος.

Πάντα τὰ ἡδέα καὶ τερπνά, τοῦ βίου ὡς ἀνύπαρκτα, μάλα πανσόφως κατεφρόνησας, καὶ μόνα τὰ ἀγαθὰ τὰ ἀεὶ ἐμμένοντα, ἐπόθησας Μάκαρ ἐκ καρδίας, καὶ τούτων ἐπιτυχών, νῦν συνεπαγάλλῃ τῷ Κτίστῃ σου.

www.tezaurliturgic.ro



Ἀνάρχου Θεότητος ἀρχήν, Πατέρα καὶ Υἱὸν τιμῶ, καὶ Πνεῦμα σέβω τὸ Πανάγιον, τὴν πάντων παντουργικήν, ἑνιαίαν ἄτμητον, τρισὶ χαρακτῆρσι καὶ προσώποις, διῃρημένην ἀεί, μίαν βασιλείαν ἀμέριστον.

Σὺ ὄντως ἐπέκεινα βροτῶν, Ἀγγέλων τε ὑπέρτιμος, Θεογεννῆτορ Κόρη πέφηνας, τὸν πάντων γὰρ ποιητήν, ἐν γαστρὶ συνέλαβες, σάρκα ὑλικὴν ἠμφιεσμένον, τεκοῦσα δίχα σπορᾶς. Ὢ καινοπρεποῦς θεωρήματος!

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἵνα τῶν αἰωνίων, ἀγαθῶν ἐπιτύχῃς ἐγκαταλέλοιπας, τὰ ῥευστὰ ὡς ὄντα, τῶν ἀράχνης ἱστῶν εὐτελέστερα, καὶ πωλήσας πάντα, τὸν Μαργαρίτην ἐκομίσω, τὸν ὑπέρτιμον Πάτερ ὡς πάνσοφος.

Τῆς ἡμέρας τὸ βάρος, Πάτερ καὶ τὸν καύσωνα στεῤῥῶς ἐβάστασας, ἀρετῶν τὸν θεῖον, ἀμπελῶνα, καλῶς ἐργασάμενος· ὅθεν τῇ ἑσπέρᾳ, τῆς ἐκ τοῦ βίου ἐκδημίας, τὸν μισθὸν ἐκομίσω ἐπάξιον.

Παῤῥησίαν ὡς ἔχων, τῷ σωτῆρι Θεῷ καθικέτευε, ὅπως ἐγκλημάτων, τὴν συγχώρησιν πᾶσι δωρήσηται, τοῖς ἐπιτελοῦσι, χαρμονικῶς σου τὴν φωσφόρον, καὶ πανέορτον μνήμην Μακάριε.

Ὡς πολύδακρυν βίον, καὶ ὡς πολυστένακτον ἀνύων δίαυλον, δυσωπῶ σε Κόρη, εἰς παράκλησιν, καὶ ἀνάψυξιν, τῆς πολυωδύνου τε καρδίας, ἐναργῆ τὴν σὴν μνήμην παράσχου μοι.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Χριστὸς ἴσως ὃν ἐπόθεις, Μάκαρ σφοδρῶς, ἐπὶ γῆς σε μεγάλως ἐδόξασε, καὶ πνεύματα διώκονται προσψαύσει τοῦ σεπτοῦ, λειψάνου σου ταχέως· διό σε γεγηθότες, ἐκ νυκτὸς ὀρθρίζοντες, γεραίρομεν.

Ἰνδῶν βασιλείαν ἀπώσω στεῤῥῶς, ὡς ῥευστὴν καὶ ὡς ὄντως εὐμάραντον, καὶ μόνην τὴν ἀΐδιον ἐπόθησας σοφέ, ἧς νῦν ἀπολαμβάνεις, σῶν πόνων ἐπαξίως, ἡμῖν τοῖς ἐπαινοῦσι, κατευμενίζων τὸν φιλάνθρωπον.

Δόξα Πατρί.

Συνάναρχα τρία, ὁμόθρονα, ἀμέριστα μιᾶς δὲ Θεότητος, δοξάζω αὐτεξούσια τὰ πρόσωπα σαφῶς, δι' ἧς ἐκ τοῦ μὴ ὄντος, παρήχθην εἰς τὸ εἶναι, σὺν Ἀγγέλοις κραυγάζων. Ἅγιος, Ἅγιος, Ἅγιος, εἶ Θεὸς τοῦ παντός.

Καὶ νῦν.

Ἡ σωτήριος σκέπη, καὶ πάντων χαρά, ἡ προφθάνουσα τάχος καὶ σώζουσα, οἰκτείρησον καὶ νῦν ἡμᾶς, βοῶμέν σοι Ἁγνή, τοὺς σὲ προσκαλουμένους, ἀεὶ ἐν περιστάσει· προστασίαν γὰρ ἄλλην μετὰ Θεὸν ἡμεῖς οὐκ ἔχομεν.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς πάροικος ἐν τῇ γῇ, καὶ παρεπίδημος ἤνεγκας, τὰς κακουχίας



σαρκός, νηστείαις καὶ δάκρυσι, σχολάζων ἀοίδιμε, καὶ ἀδιαλείπτως τῷ Δεσπότῃ προσευχόμενος.

Ὡς κῆπος πανευθαλής, ἐδείχθης ὄντως καὶ εὔκαρπος, δακρύων τοῖς ὀχετοῖς, καλῶς ἀρδευόμενος, καὶ μυρίπνουν Ὅσιε, τὸν καρπὸν τῷ Κτίστῃ, Ἰωάσαφ προσενήνοχας.

Τὰς κοσμικὰς ἡδονάς, καὶ ἀπολαύσεις μισήσαντες, Χριστὸν ὑπὲρ τὸν χρυσόν, σοφῶς ἐποθήσατε, καὶ τούτου ταῖς νεύσεσιν, εἴξαντες προθύμως, σὺν αὐτῷ νῦν ἐπαγάλλεσθε.

Τὸ σκήνωμα τοῦ Θεοῦ, τὸ θεῖον ὄντως καὶ πάνσεπτον, ὑμνήσωμεν εὐσεβῶς, Μαρίαν, τὴν ἄχραντον· Θεὸν γὰρ ἐγέννησε (παράδοξον θαῦμα) τὸν ἀχώρητον καὶ ἄληπτον.

Σπλάγχνων Ἰωνᾶν.

Μέγα καὶ φρικτόν, ἐφάνη τεράστιον, ἐν σοὶ προφανῶς Μακαριώτατε· νεάνισι γάρ, συνοικῶν κεκλεισμένος, καὶ συνομιλῶν, οὐκ ἐθέλχθης τὸ παράπαν ἀδαμάντινε, πόθῳ πόθον ἀντωσάμενος, ῥευστοῦ κάλλους προκρίνας τὰ ἄῤῥευστα.

Χαίροις ἡ δυάς, Χριστοῦ ἡ παμπόθητος, πάτερ Βαρλαὰμ σεβασμιώτατε, Ἰωάσαφ τε, οἱ μισήσαντες τὰς τῆς σαρκὸς ἡδονάς, ὁλοψύχως τε τὸν Κύριον ποθήσαντες, ὃν περ ἵλεών μοι δέομαι, ταῖς ἡμῶν ἱκεσίαις ποιήσατε.

Δόξα.

Σέβω καὶ τιμῶ, Τριάδα ἀμέριστον, προσώποις τρισὶ διαιρουμένην ἀεί, ἑνουμένην δέ, τῇ οὐσίᾳ καὶ φύσει ὡς μίαν ἀρχήν, τὸν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον, πάντων κραταιῶς δεσπόζουσαν, καὶ τὸ πᾶν συντηροῦσαν ὡς βούλεται.

Καὶ νῦν.

Ὄρη καὶ βουνοί, πεδία καὶ φάραγγες, Λαοὶ καὶ φυλαί, Ἔθνη καὶ πᾶσα πνοή, ἀλαλάξατε, εὐφροσύνης ἐνθέου πληρούμενα· ἦλθε πάντων ἐπεδήμησεν ἡ λύτρωσις, Λόγος τοῦ Θεοῦ ὁ ἄσαρκος, ἐκ Παρθένου δι' οἶκτον σαρκούμενος.

Κοντάκιον, Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Βασιλείαν ῥέουσαν, καταφρονήσας ἐμφρόνως, τὸν Χριστὸν ἐπόθησας· ὅλῃ ψυχῇ καὶ καρδίᾳ, πάντα τὰ τερπνὰ τοῦ βίου, μισήσας Μάκαρ· ὅθεν νῦν ἀπολαμβάνεις τοῦ ποθουμένου, βασιλείαν τὴν ἀμείνω, ἀντὶ προσκαίρου, σαφῶς κληρωσάμενος.

Ὁ Οἶκος.

Ἄγγελος σαρκοφόρος ἐπὶ γῆς ἀνεδείχθης, Παμμάκαρ Ἰωάσαφ, τῇ πράξει· βίον γὰρ ἐφάμιλλον Ἀγγέλοις διανύσας, πάντα τὰ τερπνὰ ὡς σκύβαλα ἡγήσω. Ὅθεν σοι ἐπάξιον τὸν ὕμνον μέλπων ἐκβοῶ σοι ταῦτα. Χαῖρε δι' οὗ ὁ Χριστὸς ἐκηρύχθη. Χαῖρε δι' οὗ ὁ Σατὰν κατηργήθη. Χαῖρε ἀσκητῶν κορωνὶς καὶ ἑδραίωμα. Χαῖρε τῶν Ἰνδῶν καλ-

www.tezaurliturgic.ro



λονὴ καὶ διάσωσμα. Χαῖρε ὁ καταλείψας τῆς σαρκὸς τὰ ἡδέα. Χαῖρε ὁ ἐκζητήσας τὸν πολύτιμον λίθον. Χαῖρε ὅτι ὡς ὄναρ ἐλογίσω τὸν βίον. Χαῖρε ὁ τὸν σὸν βίον διανείμας πεινῶσι. Χαῖρε δι' οὗ τὰ στίφη δραπετεύει δαιμόνων. Χαῖρε δι' οὗ τεμένη πέπτωκε τῶν εἰδώλων. Χαῖρε ὁ καταλείψας ῥέουσαν βασιλείαν. Χαῖρε ὁ τὴν ἀφθάρτως διαμένουσαν ὄντως, ἀντὶ προσκαίρου σαφῶς κληρωσάμενος.

Τῇ 26 τοῦ Αὐγούστου, ἑορτάζομεν τὴν μνήμην τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν Ἰωάσαφ καὶ Βαρλαάμ.

Ζήλῳ τὰ βασίλεια Παμβασιλέως.
Ὤκησεν υἱὸς γηΐνου βασιλέως.
Τὸν Βαρλαὰμ ἔγνωκε καὶ τὰ γῆς ἄκρα.
Ἄκρως ἐνασκήσαντα μέχρι γῆν ἔδυ.

Τῇ αὐτῇ ἡμέρᾳ κτλ. ὅρα εἰς τὸν Συναξαριστήν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Θευδᾶν τὸν γηράσαντα, δεινῇ κακίᾳ, καὶ τοῖς ἀλόγοις ποτέ, παρανόμως θυσίαν ἀποδιδόντα μεμωραμένῃ ψυχῇ, σοφοῖς σου λόγοις προσήγαγες ἄξιον, ἐξ ἀναξίου Χριστῷ τῷ ποιητῇ καὶ Θεῷ.

Πατέρα τὸν ἄχρηστον, Χριστῷ προσῆξας διὰ βαπτίσματος, καὶ γεννήτωρ ἐγένου θείᾳ προνοίᾳ τοῦ σοῦ γεννήτορος· ὅθεν ἐβόας Κυρίῳ γηθόμενος· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Πατέρων ὁ σύλλογος, καὶ τῶν Ἀγγέλων πάντα τὰ τάγματα, συνηθροίσθησαν Μάκαρ τῇ σῇ ἐξόδῳ, καὶ τῶν λοιπῶν οἱ χοροί, Ἁγίων πάντων Κυρίῳ κραυγάζοντες· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐλέους τὴν ἄβυσσον ἡ τετοκυῖα, τὸν ἀσυμπάθητον καὶ πανάσωτον σῶσον, ὡς συμπαθὴς ἐλεήμων καὶ εὔσπλαγχνος, καὶ λύτρωσαί με γεέννης τὸν δείλαιον, ὅπως ὑμνῶ σε ἀεὶ τὴν πολυύμνητον.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Ῥοαῖς τῶν σῶν δακρύων, ἐρήμου τὰς ἀνίκμους χώρας ἤρδευσας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, ἀρετὰς ἐκαρποφόρησας, καὶ ἐδέξω τῶν σῶν πόνων πολυπλάσιον, ἐν τοῖς οὐρανοῖς τὸν μισθὸν εἰς τοὺς αἰῶνας.

Ὡς ὄναρ ἐλογίσω, τῆς σαρκὸς τὰς ἡδονὰς ἀείμνηστε, καὶ διαδήματος φθαρτοῦ, τὴν ἀξίαν κατεφρόνησας. Διὸ ἀμαράντινόν σοι ἐδωρήσατο, ὁ τῶν πατέρων Θεὸς εἰς τοὺς αἰῶνας. Δόξα.

Τριάδα ἐν μονάδι, προσκυνοῦντες εὐσεβῶς δοξάσωμεν, τὰ τρία σέβοντες πιστῶς, ἀμερίστως διαιρούμενα, ἐν οἷς πάντες βαπτισθέντες ἀναμέλπομεν· Ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ. Καὶ νῦν.

Τὸ χαῖρέ σοι βοῶμεν, κυησάσῃ τὴν χαρὰν Πανάχραντε, καὶ τῆς ἀ-



ρᾶς πάντας ἡμᾶς, ῥυσαμένη μεσιτείᾳ σου. Ἀπειρόγαμε ἁγνὴ τοὺς ἀναμέλποντας· Ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ἐν μέσῳ διαιτώμενος, νεανίδων ἀήττητε, οὐκ ἐθέλχθης Μάκαρ, ὑπ' αὐτῶν τὸ σύνολον. Ἀλλ' ἔστης ἀκλόνητος, οἷα γενναῖος ἀγωνιστής, τῷ νικοποιῷ καὶ λυτρωτῇ σου κραυγάζων· Οἱ παῖδες εὐλογεῖτε.

Τίς ἐξειπεῖν δυνήσεται, τὰ φρικτά σου τεράστια, τὰ ἡρωϊκὰ καὶ καρτερὰ παλαίσματα, τὰ ἔνδοξα τρόπαια, δι' ὧν δαιμόνων πᾶσαν ὀφρύν, καταβεβληκώς, τῷ λυτρωτῇ ἀνεβόας· Οἱ παῖδες εὐλογεῖτε.

Ὁ προειδὼς τὰ μέλλοντα, καὶ καλῶν τὰ ἀνύπαρκτα, ὥσπερ ὄντα Πάτερ, οὗτος τὴν εὐγένειαν, ψυχῆς σῆς ἑώρακεν, ἐξαποστέλλων τὸν Βαρλαάμ, ὅστις τὴν βουλὴν αὐτοῦ προθύμως πληρώσας, ἀγρεύει σε πανσόφως, καὶ προσάγει τῷ Κτίστῃ, ὅνπερ συνανυμνεῖτε εἰς πάντας τοὺς αἰῶνας.

Νενεκρωμένον ζώωσον, τεθαμμένον ἐξέγειρον, καταβεβλημένον μου τὸν νοῦν ἀνάστησον, νεκροὺς ἡ ζωώσασα, τῷ ζωηφόρῳ τόκῳ σου, ὡς αὐτὸ ζωὴν ἐν ἀληθείᾳ τεκοῦσα, Μαρία Θεοτόκε, ὑπερευλογημένη, ὑπερδεδοξασμένη, καὶ Κεχαριτωμένη.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Ὁ ἐν μέσῳ τοῦ πυρὸς διαφυλάξας, τοὺς τρεῖς παῖδας ἀσινεῖς, αὐτός σε Νικητὴν ἀνέδειξε σφοδροτέρας λίαν φλογός, καὶ ἐν μέσῳ νεανίδων διαιτώμενος, οὐκ ἐθέλχθης τὸ παράπαν ἀδαμάντινε· ὅθεν τὰ βραβεῖα τῆς νίκης ἐκομίσω.

Πλοῦτον ῥέοντα τοῖς πένησιν ἀφθόνως, ἔνειμας Θεῷ δανείζων Πάτερ, ὅστις σὲ ἠμείψατο βασιλείαν ἐν οὐρανοῖς, καὶ μὴ ῥέοντά σοι πλοῦτον παρεχόμενος. Διὸ σὺν Ἀγγέλοις μέλπεις ἔνδοξε· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον. Δόξα.

Ζωὴν καὶ ζωὰς καὶ ἓν καὶ τρία φῶτα, τὴν Τριάδα πιστῶς ἀνυμνοῦμεν, πατρικαῖς ἑπόμενοι θείαις ὄντως ταῖς διδαχαῖς, τὸν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, μεθ' ὧν εὐσεβοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις. Καὶ νῦν.

Στάμνον σε τὸ μάννα κεκτημένην, τῆς Θεότητος ἔγνωμεν Κόρη, κιβωτὸν καὶ τράπεζαν, καὶ λυχνίαν θρόνον Θεοῦ, καὶ παλάτιον καὶ γέφυραν μετάγουσαν, πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας· Εὐλογείτω ἡ κτίσις.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Τὸν δρόμον ἐκτελέσας ἀσκητικῶς, τῆς σαρκὸς τὰ ἡδέα ἐμίσησας, ὡς παροικῶν, ἐν τῷδε βίῳ, καὶ παρεστώς, τῷ σῷ Δεσπότῃ μέγιστα,

www.tezaurliturgic.ro



τρόπαια λαμβάνεις ὡς νικητής, ὑπὲρ τῶν σὲ ὑμνούντων, ἀπαύστως ἱκετεύων, καὶ εὐμενίζων τὸν φιλάνθρωπον.

Μὴ παύσητε δεόμεθα ἐκτενῶς, τῷ Χριστῷ Ἰωάσαφ τρισόλβιε, σὺν Βαρλαάμ, τῷ καθηγητῇ σου ὑπὲρ ἡμῶν, πρεσβεύειν ὅπως τύχοιμεν, τῆς αἰωνιζούσης καὶ εὐκλεοῦς, ζωῆς τῆς τῶν μακάρων, ῥυθέντες τοῦ ἀσβέστου, πυρὸς καὶ πάσης ἄλλης θλίψεως.

Τοῖς πόθῳ ἐκτελοῦσι χαρμονικῶς, σοῦ τὴν μνήμην παμμάκαρ τὴν ἄφεσιν, παρὰ Θεοῦ, αἴτησαι πταισμάτων καὶ τῶν δεινῶν, καὶ δυσχερῶν ἀπάλλαξον, ὅπως εἰς λιμένα περιχαρῶς, σωτήριον ἐλθόντες, δοξάζωμεν ἀπαύστως τὸν ἐπαξίως σε δοξάσαντα.

Παράδοξον εἰργάσω πρᾶγμα σεμνή, τὸν σὸν πλάστην τεκοῦσα καὶ Κύριον. Πρᾶξον καὶ νῦν, ἕτερον τεράστιον, ἐν ἐμοί, καὶ ἀπογνόντα σῶσόν με, τὸν ἁμαρτωλότερον τῶν ἐθνῶν, καὶ σῶσον φιλανθρώπως, ὡς Μήτηρ φιλανθρώπου, φιλανθρωπίας τὸν ἀνάξιον.

Ἄλλος. Μυστήριον.

Δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον, ὃν Πάτερ ἐδόξασας πράξει θεοπρεπῆ, καὶ σοῦ τὴν μνήμην τελοῦμεν τὴν ἱεράν· ὅθεν πρέσβευε ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε ἐκ διαφόρων περιστάσεων.

Τῷ γράψαντι, Σοῦ τὴν θαυμάσιον ἄσκησιν, καὶ πανηγυρίζουσι Πάτερ χαρμονικῶς, Σοῦ τὴν μνήμην ἄφεσιν ταῖς σαῖς λιταῖς, ἐγκλημάτων αἴτησαι παρὰ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἀνυμνοῦντες μεγαλύνωμεν.

Δόξα Πατρί.

Ἑνίζεται Ὁμοουσίῳ θελήματι, ἡ Τριὰς μερίζεται πάλιν προσωπικῶς, ἀμερίστως συντηροῦσα τὸ κράτος ἀεί, ὁ Πατὴρ ὁ Υἱὸς καὶ Πνεῦμα τὸ ζῶν, ὁ εἷς τρισυπόστατος Θεός, ὃν μεγαλύνομεν.

Καὶ νῦν.

Διέσωσται πᾶσα ἡ κτίσις τῷ τόκῳ σου, καὶ ἀφεῖλε Κύριος θρῆνον καὶ ὀδυρμόν, καὶ πᾶν δάκρυον ἐκ παντὸς προσώπου ἁγνή, Θεοτόκε Παναμώμητε ἐν σοί, καὶ ἡμεῖς τὰς ὀφειλὰς ἀποπληρούμεθα.

Μεγαλυνάριον πρὸς τὴν Τιμιωτέραν.

Τὸν τῶν μοναζόντων ὑπογραμμόν, ἀσκητῶν τὸ κλέος, καὶ ἀνάκτων τὴν καλλονήν, στήλην σωφροσύνης, τὸν μέγαν Ἰωάσαφ, ἐν ὕμνοις καταχρέως ἀνευφημήσωμεν.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Οἱ ἐν ὀπαῖς καὶ σπηλαίοις, συναθροισθῶμεν ἐν τῷδε, τῷ ἱερῷ οἰκιδίῳ, τοῦ μάκαρος Ἰωάσαφ, ἵνα Χριστὸν τὸν Δεσπότην, ἐξιλεώσωμεν ὕμνοις.



Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχ. δ'.

Καὶ ψάλλομεν στιχηρὰ προσόμοια, εἰς Ἦχον, πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Ἄρας ἐπὶ τῶν ὤμων Σταυρόν, τὸν τοῦ Κυρίου ἠκολούθησας Ὅσιε, προθύμῳ τούτῳ καρδίᾳ, τὰς κοσμικὰς ἡδονάς, ὡς ἐχέφρων πάνυ βδελυξάμενος, σαυτόν τε Μακάριε, διὰ πόθον τὸν ἔνθεον, ὅλως ἠρνήσω, καὶ σαρκὸς ἡδυπάθειαν, βασιλείαν τε, κατεφρόνησας ῥέουσαν, ὅθεν ἔξω γενόμενος, σαρκὸς φθειρομένης τε, καὶ πάσης ἄλλης φροντίδος, τῷ Βαρλαὰμ κατεφοίτησας. Μεθ' οὗ τῷ Κυρίῳ, ἱκετεύειν μὴ ἐλλίπῃς ὑπὲρ τῆς ποίμνης σου.

Ἵνα καθυποτάξῃς σοφέ, σάρκα τῷ πνεύματι, ὡς χεῖρον τῷ κρείττονι, συντόνοις ἑαυτὸν πόνοις, ἀσκητικοῖς ἀκλινῶς, καὶ καμάτοις πλείστοις καὶ ἱδρῶσί τε, νηστείαις καὶ δάκρυσιν, Ἰωάσαφ τρισόλβιε, στάσει παννύχῳ, καὶ γονάτων προσκλίσεσι, σαυτὸν δέδωκας, καὶ πολλοῖς ἀγωνίσμασιν. Ὅθεν σου προσηκάμενος, ὁ βλέπων τὰ κρύφια, ἀντὶ φθαρτῆς ἁλουργίδος, καὶ τοῦ ῥευστοῦ διαδήματος, ἀνθέων ἀφθάρτων, καὶ ἀμαραντίνων στέφει σὲ κατεκόσμησε.

Τόνῳ διηνεκεῖ ἀρετῶν τῆς Θείας κλίμακος, βαθμίδας ὡς ἄριστος, διέβης Οὐρανοδρόμος, καὶ πρὸς τὸ ἄκρον αὐτῆς, ἀναβὰς κατεῖδες τὸν Δεσπότην σου, σοφῶς στηριζόμενον, ἐπ' αὐτὴν καὶ προτείνοντα, τὴν δεξιάν σοι, καὶ πλουσίως παρέχοντα, θείας χάριτας, κατ' ἀξίαν τῶν πόνων σου, Θείαν τε πρὸς κατάπαυσιν, καλοῦντά σε Ὅσιε, καὶ πρὸς ἀΰλους σκηνώσεις, ὅπου χαρὰ ἡ ἀνέκφραστος, τερπνότης Ἁγίων, μυστική τε εὐφροσύνη, καὶ ἀγαλλίασις.

Χαίροις τῶν Ἀσκητῶν ἡ κρηπίς, τῶν Ἀποστόλων καὶ Μαρτύρων ὁμότροπος. Ἡ στήλη τῆς σωφροσύνης, τῶν ἀρετῶν ὁ κανών. Ἐγκρατείας στάθμη καὶ ἀσκήσεως. Πηγὴ συμπαθείας, καὶ εὐσπλαγχνίας τὸ πέλαγος. Κρήνη θαυμάτων, ἀεννάως πηγάζουσα, τοῖς προστρέχουσι τὰς ἰάσεις Μακάριε. Χαίροις ὁ διαυγέστατος λαμπτὴρ καὶ φανώτατος, ὁ τὴν ἑῴαν φωτίσας, τοῖς σοῖς πανσόφοις διδάγμασι, Χριστὸν ἱκετεύων, μὴ ἐλλίπῃς Ἰωάσαφ ὑπὲρ τῶν δούλων σου.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσας, τὸν κόσμον κατέλιπες, τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος. Ὅθεν πᾶσιν ἐβόας· Ἀγαπήσατε τὸν Θεόν, καὶ εὑρήσετε χάριν αἰώνιον. Μηδὲν προτιμήσητε τῆς ἀγάπης αὐτοῦ, ἵνα ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, ἀπολαύσητε ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων. Ὧν ταῖς ἱκεσίαις Χριστέ, φύλαξον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Καὶ νῦν. Μακαρίζομέν σε Θεοτόκε Παρθένε. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικά. Καὶ ἐκ τῶν κανόνων τοῦ Ὁσίου.

Ὠδὴ γ'. καὶ ς'. Ὁ Ἀπόστολος πρὸς Γαλάτας, Ἀδελφοί, ὁ καρπὸς τοῦ πνεύματός ἐστι. Τὸ δὲ Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον. Εἶπεν ὁ Κύριος, ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν

# ΕΛΕΓΧΟΣ ΤΗΣ ΝΥΝ ΚΑΚΟΔΟΞΙΑΣ

«Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Οὐ γάρ ἐστι προσωληψία παρὰ τῷ Θεῷ». (Ῥωμ. ά. 10, 11).

Σκοπός ἐστι τῷ Ἀποστόλῳ δεῖξαι ἐν τοῖς ἑξῆς, μηδὲν ὠφελοῦσαν τὴν περιτομήν, μηδὲ τὴν ἀκροβυστίαν βλάπτουσαν, καὶ εἰσαγαγεῖν λοιπὸν τὴν πίστιν δικαιοῦσαν τὸν ἄνθρωπον· τοῦτο γοῦν ἔχων σκοπόν, προδιασαλεύει νῦν τὰ τῶν Ἰουδαίων. Καὶ ὅρα σοφίαν· διηγεῖται τὰ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας, καὶ ὅτι ὁ κόσμος πεπλήρωτο πονηρίας, καὶ ὅτι κολάσει ἦσαν ὑπόδικοι, ὁ Ἰουδαῖος πρῶτον, καὶ ὁ Ἕλλην. Λαβὼν δὲ ὡμολογημένον, ὅτι κολασθήσεται ὁ Ἕλλην ἐπὶ τοῖς κακοῖς, ἀπ' αὐτοῦ κατασκευάζει, ὅτι καὶ ἐπὶ τοῖς ἀγαθοῖς τιμηθήσεται. Εἰ δὲ ἀπὸ τῶν ἔργων ἡ τιμὴ καὶ ἡ ἀτιμία ἔπεισι, περιττὸς λοιπὸν ὁ νόμος καὶ ἡ περιτομή· καὶ οὐ μόνον περιττός, ἀλλὰ καὶ πλείονος κολάσεως τῷ Ἰουδαίῳ πρόξενος. Εἰ γὰρ ὁ Ἕλλην διὰ τὸ μὴ ὑπὸ τῆς κτίσεως καὶ τοῦ φυσικοῦ νόμου παιδευθῆναι, κατακρίνεται· πολλῷ μᾶλλον ὁ Ἰουδαῖος, μετὰ τούτων καὶ τὴν ἀπὸ τοῦ νόμου παιδαγωγίαν λαβών. Ἐπεὶ γοῦν ἔμαθες τὸν σκοπόν, παρακολούθει λοιπὸν καὶ τῇ λέξει. Ἕλληνας ἐνταῦθα λέγει, οὐ τοὺς εἰδωλολάτρας, ἀλλὰ τοὺς θεοσεβοῦντας καὶ τοὺς τῷ φυσικῷ πειθομένους νόμῳ, καὶ εὐσεβοῦντας χωρὶς νόμου· οἷος ὁ Μελχισεδέχ, Ἰώβ, καὶ λοιποί· οἷος καὶ ὁ Κορνήλιος ὕστερον· ὡσαύτως καὶ Ἰουδαίους, τοὺς πρὸ τῆς Χριστοῦ παρουσίας. Σπουδάζων γὰρ δεῖξαι, ὅτι ἡ περιτομὴ οὐδὲν ἰσχύει, ἀνατρέχει εἰς τοὺς ἄνω χρόνους, καὶ δείκνυσιν, ὅτι οὐδὲν ἦν τὸ διάφορον Ἕλληνος θεοσεβοῦντος, καὶ ἀγαθοεργοῦντος Ἰουδαίου. Εἰ δὲ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας, ὅτε μᾶλλον ἤνθει τὰ Ἰουδαϊκά, οὐδὲν ἦν πλεῖον τῷ Ἰουδαίῳ, πολλῷ μᾶλλον ὅτε ὁ νόμος ἤργησε. Ταῦτα δὲ βούλεται, ἵνα καταβάλλῃ τὸν τῦφον τῶν Ἰουδαίων, μὴ δεχομένων τοὺς ἐξ ἐθνῶν. (Ἑρμ. Θεοφ. β'.)

# ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

## ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΣΥΓΚΛΗΤΙΚΗΣ

ΣΥΓΓΡΑΦΕΙΣ

ΠΑΡΑ ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΘΑΝΑΣΙΟΥ

Ἔδει πάντας ἀνθρώπους τῶν καλῶν μὴ ἀμυήτους ὑπάρχειν· οὕτω γὰρ ἂν ἐγγεγυμνασμένοι τοῖς πράγμασι εἰ εἶεν, τὸ ἀζήμιον εἶχον ἐν βίῳ· «καὶ γοῦν τοὺς ἀκεραιοτέρους τὰ πολλὰ τῶν χρησίμων διέλαθε. Τοῦτο δὲ πεπόνθασιν, ἐκ τοῦ τὴν διάνοιαν αὐτοῖς ἀμβλυτέραν καθεστάναι ὑπὸ τῆς ἀμελείας. Πολλάκις γοῦν καὶ μαργαρῖται πολύτιμοι, εἰς πένητας καὶ εὐτελεῖς περιῆλθον ἄνδρας· οἱ δὲ ἀδοκίμαστον τὴν περὶ τούτων τέχνην ἔχοντες, ὡς μικρῶν τινῶν καὶ οὐδαμινῶν κατεφρόνησαν. Ἡμεῖς γοῦν, νηπίαν καὶ ἀγύμναστον καὶ ἀνάσκητον ψυχὴν ἔχοντες, τῷ παρόντι ἐντυγάχοντες μαργαρίτῃ, ὡς οὐδὲν μέγα τοῦτον θεωροῦμεν, τῷ σχήματι μόνον ἐνατενίζοντες, τῆς δὲ φύσεως αὐτοῦ, ὅσον πρὸς γνῶσιν, μακρὰν τυγχάνοντες· ὡς δὲ κατ' ὀλίγον ἐκ τῶν ἐγγὺς ἐδιδασκόμεθα τὸ κάλλος αὐτοῦ, θεῖος ἔρως καὶ ἡμῖν ἐνεγεννᾶτο πρὸς τὸ ὀφθέν· καὶ γὰρ αὐτὰ τὰ πράγματα ἐζωπύρει ἡμῶν πρὸς τὸν πόθον τὴν διάνοιαν. Τί δὲ λέγω τοὺς παρόντας, ἢ καὶ ἑαυτὸν συγκαταριθμῶ τούτοις, ὥς τι εἰδότων ἡμῶν καὶ λεγόντων περὶ τῆς ἀοιδίμου Συγκλητικῆς; Οἶμαι γὰρ πᾶσαν ἀνθρώπων φύσιν λείπεσθαι πρὸς διήγησιν τῶν ἐκείνης ἀγαθῶν πράξεων. Εἰ δὲ καί τις ἐπιχειρήσειεν τοῦ λέγειν περὶ αὐτῆς, πολὺ μὲν καὶ ἄπειρον ἀπολειφθήσεται τῶν ζητουμένων, κἂν σοφὸς καὶ ἐπιστήμων τυγχάνῃ. Ὥσπερ γὰρ οἱ τῷ ἡλίῳ ἐπὶ πλέον ἐνατενίζειν βουλόμενοι, τὰς ὄψεις βλάπτονται· οὕτω καὶ οἱ κατοπρίζεσθαι τῷ βίῳ ταύτης πειρώμενοι, ὑπὸ τοῦ μεγέθους τῶν κατορθωμάτων ἰλιγγιάσαντες, ὑπενδόντες, ἢ καὶ ἀτονήσαντες, σύγχυσιν ὑφίστανται τῆς διανοίας. Ἡμεῖς δὲ κατὰ τὴν οἰκείαν δύναμιν ἰχνηλατοῦντες τὰ κατ' αὐτήν, καὶ ἐκ τῶν συνηλίκων δὲ αὐτῆς τὰ κατὰ τὸν πρῶτον βίον ἀκροθιγῶς ἀκούσαντες, καὶ ἐξ αὐτῶν δὲ τῶν

www.tezaurliturgic.ro



πραγμάτων ἐκ μέρους ἀμυδρῶς καταυγασθέντες, ἐπὶ τὸ γράφειν ἥκομεν ἑαυτοῖς τροφὰς σωτηριώδεις ἀποθησαυρίζοντες· τὸ γὰρ κατ᾽ ἀξίαν αὐτῆς λέγειν, οὐ μόνον ἡμῖν ἀδύνατον, ἀλλὰ καὶ τοῖς πολλοῖς δυσκατόρθωτον.

Ἡ τῆς ἐπουρανίου συγκλήτου ἐπώνυμος, χώρας τῆς Μακεδονίας τυγχάνει. Ἀκηκοότων γὰρ τῶν προγόνων αὐτῆς τὸ φιλόθεον καὶ φιλόχριστον τῶν Ἀλεξανδρέων, κατέλαβον ἐκ Μακεδονίας τὴν τοῦ Μακεδόνος πόλιν. Ἐπιβάντων δὲ αὐτῶν τῇ χώρᾳ, καὶ μείζω εὑρόντων τῆς φήμης τὰ πράγματα, φιλοφρόνως ᾤκουν αὐτήν· οὐ πλήθει δὲ δήμων συνέχαιρον, οὔτε μὴν οἰκημάτων ἐθαύμαζον μέγεθος· πίστιν δὲ μονότροπον εὑρόντες σὺν εἰλικρινεῖ ἀγάπῃ, δευτέραν ἔθεντο τὴν οἰκείαν πατρίδα τῆς μετοικίας. Ἦν δὲ καὶ τῷ γένει περίβλεπτος ἡ μακαρία Συγκλητική, καὶ τοῖς ἄλλοις δὲ τερπνοῖς τοῖς κατὰ τὸν βίον νομιζομένοις ἐκοσμεῖτο. Παρῆν δὲ αὐτῇ καὶ ἀδελφὴ ὁμόφρων ἅμα, καὶ ἀδελφοὶ δύο, συμνοτάτῳ καὶ αὐτοὶ ἀναχθέντες βίῳ· ὧν ὁ μὲν εἷς, ἐν τῇ παιδικῇ ἡλικίᾳ τυγχάνων ἀπεγένετο· ὁ δὲ ἕτερος, ἐπιβὰς πέμπτῳ καὶ εἰκοστῷ ἔτει, παρὰ τῶν γονέων εἰς γάμον παρεκαλεῖτο· καὶ πάντων πρὸς τὸ ζητούμενον εὐτρεπισθέντων, καὶ τῶν ἐξ ἔθους συμβολικῶς ἐκτελουμένων, ἀπέπτη ὁ νέος ὥσπερ ὄρνεον ἐκ βρόχων, ἀνταλλαγὴν ποιησάμενος τῆς ἐπιγείου νύμφης, τὴν ἄμωμον καὶ ἐλευθέραν τῶν ἁγίων συνόδον. Αὕτη δὲ ἔτι ἐν ταῖς πατρῴαις ἀγκάλαις τυγχάνουσα, φιλοθείᾳ μὲν τὰ πρῶτα τὴν ψυχὴν ἠσκεῖτο· καὶ οὐχ οὕτω τὰς τοῦ σώματος ἐπιμελείας ἐποιεῖτο, ὡς τὰς τῆς φύσεως ὁρμὰς ἐπετήρει. Ἦν γὰρ καθαρὰ καὶ τὸ σῶμα περικαλλεστάτη, ὡς καὶ πολλοὺς αὐτῇ μνηστῆρας προσιέναι κατὰ τὴν πρώτην ἡλικίαν· τοῦτο μὲν ὑπὸ τῆς περιουσίας δελεαζομένους, τοῦτο δὲ ὑπὸ τῆς τῶν γονέων κοσμιότητος σεμνυνομένους, καὶ πρὸς ἐπὶ τούτοις ὑπ᾽ αὐτοῦ τῆς κόρης τοῦ κάλλους ἐξαπτομένους. Καὶ γοῦν οἱ γονεῖς ἀσμένως προὔτρεπον τὴν νέαν εἰς γάμον, αὐτὸ τοῦτο ἐπείγοντες, ὡς ἐξ αὐτῆς τὴν τοῦ γένους διαδοχὴν αὐτοῖς φυλαχθῆναι. Ἡ δὲ σώφρων καὶ γενναία τῷ φρονήματι, οὐδόλως συνετίθετο ταῖς τοιαύταις τῶν γονέων συμβουλίαις· ἀλλὰ μᾶλλον ἀκούουσα γάμον κοσμικόν, βίον θεῖον ἐφαντάζετο· καὶ πολλοὺς μνηστῆρας παρορῶσα, εἰς μόνον τὸν οὐράνιον νυμφίον εἶχε τὸ νεῦμα.

Καὶ ἦν ἰδεῖν τῆς μακαρίας Θέκλης γνησίαν μαθήτριαν, τοῖς αὐτοῖς αὐτὴν ἑπομένην διδάγμασι· καὶ γὰρ τῶν δύο, εἷς μνηστὴρ ἦν ὁ Χριστός, καὶ ὁ αὐτὸς ἦν τῶν ἀμφοτέρων νυμφαγωγὸς Παῦλος. Οἶμαι δὲ καὶ τὸν θάλαμον αὐταῖς μὴ ἐναλλάττειν· εἷς γὰρ αὐταῖς παστὸς ἡ



Ἐκκλησία· καὶ ὁ αὐτὸς Δαβὶδ μελῳδεῖ ἐπ᾽ ἀμφοτέρων τὰ σεμνὰ καὶ θεῖα ᾄσματα· καὶ γὰρ ἐν κυμβάλοις εὐήχοις τέρπει τὰς τῷ Θεῷ ἀνατιθεμένας ψυχάς, καὶ ἐν τυμπάνοις καὶ ἐν δεκαχόρδοις ψαλτηρίοις τὴν τελειοτάτην ᾠδὴν ἀναπέμπει· Μαριὰμ δὲ τοῖς ἱεροῖς τούτοις γάμοις τὰς χορευτρίας εἰσάγει λέγουσα· ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. Καὶ τὰ ὄψα δὲ τοῦ θείου δείπνου κοινὰ τοῖς ἑστιωμένοις. «Γεύσασθε γάρ, φησί, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος» (Ψαλμ. λγ΄. 9). Καὶ ἡ τῶν νυμφικῶν δὲ αὐταῖς περιβλημάτων μία τις ὑφή· «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο» (Γαλ. γ΄. 27). Ὁμότροπος μὲν οὖν ἦν αὐταῖς, ἡ εἰς τὸν Κύριον ἀγάπη, τῶν γὰρ αὐτῶν ἠξιοῦντο δωρεῶν· ἀλλὰ καὶ τοῖς ἀγῶσιν ἡμιλλῶντο. Τὰ μὲν οὖν τῆς μακαρίας Θέκλης οὐδενὶ ἠγνόειται μαρτύρια, ὡς διὰ πυρὸς καὶ θηρίων ἀτιθάσσων αὐτὴν ἐνηθληκέναι· καὶ ταύτης δὲ τοὺς ἐναρέτους πόνους τε καὶ ἱδρῶτας, οἶμαι τοὺς πολλοὺς μὴ λανθάνειν· εἰ γὰρ εἷς Σωτὴρ ἦν αὐταῖς ὁ ποθούμενος, ἀναγκαίως καὶ εἷς αὐταῖς ὁ ἀντιταττόμενος διάβολος. Καὶ ἐπὶ μὲν τῆς Θέκλης, μετριωτέρους ὑπολαμβάνω τοὺς πόνους· καθήρητο γὰρ ἡ τοῦ ἐχθροῦ κακία, διὰ τῶν ἐκτὸς αὐτῇ προσομιλοῦντος· ἐνταῦθα δὲ δριμυτέραν ἑαυτοῦ τὴν κακίαν ἐπιδείκνυται, ἐκ τῶν ἔνδον διὰ τῶν ὀλεθρίων αὐτοῦ λογισμῶν κινούμενος.

Οὐκ ἐγοήτευσεν αὐτῆς τὸ ὄμμα ποικίλης ἐσθῆτος ὑφή, οὐδὲ λίθων πολυτίμων διάφορα χρώματα· οὐκ ἠπάτησεν αὐτῆς τὴν ἀκοὴν κύμβαλον, οὐδ᾽ αὐλὸς διαλῦσαι δεδύνηται τὸν τῆς ψυχῆς τόνον· οὐκ ἐμάλαξεν αὐτὴν γονέων δάκρυα, οὐδὲ ἑτέρα τις συγγενῶν παραίνεσις· ἀλλ᾽ ὥσπερ ἀδάμαντα τὸν λογισμὸν ἔχουσα, οὐ παρετράπη τὸν νοῦν· καὶ ὥσπερ θυρίδας τὰς αἰσθήσεις ἀποκλείουσα αὐτῆς τῷ ἑαυτῆς νυμφίῳ καταμόνας προσωμίλει, τὸ γραφικὸν ἐκεῖνο λέγουσα· «ὡς ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ὁ ἀδελφιδός μου ἐμοί». Καὶ εἰ μὲν καπνώδεις καὶ σκοτειναὶ ὁμιλίαι παρῆσαν, ταύτας ἀπέφευγε, τοῖς ἔνδον ταμιείοις τῆς ψυχῆς ἑαυτὴν συνάγουσα· ὅπου δὲ φωτειναὶ καὶ ἐπωφελεῖς παραινέσεις ἐτύγχανον, πᾶσαν ἑαυτῆς τὴν διάνοιαν ἐτάνυε πρὸς ὑποδοχὴν τῶν λεγομένων. Οὐκ ἠμέλει δὲ καὶ τοῦ κατὰ τὸ σῶμα σωτηρίου φαρμάκου· τήν τε γὰρ νηστείαν οὕτως εἶχε φίλην, ὡς μηδὲν αὐτῇ τῶν παρόντων ἴσον τυγχάνειν· φυλακὴν γὰρ καὶ θεμέλιον ταύτην ἡγεῖτο τῶν ἄλλων. Καὶ εἴποτε ἀνάγκης γενομένης παρὰ τὸν συνήθη καιρὸν ἐτράφη, τὸ ἐναντίον ὑφίστατο τοῖς ἐσθίουσιν, καὶ ἠλλιοῦτο· ὠχρία γὰρ αὐτῆς τὸ πρόσωπον, καὶ συνέπιπτεν ὁ τοῦ σώματος ὄγκος· τοῦ γὰρ κινοῦντος ἀηδισθέντος, συναλλοιοῦται καὶ τὸ κινούμενον. Ὅπως γὰρ ἂν ἡ ἀρχὴ διατεθῇ, ὡς ἐπίπαν, ἀκολουθεῖ ταύτῃ καὶ τὰ ἐκ ταύ-

www.tezaurliturgic.ro



της ἠρτημένα. Οἷς μὲν γὰρ καθ' ἡδονὴν ἡ τροφὴ προσφέρεται, εὐθαλὴς ὁ τοῦ σώματος ὄγκος ἐστιν· οἷς δὲ τὸ ἐναντίον συμβαίνει, ἄτροφος καὶ λεπτὴ ἡ σὰρξ τυγχάνει· μαρτυροῦσι δέ μου τῷ λόγῳ οἱ ἄρρωστοι. Ἡ γοῦν μακαρία αὕτη, νοσηλεύειν πειρωμένη τὸ σῶμα, τῇ ψυχῇ τὸ εὐανθὲς ἔφερε· κατὰ γὰρ τὸν Ἀπόστολον λέγοντα ἔπραττεν· «ὅσῳ γάρ, φησίν, ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἔνδον ἀνακαινίζεται» (Β΄. Κορινθ. δ΄. 16)· οὕτω μὲν οὖν ἐνήθλει λανθάνουσα τοὺς πολλούς.

Ὅτε δὲ οἱ γονεῖς αὐτῆς τέλος ἔσχον τοῦ βίου, ἐπιπλεῖον θεοφορηθεῖσα τῷ πνεύματι, λαμβάνει καὶ τὴν ἀδελφὴν μεθ' ἑαυτῆς· ἦν γὰρ στερηθεῖσα τῶν ὄψεων· καὶ τοῦ μὲν πατρῴου οἴκου χωρίζεται, εἰς δὲ τινος συγγενοῦς αὐτῆς ἡρωεῖον ἀπῳκισμένον τῆς πόλεως κατάγεται· καὶ διαπωλήσασα πᾶσαν τὴν ὑπολειφθεῖσαν αὐτῇ οὐσίαν, καὶ διανείμασα τοῖς πένησι, προσκαλεσαμένη τινὰ τῶν πρεσβυτέρων, ἀπέτεμεν ἑαυτῆς τοὺς πλοκάμους. Τότε τὴν πᾶσαν κόσμησιν ἀπέθετο· ἔθος γὰρ ταῖς γυναιξὶ κόσμον καλεῖν τὴν τρίχα. Σύμβολον δὲ ἦν τὸ γενόμενον, τοῦ ἀπέριττον καὶ καθαρὰν αὐτῆς τὴν ψυχὴν γεγενῆσθαι· τότε μὲν οὖν πρῶτον ἠξιώθη τῆς παρθενικῆς τὸ σπανιώτατον προσηγορίας.

Πᾶσαν δὲ τὴν οὐσίαν αὐτῆς τοῖς πτωχοῖς διανείμασα, ἔλεγεν· μεγάλου μὲν ἠξίωμαι ὀνόματος· τί δὲ ἀνταποδῶ ἐπάξιον τῷ δωρησαμένῳ, οὐκ ἔχω. Εἰ γὰρ ἐπὶ τῶν ἐκτὸς πραγμάτων ἕνεκεν ἀξιώματος φθαρτοῦ, πᾶσαν ἑαυτῶν τὴν οὐσίαν ἀποβάλλουσι, πόσῳ μᾶλλον ἐμέ, τοσαύτης ἀξιωθεῖσαν χάριτος, οὐκ ἄρα ἔδει μετὰ τῶν νομιζομένων ὑπαρχόντων προδοῦναι καὶ τὸ σῶμα; Τί δὲ λέγω κτήματα ἢ σῶμα δοῦναι, πάντων αὐτοῦ ὑπαρχόντων; «Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.» Διὰ τούτων μὲν οὖν τῶν λόγων τὴν ταπεινοφροσύνην ἐγκομβωσαμένη, ἡσύχαζεν. Ἦν μὲν οὖν καὶ ἐν ταῖς πατρικαῖς αὐλαῖς ἱκανῶς προγυμνασθεῖσα τοῖς πόνοις· καὶ ἐν αὐτῇ δὲ τῇ ἀκμῇ τοῦ σταδίου ἀχθεῖσα, προέκοπτε ταῖς ἀρεταῖς. Ὅσοι μὲν οὖν ἀγυμνάστως καὶ ἀσκέπτως προσῆλθον τῷ θείῳ τούτῳ μυστηρίῳ, ἀπέτυχον τοῦ ζητουμένου, μὴ προθεωρήσαντες τὰ καθ' ἕκαστον· ὥσπερ δὲ οἱ ὁδοιπορεῖν μέλλοντες τῶν ἐφοδίων πρῶτον φροντίζουσιν, οὕτω καὶ αὕτη, ὥσπερ ἐφοδίοις ἑαυτὴν τοῖς πάλαι πόνοις ἐνευτρεπίσασα, ἀδεῶς τὴν ἐπὶ τὰ ἄνω πορείαν ἐποιεῖτο. Τὰ γὰρ εἰς τὸν ἀπαρτισμὸν τῆς οἰκίας προαποθεμένη, ὀχυρώτατον τὸν ἑαυτῆς ἐξετέλει πύργον. Καὶ τὸ μὲν καθ' ἱστορίαν τῶν οἰκημάτων ποίημα, ἐκ τῶν ἔξωθεν ὑλῶν κατασκευάζεται· αὕτη δὲ τὸ ἐναντίον πεποίηκεν· οὐ γὰρ τὰς ἔξωθεν ὕλας συνήγαγεν, ἀλλὰ μᾶλλον τὰς ἔνδον ἐκένωσεν. Τὰ γὰρ χρή-



ματα ἑαυτῆς διαδοῦσα τοῖς πένησιν, καὶ καταλιποῦσα ὀργὴν καὶ μνησικακίαν, ἀπωσαμένη δὲ καὶ φθόνον καὶ φιλοδοξίαν, ᾠκοδόμησε τὴν οἰκίαν ἑαυτῆς ἐπὶ τὴν πέτραν, ἧς περιφανὴς ὁ πύργος καὶ ἀχείμαστος ἡ οἰκία. Καὶ τί πολλὰ λέγω; ὑπερέβαινε γὰρ διὰ τῶν ἀρχῶν, καὶ τὰς ἐν ἕξει τοῦ μονήρους βίου τυγχανούσας. Ὥσπερ γὰρ τὰ εὐφυέστατα τῶν παιδίων ἔτι ἐν ταῖς συλλαβαῖς ὄντα, ἁμιλλᾶται τοῖς ἐν ἡλικίᾳ καὶ πλείω χρόνον ἔχουσι παρὰ τοῖς διδασκάλοις· οὕτω καὶ αὕτη, ζέουσα τῷ πνεύματι, παρέτρεχε τὰς λοιπάς.

Τὸν μέν, οὖν ἔμπρακτον αὐτῆς καὶ ἀσκητικὸν βίον λέγειν ἀδυνατοῦμεν, ἐπείπερ οὐδὲ συνεχώρει τινὰ τούτου θεατὴν γενέσθαι· οὐδὲ γὰρ κήρυκας τῶν αὐτῆς ἀνδραγαθημάτων ἤθελεν εἶναι τοὺς παρόντας. Οὐχ οὕτω γὰρ τὸ εὖ πράττειν ἐφρόντιζεν, ὅσον τῆς τούτου φυλακῆς τε καὶ κρυβῆς. Τοῦτο δὲ ἐποίει, οὐ φθόνῳ συνεχομένη, ἀλλὰ θείᾳ χάριτι συγκροτουμένη. Τὸ γὰρ κυριακὸν ἐκεῖνο κατὰ νοῦν ἔφερε ῥῆμα, τὸ λέγον, «ὡς εἴτι ἐὰν ποιῇ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου·» οὕτω μὲν οὖν λανθάνουσα ἐξετέλει τὰ πρέποντα τῷ ἐπαγγέλματι. Ἀπὸ δὲ τῆς πρώτης ἡλικίας καὶ ἕως τῆς ἀκμαστικῆς, οὐ μόνον παντὸς ἀνδρὸς συντυχίαν ἀπέφευγεν, ἀλλὰ καὶ τὰς ὁμοφίλους τὰ πολλὰ παρητεῖτο, δύο τούτων ἕνεκα· ἢ τοῦ μὴ δοξασθῆναι τῇ ὑπερβολῇ τῆς ἀσκήσεως· ἢ τοῦ μὴ ὑποσυρῆναι τῆς ἀρετῆς διὰ τὴν σωματικὴν χρείαν. Οὕτω μὲν οὖν τὰς πρώτας τῆς ψυχῆς ἐπιβολὰς παρετήρει, μὴ συγχωροῦσα αὐταῖς συγκαθέλκεσθαι ταῖς σωματικαῖς ἐπιθυμίαις· ὥσπερ δὲ δένδρον καθυλομανοῦν, περιετέμνετο τῶν ἀκάρπων κλάδων τὰ βλαστήματα· τὰς μὲν γὰρ ἀκανθώδεις τῆς διανοίας ἐκφύσεις εὐφυῶς ἀφῃρεῖτο, διά τε τῆς νηστείας καὶ τῆς προσευχῆς· καὶ εἰ βραχύ τι ἕκαστον τούτων προέκυπτε, ποικίλας αὐτοῖς τὰς τιμωρίας προσέφερε, διὰ παντοδαπῶν πόνων τὸ σῶμα κακουχοῦσα.

Οὐ μόνον γὰρ τῇ τοῦ ἄρτου λιμαγχονίᾳ ἠρκεῖτο, ἀλλά γε καὶ τῇ τοῦ ὕδατος ὀλιγοδείᾳ. Ὁπηνίκα μὲν οὖν πόλεμος τοῦ ἐχθροῦ πρὸς αὐτὴν συνεκροτεῖτο, προηγουμένως μὲν τὸν ἑαυτῆς Δεσπότην δι' εὐχῆς ἐκάλει πρὸς συμμαχίαν· οὐ γὰρ ἠρκεῖτο τὴν ὁρμὴν τοῦ λέοντος σβέσαι ψιλῇ ἀσκήσει. Καὶ πάραυτα μὲν τῆς ἱκεσίας παρῆν ὁ Κύριος, καὶ ἀπεδίδρασκεν ὁ πολέμιος· πολλάκις δὲ καὶ ἐχρόνιζε πρὸς τὴν μάχην ὁ ἐχθρός, καὶ ὁ Κύριος οὐκ ἠμύνετο τὸν παλαμναῖον, αὐτῷ τούτῳ τῆς ἐναρέτου ψυχῆς ἐπαύξων τὴν γυμνασίαν· αὕτη οὖν ὡς ἐν ὑπερθέσει τῶν δώρων ἐπιπλέον ἐκρατύνετο πρὸς τὴν κατὰ τοῦ ἐχθροῦ νίκην. Οὐ μόνον γὰρ ἠρκεῖτο ταῖς ὀλιγοδείαις τῶν τροφῶν ἑαυτὴν νεκροῦσα, ἀλλά γε καὶ τῶν καθ' ἡδονὴν διαιτημάτων ἐπειρᾶτο εἴργειν ἑαυτήν.

www.tezaurliturgic.ro



Ἄρτον μὲν γὰρ πιτυρίαν ἤσθιεν· ὕδωρ δὲ πολλάκις οὐδ' ὅλως ἐλάμβανε· καὶ ἐχαμεύνει δὲ ἕως τινός. Ἕως μὲν οὖν συνεκροτεῖτο ὁ πόλεμος, τοιούτοις ὅπλοις ἐκέχρητο· εὐχὴν ἀντὶ ὅπλου καὶ θυρεοῦ ἐνδυομένη· ἡ δὲ περικεφαλαία αὐτῆς ἦν ἐκ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης συγκραθεῖσα. Ἡ γὰρ πίστις προηγεῖτο πάντων, ὅλους αὐτῆς τοὺς ἁρμοὺς τῆς ψυχῆς συσφίγγουσα. Παρῆν δὲ καὶ ἡ ἐλεημοσύνη εἰ καὶ μὴ ἡ κατ' ἐνέργειαν, ἀλλ' οὖν γε ἡ κατὰ πρόθεσιν. Διὰ τούτων οὖν ἥτταν ὑπομένοντος τοῦ ἐχθροῦ, καὶ αὐτὴ ἑαυτὴν ἐπεκούφιζε τῆς δριμυτάτης ἀσκήσεως. Τοῦτο δὲ ἐποίει πρὸς τὸ μὴ ἀθρόῳ διαλυθῆναι τὰ τοῦ τοῦ σώματος μέλη· ἥττης γὰρ ἦν τοῦτο τεκμήριον. Τῶν γὰρ ὅπλων συμπεσόντων, ποία ἐλπὶς ἐστὶ τῷ στρατιώτῃ εἰς πόλεμον; Τινὲς γοῦν ἀμέτρως καὶ ἀνεξετάστως τῇ ἀσιτίᾳ ἑαυτοὺς καταδαπανήσαντες, καιρίαν ἑαυτοῖς τὴν πληγὴν ἐπήγαγον· ὥσπερ δὲ ἐν παραιτήσει τοῦ ἀντιπάλου γενόμενοι, ἑαυτοὺς κατέφθειραν. Αὕτη δὲ οὐχ οὕτως ἔπραττεν, ἀλλὰ πάντα μετὰ διακρίσεως ἐποίει· καὶ τῷ μὲν ἐχθρῷ σφοδρῶς διά τε τῶν εὐχῶν καὶ τῆς ἀσκήσεως ἀπεμάχετο· πρὸς δὲ τὴν γαλήνην τῆς οἰκείας νηός, ἐπεμελεῖτο τοῦ σώματος. Καὶ γὰρ οἱ ναυτιλλόμενοι, χειμῶνος καὶ κλύδωνος καταλαβόντος, ἄσιτοι διαμένουσι, πᾶσαν τὴν ἑαυτῶν τέχνην τῷ πρὸ ὀφθαλμῶν κινδύνῳ ἀντιτιθέντες· ὁπηνίκα δὲ τύχωσι τοῦ ζῆν, τότε τῆς δευτέρας σωτηρίας ποιοῦνται τὴν φροντίδα· καὶ οὐχ ἅπας αὐτοῖς ὁ χρόνος πρὸς τὸν σάλον τῆς θαλάσσης καταναλίσκεται· ὥσπερ δὲ ἀνάπαυλαν δέχονται τῶν πόνων τὴν βραχυτάτην γαλήνην· καὶ οὐδ' οὕτως ἀμερίμνως διάγουσιν, οὔτε μὴν ὕπνῳ βαθεῖ καθέλκονται, πεῖραν ἐσχηκότες τῶν παρελθόντων, καὶ ἔννοιαν λαμβάνοντες τὸν μελλόντων. Εἰ γὰρ καὶ ὁ χειμὼν ἐκόπασεν, ἀλλ' ἡ θάλασσα οὐ μεμείωται· καὶ εἰ παρῆλθεν τὸ δεύτερον, ἀλλ' ὅμως τὸ πρῶτον μένει· καὶ εἰ τὸ γενόμενον κεχώρισται, ἀλλὰ τὸ ποιοῦν πάρεστιν. Οὕτως οὖν καὶ ἐπὶ τοῦ παρόντος, εἰ καὶ τὸ πνεῦμα τῆς ἐπιθυμίας ἀπήλασται, ἀλλ' ὅμως ὁ ἐξουσιάζων τούτου οὐ μακρὰν τυγχάνει· ὅθεν ἀδιαλείπτως προσεύχεσθαι δεῖ, διὰ τὸ ἀβέβαιον τῆς θαλάσσης, καὶ τὴν ἁλμυρὰν τοῦ ἐχθροῦ κακίαν. Ἡ οὖν μακαρία, ἀκριβῶς εἰδυῖα τὸ παρὸν ἐν τῷ βίῳ κλυδώνιον, καὶ προβλέπουσα τὰς τῶν πνευμάτων ζάλας, ἐπιμελῶς ἦν οἰακίζουσα τὸ ἴδιον σκάφος τῇ εἰς θεὸν εὐσεβείᾳ· καὶ γὰρ ἀχείμαστον αὐτὸ τῷ σωτηρίῳ λιμένι προσώρμιζεν, ἄγκυραν ἀσφαλεστάτην τὴν εἰς τὸν Ἰησοῦν πίστιν θεμένη.

Ἀποστολικὸς μὲν οὖν αὐτῆς ὁ βίος ἦν, διὰ πίστεως καὶ ἀκτημοσύνης συσφιγγόμενος· ἔτι γε μὲν ἀγάπῃ καὶ ταπεινοφροσύνῃ διαλάμ-



πων. Αὕτη τοῦ σωτηρίου λόγου τὴν πρᾶξιν ἐξετέλεσεν. «Ἐπιβήσῃ γάρ φησιν, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ» (Ψαλ. 90'. 13). Οἰκείως αὕτη ἤκουσεν τό, «Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγον ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω.» (Ματ. κε. 2). Τὸ δὲ ῥητόν, εἰ καὶ ἐπὶ τῶν δωρεῶν ἀνάγεται, ἀλλ' ὅμως ἐνταῦθα νοείσθω, ὡς ὅτι ἡ νικήσασα τὸν ἔνυλον πόλεμον, καὶ κατὰ τοῦ ἀΰλου δὲ τρόπαιον στήσεις, ἐμοῦ ὑπερασπίζοντός σου. Γνώτωσαν σου τὸ μέγεθος τῆς πίστεως, αἱ ὑπὸ τοῦ θεράποντός μου Παύλου ῥηθεῖσαι ἀρχαὶ καὶ ἐξουσίαι· νικήσασα γὰρ τὰς ἐναντίας δυνάμεις, προσομιλήσεις καὶ ταῖς κρείττοσιν. Οὕτως μὲν οὖν καθ' ἑαυτὴν ἀναχωροῦσα, τῶν ἀγαθῶν ἔργων ἐγίνετο τελεσιουργός· τοῦ δὲ χρόνου προϊόντος, καὶ τῶν ἀρετῶν αὐτῆς ἀνθουσῶν, ἡ εὐωδία τῶν εὐκλεεστάτων αὐτῆς πόνων εἰς πολλοὺς διέβαινεν. Οὐδὲν γάρ, φησί, κρυπτὸν ὃ οὐ φανερωθήσεται· οἶδε γὰρ ὁ θεὸς τοὺς αὐτὸν ἀγαπῶντας, καὶ δι' ἑαυτοῦ κηρύττειν πρὸς διόρθωσιν τῶν ἀκουόντων. Τότε μὲν οὖν τῇ βουλήσει τοῦ κρείττονος ἤρξαντό τινες παραβάλλειν, καὶ πρὸς οἰκοδομὴν οἰκείαν τὰς ἐντεύξεις ποιεῖσθαι· καὶ γὰρ διὰ τῶν λόγων τὰ τοῦ βίου αὐτῆς ἐμπορευόμεναι, ἐπιπλέον προσήγγιζον, ὠφελεῖσθαι βουλόμεναι. Κατὰ γὰρ τὴν συνήθη ἀκολουθίαν ἐπυνθάνοντο αὐτῆς λέγουσαι· πῶς δεῖ σωθῆναι; ἡ δέ, στενάξασα βαρύ, καὶ δακρύων πλῆθος ἀφεῖσα, εἰς ἑαυτὴν ἐχώρει· καὶ ὥσπερ διὰ τῶν δακρύων τὴν ἀπόκρισιν ποιησαμένη, δευτέραν σιωπὴν ἤσκει. Αἱ δέ, συνελθοῦσαι, ἐβιάζοντο αὐτὴν λαλεῖν τὰ μεγαλεῖα τοῦ θεοῦ· καὶ γὰρ ἐτεθήπεσαν, ὑπὸ μόνης τῆς θέας καταληπτόμεναι· καὶ αὖθις παρεκάλουν αὐτὴν φθέγξασθαι.

Ἐπὶ πολὺ δὲ τῆς μακαρίας ἐκβιαζομένης, καὶ μετὰ χρόνον ἱκανὸν πολλῆς ἡσυχίας γενομένης, ταπεινῇ τῇ φωνῇ τὸ γραφικὸν ἐκεῖνο ἔφης ῥῆμα, τό· Μὴ ἀποβιάζου πένητα· πτωχὸς γὰρ ἐστίν. Αἱ δὲ παροῦσαι ἀσμένως τὸ ῥῆμα δεξάμεναι, ὥσπερ μέλιτος καὶ κηρίου ἀπογευσάμεναι, ἐπιπλεῖον τῆς ἐρωτήσεως εἴχοντο· καὶ λοιπὸν διὰ τῶν γραφικῶν αὐτὴν ῥημάτων ἐπεφόρτιζον· ἔλεγον γὰρ πρὸς αὐτήν, ὡς δωρεὰν ἔλαβες, δωρεὰν δός· ὅρα μὴ τὴν κρυψοτάλαντον τοῦ δούλου ἀποτίσῃς δίκην. Ἡ δὲ πρὸς αὐτὰς εἶπεν· τί οὕτω περὶ ἐμοῦ τῆς ἁμαρτωλοῦ φαντάζεσθε, ὡς πραττούσης τι τῶν καλῶν, ἢ καὶ λεγούσης; κοινὸν ἔχομεν διδάσκαλον τὸν Κύριον· ἐκ τῶν αὐτῶν πηγῶν ἀρυόμεθα τὰ πνευματικὰ νάματα· ἐκ τῶν αὐτῶν δὲ μαζῶν γαλακτοτρυφούμεθα, τῆς τε Παλαιᾶς, καὶ τῆς καινῆς διαθήκης. Αἱ δὲ πρὸς αὐτὴν φασιν· οἴδαμεν καὶ ἡμεῖς, ὅτι μία ἡμῶν ἐστι παιδαγωγός, ἡ Γραφή,

www.tezaurliturgic.ro



καὶ ὁ αὐτὸς διδάσκαλος· ἀλλ' αὐτῇ ἐπαγρύπνῳ σπουδῇ προέκοψας ταῖς ἀρεταῖς· καὶ δέον τὰς ἐν ἕξει τῶν καλῶν γενομένας, ὥσπερ δυνατωτέρας, ἐπιπράττειν τοῖς μειρακίοις· καὶ γὰρ ὁ κοινὸς ἡμῶν διδάσκαλος τοῦτο παρακελεύεται. Ἡ δὲ μακαρία, ταῦτα ἀκούσασα, ὥσπερ τὰ ὑποτίτθια βρέφη, ἐκλαυθμύριζεν. Αἱ δὲ συνελθοῦσαι, ἐν δευτέρῳ θέμεναι τὴν ἐρώτησιν, παρεκάλουν αὐτὴν τοῦ κλαυθμοῦ παύσασθαι· καὶ ὡς ἡσύχασεν, πάλιν ἡσυχία ἐπιπολὺ ἐγένετο. Ἤρξαντο δὲ αὖθις παρακαλεῖν αὐτήν· ἡ δέ, σπλαγχνισθεῖσα, καὶ γνοῦσα, ὅτι τὰ λεγόμενα οὐ νέμει μὲν αὐτῇ ἔπαινον, ταῖς δὲ παρούσαις κατασπείρει ὠφέλειαν, ἤρξατο λέγειν πρὸς αὐτὰς οὕτω.

Τεχνία, πάντες καὶ πᾶσαι τὸ σωθῆναι οἴδαμεν, ἀλλὰ διὰ τῆς οἰκείας ἀμελείας τῆς σωτηρίας ἀπολειπόμεθα. Δεῖ γὰρ πρῶτον τὰ διὰ τῆς χάριτος τοῦ Κυρίου γνωρισθέντα φυλάττειν, εἰσὶ δὲ ταῦτα· «ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν» (Ματθ. κϐ΄. 37). Ἐκ τούτων ἡ ἀρχὴ τοῦ νόμου φυλάττεται, καὶ ἐν τούτοις τὸ πλήρωμα τῆς χάριτος ἐπαναπαύεται. Βραχεῖα μὲν ἡ τοῦ λόγου ἐκφώνησις, ἀλλὰ πολλὴ καὶ ἄπειρος ἡ ἐν τούτῳ δύναμις· πάντα γὰρ τὰ ψυχωφελῆ ἐκ τούτων ἤρτηται· καὶ μαρτυρεῖ Παῦλος, λέγων, ὡς τέλους νόμου εἶνοι τὴν ἀγάπην (Α΄. Τιμ. ά.5). Ὅσα μὲν οὖν οἱ ἄνθρωποι χρήσιμα κατὰ χάριν τοῦ πνεύμοτος εἴπωσιν, ἐκ τῆς ἀγάπης ἐστί, καὶ εἰς αὐτὴν τελευτᾷ· ἡ οὖν σωτηρία αὕτη ἐστίν, ἡ διπλῆ ἀγάπη. Δεῖ δὲ καὶ τοῦτο προσθεῖναι, ἐξ αὐτῆς πάλιν τυγχάνον, τὸ ἑκάστην ἡμῶν ἐπιγινώσκουσαν ὅ ἐστι τῶν μειζόνων ἐφιέσθαι· αἱ δὲ ἠπόρουν πρὸς τὸ λεχθέν, καὶ αὖθις ἀντεπηρώτων. Ἡ δὲ πρὸς αὐτὰς ἔφη· οὐκ ἀγνοεῖνε τὴν ἐν τῷ Εὐαγγελίῳ παραϐολήν, περὶ τῶν ἑκατόν, καὶ ἑξήκοντα, καὶ τριάκοντα (Μάρκ. δ΄. 8-20). Ἡ μὲν οὖν ἑκατοντάς ἐστι, τὸ ἡμέτερον ἐπάγγελμα· ἡ δὲ ἑξηκοντάς, τὸ τῶν ἐγκρατῶν τάγμα· ἡ δὲ τριακοντάς, τῶν σωφρόνως βιούντων. Καὶ ἀπὸ μὲν τῶν τριάκοντα ἐπὶ τὰ ἑξήκοντα καλὸν μεταϐῆναι· ἀπὸ γὰρ τῶν μικρῶν ἐπὶ τὰ μείζω καλὸν προκόπτειν· ἀπὸ δὲ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα τῶν καλῶν κατατρέχειν, οὐκ ἀκίνδυνον· ὁ γὰρ ἅπαξ νεύσας ἐπὶ τὰ χείρω, οὐδὲ ἐν τοῖς ὀλίγοις στῆναι δύναναι, ἀλλ' ὥσπερ ἐν βυθῷ τῆς ἀπωλείας φέρεται. Τινὲς γοῦν, παρθενίαν ἐπαγγελλόμεναι καὶ ἀσθενείᾳ γνώμης τὸν λογισμὸν ὑποσυρόμεναι, προφάσεις ἐν ἁμαρτίαις προφασίζονται· πρὸς γὰρ ἑαυτὰς λέγουσι, μᾶλλον δὲ πρὸς τὸν διάϐολον, ὅτι ἐὰν σωφρόνως, μᾶλλον δὲ ἀφρόνως, βιώσωμεν, κἂν τῶν τριάκοντα ἀξιούμεθα· καὶ γὰρ φησίν, ὡς πᾶσα ἡ παλαιὰ τῆς παιδοποιΐας εἴχετο. Γνωστὸν οὖν ἔστω τῷ τὴν γνώμην ταύτην ἔχοντι, τοῦ



τοῦ ἐχθροῦ εἶναι· ὁ γὰρ ἐκ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττω ἐρχόμενος, ὑπὸ τοῦ ἐναντίον βάλλεται. Ὥσπερ γὰρ στρατιώτης φυγάς, ὁ τοῦτο δρᾶς κρίνεται, καὶ οὐχ ὅτι πρὸς τὴν ἐλάττω στρατείαν κεχώρηκεν, συγγνώμης ἀξιοῦται, ἀλλ' ὅτι ἀπέδρα, τὴν τιμωρίαν λαμϐάνει. Δεῖ οὖν, καθὼς προεῖπον, ἐκ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω προϐαίνειν· καὶ τοῦτο ὁ Ἀπόστολος διδάσκει ὡς τῶν ὄπισθεν ἐπιλανθανομένους τοῖς ἔμπροσθεν ἐπεκτείνεσθε χρή (Φιλιπ. γ΄. 13). Δεῖ οὖν τοὺς τὴν ἑκατοντάδα κρατοῦντας, ταύτην εἰς ἑαυτοὺς ἀνακυκλοῦν, καὶ πέρας μὴ διδόναι τῷ ἀριθμῷ, φησὶ γάρ· ὅτι ἂν ποιήσητε, εἴπατε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν (Λουκ. ιζ΄. 10).

Δεῖ οὖν ἡμᾶς τὰς τὸ ἐπάγγελμα τοῦτο ἐπανῃρημένας, σωφροσύνην τὴν εἰς ἄκρον κατέχειν· καὶ γὰρ καὶ παρὰ ταῖς κοσμικαῖς δοκεῖ σωφροσύνη πολιτεύεσθαι, ἀλλὰ συμπάρεστιν αὐταῖς καὶ ἀφροσύνη, διὰ τὸ ταῖς ἄλλαις πάσαις αἰσθήσεσιν ἁμαρτάνειν· καὶ γὰρ ὁρῶσιν ἀπρεπῶς, καὶ γελῶσιν ἀτάκτως. Ἡμεῖς δέ, καὶ ταῦτα μάλιστα ἀφέμεναι, ἐπαναϐῶμεν ταῖς ἀρεταῖς, καὶ ἀπὸ τῶν ὀφθαλμῶν ἀφέλωμεν τὴν ματαίαν φαντασίαν· καὶ γὰρ φησὶν ἡ γραφή· «οἱ ὀφθαλμοί σου, ὀρθὰ βλεπέτωσαν (Παροιμ. δ΄. 25)· καὶ τὴν γλῶσσαν κωλύειν τῶν τοιούτων ἁμαρτημάτων. Ἀθέμιτον γὰρ τὸ τῶν ὕμνων ὄργανον αἰσχρὰ προφέρειν ῥήματα· οὐ μόνον δὲ λέγειν αὐτὰ παραιτητέον, ἀλλὰ καὶ ἀκούειν. Ταῦτα δὲ οὐ δυνατὸν φυλάττειν, ἐὰν μὴ ταῖς προόδοις νουνεχῶς χρησώμεθα· διὰ γὰρ τῶν αἰσθήσεων ἡμῶν, κἂν μὴ βουλώμεθα, οἱ κλέπται εἰσίασι. Πῶς γὰρ δύναται οἶκος, καπνοῦ ἐκ τῶν ἔξωθεν κινηθέντος καὶ τῶν θυρίδων ἀνοιγεισῶν, μὴ μελαίνεσθαι; ἀναγκαίως οὖν παραιτεῖσθαι προσήκει τὰς εἰς τὴν ἀγορὰν προελεύσεις. Εἰ γὰρ ἐπαχθὲς καὶ βαρὺ ἡγούμεθα ἀδελφοὺς ἢ γονεῖς γυμνοὺς θεάσασθαι τό σῶμα, πόσῳ μᾶλλον ἐπιϐλαϐὲς ἡμῖν ἔσται θεωρῆσαι ἐπὶ τῶν πλατειῶν τοὺς ἀπρεπῶς γεγυμνωμένους, ἔτι γε μὴν καὶ ἀκόλαστα ῥήματα λέγοντας; ἐκ τούτων γὰρ συμϐαίνει ἀηδεῖς καὶ λοιμώδεις φαντασίας προέρχεσθαι.

Ὁπηνίκα δὲ καὶ εἰς τοὺς οἴκους ἑαυτὰς καθείρξωμεν, οὐδὲ ἐκεῖ ὀφείλομεν ἔχειν τὸ ἀμέριμνον, ἀλλ' ἀγρυπνεῖν· γέγραπται γάρ· γρηγορεῖτε· ὅσον δὲ ἑαυτὰς ἀσφαλιζόμεθα πρὸς σωφροσύνην, τοσοῦτον δριμυτέροις συναπτόμεθα λογισμοῖς. Ὁ γὰρ προσθείς, φησίν, γνῶσιν, προσθήσει ἄλγημα (Ἐκκλ. ά. 18). Ὅσῳ γὰρ προκόπτουσιν οἱ ἀθληταί, τοσούτῳ μείζοσι συνάπτονται ἀνταγωνισταῖς. Ὅρα πόσον ἀπέπτης, καὶ οὐκ ὀλιγωρήσεις πρὸς τὰ παρόντα. Τὴν ὑλικὴν καὶ ἔμπρακτον ἐνίκησας πορνείαν; τὴν διὰ τῶν αἰσθήσεών σοι προστίθησιν ὁ ἐχθρός· ὅταν δὲ καὶ ταύτης ἑαυτὴν κωλύσῃς, ἐν τοῖς κατὰ διάνοιαν

www.tezaurliturgic.ro



χωρίοις ἐμφωλεύει, τὸν ἄϋλόν σοι κινῶν πόλεμον· πρόσωπα γὰρ εὐπρεπῆ καὶ ὁμιλίας ἀρχαίας, ταῖς ἡσυχαζούσαις παρεισφέρει. Δεῖ οὖν μὴ συγκατατίθεσθαι τοῖς φαντάσμασι· γέγραπται γάρ, ὡς ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς (Ἐκκλ. ιθ΄. 14). Ἡ γὰρ πρὸς ταῦτα συγκατάθεσις ἐφάμιλλός ἐστι τῇ κοσμικῇ πορνείᾳ· Δυνατοὶ γάρ, φησί, δυνατῶς ἐτασθήσονται (Σολ. ϛ΄. 7). Μέγας οὖν ὁ πρὸς τὸ πνεῦμα τῆς πορνείας ἀγών· τὸ γὰρ ἐν κακοῖς κεφάλαιον τοῦ ἐχθροῦ πρὸς ἀπώλειαν ψυχῆς, τοῦτό ἐστι. Καὶ τοῦτο αἰνιττόμενος ὁ μακάριος Ἰώβ, ἔλεγε πρὸς τὸν διάβολον· ὁ ἔχων τὴν δύναμιν ἐπ' ὀμφαλοῦ γαστρός (Ἰὼβ μ΄. 11). Πολλαῖς μὲν οὖν καὶ διαφόροις μηχαναῖς τὸ τῆς πορνείας κέντρον κινεῖ ὁ διάβολος κατὰ τῶν φιλοχρίστων ἀνθρώπων. Πολλάκις γοῦν καὶ ἀγάπην ἀδελφικὴν μεθώρμησεν ὁ κακόφρων, εἰς τὴν οἰκείαν κακίαν· καὶ γὰρ παρθένους φυγούσας γάμον καὶ φαντασίαν πᾶσαν βίου, διὰ σχέσεως ἀδελφικῆς ὑπεσκέλισε· καὶ μοναχοὺς δὲ ἔτρωσε, πᾶν ὅ, τι οὖν καὶ αὐτοὺς ἀποφυγόντας πορνικὸν σχῆμα· ἀλλὰ καὶ αὐτοὺς ἠπάτησε, δι' εὐλαβοῦς ὁμιλίας· τοῦτο γὰρ τοῦ ἐχθροῦ ἔργον, τὸ ἀμφιεννύμενον τὰ ἀλλότρια, τὰ οἰκεῖα λανθανόντως προβάλλεσθαι. Δείκνυσι σίτου κόκκον, καὶ ὑποτίθησιν αὐτῷ παγίδα Οἶμαι δὲ καὶ τὸν Κύριον περὶ τούτου λέγειν· ὡς «ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσὶ λῦκοι ἅρπαγες». Τί οὖν πρὸς τοῦτο ποιήσωμεν; γινώμεθα φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί (Ματθ. ί. 10-16), πονοῦργον κατὰ τῆς παγίδος αὐτοῦ κινοῦντες λογισμόν· τὸ μὲν γάρ, γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, εἴρηται πρὸς τὸ μὴ λανθάνειν ἡμᾶς τὰς ὁρμὰς τοῦ διαβόλου· τὸ γὰρ ὅμοιον ἐκ τοῦ ὁμοίου ταχίστην ποιεῖται τὴν διάγνωσιν· τὸ δὲ ἀκέραιον τῆς περιστερᾶς, δείκνυσι τὸ καθαρὸν τῆς πράξεως. Πᾶν μὲν οὖν ἀγαθὸν ἔργον ἐν ἀποφυγῇ ἔσται τοῦ χείρονος· πῶς δὲ φύγωμεν ὃ μὴ οἴδαμεν; δεῖ οὖν ἡμᾶς κατ' ἔννοιαν λαβούσας τοῦ ἐχθροῦ τὴν δεινότητα, φυλάττεσθαι ἀπὸ τῆς τούτου κακομηχανίας· φησὶ γάρ· ὡς περιάγει ζητῶν τίνα καταπίει καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτὰ (Πέτρ. έ. 8)· δέον οὖν πάντοτε γρηγορεῖν· καὶ γὰρ διὰ τῶν ἔξωθεν πραγμάτων πολεμεῖ, καὶ διὰ τῶν ἔνδον λογισμῶν δαμάζει, καὶ πλέον διὰ τῶν ἔνδον· καὶ γὰρ νύκτωρ καὶ μεθ' ἡμέραν ἀΰλως προσέρχεται.

Τίνος οὖν χρείαν πρὸς τὸν παρόντα πόλεμον; δῆλον, ὡς ἀσκήσεως ἐπιπόνου καὶ καθαρᾶς προσευχῆς. Ἀλλὰ ταῦτα μὲν γενικῶς ἐπὶ παντὸς λογισμοῦ ὀλεθρίου ἀλεξιτήρια πέφυκεν· δεῖ δὲ καὶ εἰδικαῖς τισὶν εὐνοίαις χρήσασθαι, πρὸς τὸ τὸν παρόντα τῆς ψυχῆς λοιμὸν ἀπώσασασθαι· καὶ ἐπελθόντας τοῦ αἰσχίστου λογισμοῦ, ἀνθυποφέρειν αὐτῷ



τὰ ἐναντία. Εἰ γὰρ γένοιτο ἐν τοῖς κατὰ διάνοιαν χωρίοις ὄψεως εὐπρεποῦς φαντασία, τῷ λόγῳ τὸ παρὸν τιμωρητέον, καὶ τοῦ εἰδώλου τοὺς ὀφθαλμοὺς ἐκκολαπτέτω, τῶν δὲ παρειῶν τὰς σάρκας ἐξαιρείτω· ὑποτεμνέτω δὲ καὶ τὰ χείλη, καὶ λοιπὸν ὁράτω πῆγμα ὀστέων ψιλῶν δυσειδές· καὶ κατανοείτω λοιπὸν τί ἦν τὸ ποθούμενον· οὕτω γὰρ ἂν ὁ λογισμὸς ἀναστρεφόμενος, ἀναχαιτίσαι δυνηθείη τῆς ματαίας πλάνης. Τὸ γὰρ φιλούμενον οὐδὲν ἦν, ἢ αἷμα σὺν φλέγματι μεμιγμένον· ὅπερ καὶ ὑφάσματος χρείαν παρέχει τοῖς ζώοις. Οὕτως μὲν οὖν καὶ διὰ τῶν τοιούτων λογισμῶν εἰκὸς ἀποσοβεῖσθαι τὴν μυσαρὰν κακίαν· καὶ καθάπερ ἧλον ἥλῳ ἐκκρούειν προσήκει τὸν δαίμονα. Ἔτι γε μὴν δέον καὶ καθ' ὅλον τοῦ ἐρωμένου τὸ σῶμα ἕλκη βαρύοσμα καὶ σηπεδονώδη ὑπογράφειν· καὶ συντόμως φάναι, νεκρῷ παραπλήσιον, ἢ καὶ ἑαυτὸν νεκρόν, τοῖς ἔνδον ὀφθαλμοῖς ὑποτιθέναι· οὕτω γὰρ ἐγχωρεῖ τῆς ἡδυπαθείας ἀποστῆναι. Μεῖζον δὲ πάντων ἐστὶ τὸ γαστρὸς ἄρχειν· οὕτω γὰρ καὶ τῶν ὑπογαστρίων ἡδονῶν κρατῆσαι δυνατόν.

Ἦν μὲν οὖν θεῖον συμπόσιον τῶν παρουσῶν· ἐκ γὰρ τῶν τῆς σοφίας κρατήρων ηὐφραίνοντο· ἦν δὲ αὐταῖς οἰνοχοοῦσα τὸ θεῖον νάμα ἡ μακαρία Συγκλητική· ἑκάστη δὲ αὐτῶν ἐδέχετο ὅπερ ἐβούλετο. Μία δὲ τῶν συνελθουσῶν ἐπύθετο αὐτῆς λέγουσα, εἰ τέλειον ἀγαθὸν ἡ ἀκτημοσύνη· ἡ δὲ ἔφη· καὶ τέλειον ἀγαθὸν πάνυ, ταῖς δυναμέναις· αἱ γὰρ ὑπομένουσαι τοῦτο θλῖψιν μὲν ἔχουσι τῇ σαρκί, τῇ δὲ ψυχῇ ἄνεσιν. Ὥσπερ γὰρ τὰ στερεὰ ἱμάτια πατούμενα καὶ βιαίως περιστρεφόμενα πλύνεται καὶ λευκαίνεται, οὕτω καὶ ἡ ἰσχυρὰ ψυχὴ διὰ τῆς ἑκουσίου πενίας ἐπιπλέον κρατύνεται· αἱ δὲ ἀσθενέστερον τὸν λογισμὸν ἔχουσαι, τὸ ἐναντίον ταῖς πρώταις πάσχουσι· καὶ γὰρ πρὸς ὀλίγον θλιβεῖσαι, ὥσπερ τὰ διεῤῥωγότα ἱμάτια, ἀπόλλυνται μὴ φέρουσαι τὴν διὰ τῆς ἀρετῆς πλύσιν. Καὶ μία μὲν ἐπὶ ἀμφοτέρων ἡ τέχνη τῆς πλύσεως καὶ εἷς ὁ τεχνίτης, διάφορον δὲ τῶν ἱματίων τὸ τέλος· τὰ μὲν γὰρ ῥήγνυται καὶ ἀπόλλυται· τὰ δὲ λευκαίνεται, καὶ ἀνακαινίζεται. Φαίη οὖν ἄν τις, ἀγαθὸν κειμήλιον τὴν ἀκτημοσύνην, τῷ ἀνδρείῳ φρονήματι· καὶ γὰρ τῶν πρακτικῶν ἁμαρτημάτων χαλινὸς τυγχάνει· δεῖ δὲ πρῶτον ἐγγυμνασθῆναι τοῖς πόνοις, λέγω δὲ νηστείᾳ τε καὶ χαμευνίᾳ, καὶ τοῖς ἄλλοις τοῖς κατὰ μέρος, καὶ οὕτω ταύτην τὴν ἀρετὴν κτήσασθαι. Οἱ γὰρ μὴ οὕτως ποιήσαντες, ἀθρόως δὲ ἐπὶ τὴν ἀποβολὴν τῶν χρημάτων δραμόντες, ὡς ἐπίπαν μεταμέλῳ ἑάλωσαν· ὄργανα γὰρ τοῦ ἀπολαυστικοῦ βίου τὰ χρήματα τυγχάνει· ἄνελε οὖν πρῶτον τὴν σαυτοῦ τέχνην, τουτέστι τὴν γαστριμαργίαν καὶ τὸ ἁβροδίαιτον, καὶ οὕτως εὐκόλως περιτέμνειν δυνήσῃ τὴν τῶν χρημά-

www.tezaurliturgic.ro



των ὕλην. Βαρὺ γὰρ οἶμαι τέχνης παρούσης, ὄργανα μὴ τυγχάνειν· ὁ γὰρ μὴ ἀποβαλὼν τὸ πρῶτον, πῶς τὸ δεύτερον ἐξῶσαι δυνήσεται; Διὰ τοῦτο καὶ ὁ Σωτήρ, πρὸς τὸν πλούσιον διαλεγόμενος (Ματθ. ιθ. 16) οὐκ ἀθρόως αὐτῷ τὴν ἀποβολὴν τῶν χρημάτων προστάσσει· ἀλλὰ προερωτᾷ αὐτόν, εἰ τὰ τοῦ νόμου πεποίηκεν. Καὶ διδασκάλου γνησίου πρόσωπον ἀναδεξάμενος ὁ Κύριος, ἐρωτᾷ· εἰ τὰ στοιχεῖα ἔμαθες, εἰ τὰς συλλαβὰς παρείληφας, καὶ τῶν ὀνομάτων ἐν ἕξει γέγονας· δεῦρο λοιπὸν καὶ ἐπὶ τὴν τελειοτάτην ἀνάγνωσιν· τουτέστιν, «ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. 19.21). Καὶ τάχα οἶμαι, ὡς εἰ μὴ τὰ ἐξετασθέντα ἦν ὑποσχόμενος πεποιηκέναι, οὐκ ἂν αὐτὸν ἐπὶ τὴν ἀκτημοσύνην προετρέψατο· πῶς γὰρ ἂν ἠδύνατο πρὸς ἀνάγνωσιν ὁρμῆσαι, τὴν τῶν συλλαβῶν ἀγνοῶν δύναμιν;

Καλὴ οὖν ἡ ἀκτημοσύνη τοῖς ἐν ἕξει τῶν καλῶν γεγενημένοις· πάντων γὰρ τῶν περιττῶν τὴν ἀποβολὴν ποιησάμενοι, πρὸς τὸν Κύριον φέρουσι τὸ νεῦμα, τὸ θεῖον ἐκεῖνο ᾄδοντες λόγιον καθαρῶς, τὸ λέγον· «οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς σὲ ἐλπίζουσι· καὶ σὺ δίδως τὴν τροφὴν τοῖς ἀγαπῶσί σε ἐν εὐκαιρίᾳ» (Ψαλ. ρμδ'. 15). Ἄλλως τε πάλιν μεγάλην ὠφέλειαν εἰσπράττονται· μὴ ἔχοντες γὰρ τὸν νοῦν πρὸς τὸν ἐν γῇ θησαυρόν, τὴν οὐρανῶν βασιλείαν φαντάζονται· καὶ τὸ ὑπὸ τοῦ ὑμνῳδοῦ Δαβὶδ ῥῆμα ἐκτελοῦσι σαφῶς, τὸ λέγον· «κτηνώδης ἐγενόμην παρὰ σοὶ (Ψαλ. οβ'. 23). Ὥσπερ γὰρ τὰ ὑποζύγια, τὴν οἰκείαν ἐργασίαν ποιούμενα, ταῖς πρὸς τὸ ζῆν τροφαῖς μόναις ἀρκοῦνται· οὕτω καὶ οἱ τῆς ἀκτημοσύνης ἐρασταί, τὴν μὲν τοῦ ἀργυρίου χρῆσιν, ὡς μηδὲν οὖσαν λογίζονται, πρὸς μόνην δὲ τὴν ἐφήμερον τροφήν, τὴν διὰ τοῦ σώματος ἐργασίαν ποιοῦνται. Οὗτοι τῆς πίστεως τὴν κρηπῖδα κατέχουσι· πρὸς αὐτοὺς γὰρ εἴρηται παρὰ τοῦ Κυρίου, τὸ μὴ μεριμνᾶν περὶ τῆς αὔριον· καὶ ὅτι «τὰ πετεινὰ τοῦ οὐρανοῦ οὐ σπείρει, οὐδὲ θερίζει, καὶ ὁ πατὴρ ὁ οὐράνιος τρέφει αὐτὰ» (Ματθ. 6'. 26). Τούτοις τοῖς λόγοις αἱ θαῤῥήσασαι ψυχαί, (Θεὸς γὰρ ὁ λαλήσας) πεπαῤῥησιασμένως τὸ γραφικὸν ἐκεῖνο φθέγγονται ῥῆμα, τὸ λέγον· «ἐπίστευσα διὸ ἐλάλησα». Καὶ ὁ ἐχθρὸς δὲ πλέον ἐπὶ τῶν ἀκτημόνων ἡττᾶται· τί γὰρ βλάψῃ οὐκ ἔχει. Αἱ γὰρ πλεῖσται τῶν λυπῶν καὶ τῶν πειρασμῶν, ἐν ταῖς ἀφαιρέσεσι τῶν χρημάτων προσγίνονται· τί γὰρ ποιήσῃ ὁ ἐναντίος τοῖς ἀκτήμοσιν οὐκ ἔχει· χωρεῖα ἐμπρῆσαι; οὐ πάρεστιν· ὑποζύγια φθεῖραι; ἀλλ' οὐδὲ ταῦτα ἔχουσι· φιλτάτων ἅψασθαι; ἀλλὰ καὶ τούτοις μακρὰν χαίρειν εἶπον· οὐκοῦν μεγίστη κατὰ τοῦ ἐχθροῦ τιμωρία, καὶ πολύτιμος τῇ ψυχῇ θησαυρὸς ἡ ἀκτημοσύνη.



Ὅσον μὲν οὖν αὕτη θαυμαστὴ καὶ ὑπέρογκος εἰς ἀρετήν, τοσοῦτον εἰς κακίαν φαύλη καὶ μοχθηρὰ ἡ φιλαργυρία· καὶ ἀληθῶς ὁ θεσπέσιος Παῦλος περὶ ταύτης εἴρηκεν «ὡς πάντων αὐτὴν τῶν κακῶν αἰτίαν εἶναι». Ἐπιθυμία γὰρ τοῦ πλούτου, ἐπιορκία, κλοπή, ἁρπαγή, πορνεία, φθόνος, μισαδελφία, πόλεμος, εἰδωλολατρία, πλεονεξία, καὶ αἱ παραφυάδες τούτων, ὑπόκρισις, κολακεία, κατάγελως· πάντων οὖν αἰτία τούτων ὡμολόγηται ἡ φιλαργυρία. Ὅθεν δικαίως πάντων αὐτὴν τῶν κακῶν μητέρα ὁ Ἀπόστολος ὠνόμασεν» (Τιμ. ς'. 10). Οὐ μόνον δὲ ὁ Θεὸς τούτους τιμωρεῖται, ἀλλά γε καὶ οἴκοθεν ἑαυτοὺς καταφθείρουσιν· ἀκόρεστον γὰρ φέροντες τὴν κακίαν, οὐκ ἔχουσι τέλος τοῦ σκοποῦ, ὅθεν ἀνίατος αὐτοῖς ἡ πληγή. Ὁ μηδὲν ἔχων, ὀλίγων ἐπιθυμεῖ· καὶ τυχὼν τούτων, πλειόνων ὀρέγεται· ἑκατὸν χρυσοῦς ἔχει, καὶ γλίχεται τῶν χιλίων· καὶ τούτων εὐπορήσας, πρὸς ἄπειρον φέρει τὸ νεῦμα· καὶ οὕτω μὴ ἔχοντες ἑαυτῶν στῆσαι τὸ τέλος, ἀεὶ πενίαν ὀδύρονται· φέρει δὲ ἡ φιλαργυρία μεθ' ἑαυτῆς ἀεὶ τὸν φθόνον· φθείρει δὲ καὶ οὗτος πρῶτον τὸν κτησάμενον. Ὥσπερ γὰρ αἱ ἔχιδναι γεννώμεναι, πρῶτον τὰς ἰδίας μητέρας φθείρουσι, πρὶν ἂν ἄλλους ἀδικήσωσιν· οὕτω καὶ φθόνος τὸν κτησάμενον καταμαραίνει, πρὶν ἂν τοὺς ἐκ γειτόνων κατανεμηθῇ. Μέγα ἦν χρῆμα, εἰ τοσούτους ἠδυνάμεθα ὑπομένειν πόνους, ζητοῦντες τὸ δόκιμον ἀργύριον, ὅσοις ἀνηκέστοις περιπίπτουσιν οἱ τοῦ ματαίου κόσμου θηραταί· ναυάγια ὑπομένουσι, πειρατηρίοις προσομιλοῦσι, λησταῖς κατὰ γῆς περιπίπτουσιν, ἀνέχονται λοιπὸν ζάλης, καὶ πνευμάτων βιαίων· καὶ πολλάκις κερδαίνοντες, πένητας ἑαυτοὺς φάσκουσι διὰ τοὺς φθονοῦντας. Ἡμεῖς δέ, οὐδ' ὅλως τῶν τοιούτων κινδύνων κατατολμῶμεν, ὑπὲρ τοῦ ἀληθινοῦ κέρδους· εἰ δέ ποτε καὶ μικροῦ τινὸς εὐπορήσαμεν, μεγαλύνομεν ἑαυτὰς ἐπιδεικνύμεναι τοῖς ἀνθρώποις· καὶ πολλάκις οὐδὲ τὸ γενόμενον προφέρομεν εἰς διήγησιν· εὐθέως δὲ καὶ ὃν δοκοῦμεν σπινθῆρα καλοῦ ἔχειν, ὑπὸ τοῦ ἐχθροῦ κλεπτόμεθα. Κἀκεῖνοι μὲν πολλὰ κερδαίνοντες, τῶν πλειόνων ἐφίενται· καὶ τὰ μὲν παρόντα, ὡς οὐδὲν ἡγοῦνται, τὰ μὴ παρόντα ἀποτείνονται. Ἡμεῖς δὲ καὶ μηδὲν ἔχουσαι τῶν ζητουμένων, οὐδὲ θέλομεν κτήσασθαι· καὶ πενίαν ἐσχάτην νοσοῦσαι, πλουσίας ἑαυτὰς ἀναγορεύομεν. Καλὸν οὖν τοὺς εὖ πράττοντας μηδενὶ ἀναγγέλλειν· μᾶλλον γὰρ οἱ τοιοῦτοι ζημιωθήσονται· καὶ γὰρ «ὃ δοκοῦσιν ἔχειν, ἀρθήσεται ἀπ' αὐτῶν.» (Λουκ. η'. 18).

Πᾶσαν οὖν σπουδὴν δέον θέσθαι ὑπὲρ τοῦ λανθάνειν τὸ κέρδος· οἱ δὲ τὰ ἑαυτῶν κατορθώματα ἐκδιηγούμενοι, πειράσθωσαν καὶ τὰ σὺν αὐτοῖς ἐλαττώματα λέγειν· εἰ δὲ ταῦτα κρύπτουσιν, ἕνεκεν τοῦ μὴ

www.tezaurliturgic.ro



παρὰ τῶν ἀκουόντων ψεχθῆναι, πολὺ μᾶλλον ἐκεῖνα φυλακτέον, ὡς ἐκ τοῦ Θεοῦ ἀλλοτριοῦντα. Καὶ γὰρ οἱ κατ᾽ ἀρετὴν βιοῦντες, τὸ ἀνάπαλιν ποιοῦσι· καὶ τὰ μὲν μικρὰ αὐτῶν πταίσματα, μετὰ καὶ προσθήκης, ὧν οὐκ ἔπραξαν, ἐκδιηγοῦνται, τὴν δόξαν τῶν ἀνθρώπων ἀποβάλλοντες· τὰ μέντοι ἀγαθὰ κρύπτοντες, πρὸς ἀσφάλειαν τῆς ψυχῆς. Ὥσπερ γὰρ θησαυρὸς φανερωθεὶς σπανίζεται, οὕτω καὶ ἀρετὴ γνωριζομένη καὶ δημοσιευομένη ἀφανίζεται· καὶ ὥσπερ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός, οὕτω καὶ ψυχὴ ἀπὸ ἐπαίνων διαχεῖται καὶ ἀποβάλλει τὸν τόνον. Καὶ τὸ ἐναντίον δὲ τούτων πάλιν ἔσται· εἰ γὰρ ἡ θερμότης ἔλυσε τὸν κηρόν, ἡ ψύξις ἄρα τὴν πῆξιν αὐτοῦ ποιήσεται· καὶ εἰ ἔπαινος ἀφαιρεῖται τοῦ τόνου τὴν ψυχήν, πάντως ὀνειδισμὸς καὶ ὕβρις, εἰς μέγεθος αὐτὴν τῆς ἀρετῆς ἄγει· χαίρετε γάρ, φησί, καὶ ἀγαλλιᾶσθε, ὅταν πᾶν ψεῦδος καθ᾽ ἡμῶν εἴπωσιν οἱ ἄνθρωποι. Καὶ ἀλλαχοῦ φησίν· ἐν θλίψει ἐπλάτυνάς με. Καὶ πάλιν· ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. Καὶ ἄλλα δὲ μυρία ἀγαθὰ τοιαῦτα ἐκ τῶν ἁγίων Γραφῶν ἐστὶ τῇ ψυχῇ προσοδευόμενα θεάσασθαι. Ἔστι μὲν οὖν λύπη ἐπωφελής, καὶ ἔστι λύπη φθοροποιός· τῆς μὲν οὖν χρησίμης λύπης, τὸ μέν, ἐστι περὶ τῶν οἰκείων ἁμαρτημάτων στένειν· τὸ δέ, καὶ περὶ τῆς τοῦ πλησίον ἀγνωσίας· τὸ δὲ πρὸς τὸ μὴ ἐκπεσεῖν τῆς προθέσεως· τὸ δὲ ἵνα τῆς τελεωτάτης ἐφάψηται ἀγαθότητος· ταῦτα μὲν οὖν τῆς γνησίας λύπης τὰ εἴδη. Ἔστι δὲ καὶ τοῦ ἐχθροῦ τις πρὸς ταῦτα συνάφεια· ἐμβάλλει γὰρ καὶ αὐτὸς λύπην ἀλογίας μεστήν, ἥπερ καὶ ἀκηδία πρός τινων ὠνόμασται· δεῖ οὖν τὸ πνεῦμα, εὐχῇ μάλιστα ἀποσοβεῖν καὶ ψαλμῳδίᾳ.

Τῶν οὖν ἀγαθῶν μεριμνῶν ἐχομένας ἡμᾶς, οὐ χρὴ οἴεσθαί τινα ἐν τῷ βίῳ ἀφρόντιδα εἶναι· φησὶ γὰρ ἡ Γραφή· ὡς πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· Ἐν ἑνὶ λόγῳ τὸ ἅγιον Πνεῦμα συνέγραψε τόν τε μονήρη βίον, καὶ τὸν κοσμικόν· διὰ μὲν γὰρ τοῦ πόνου τῆς κεφαλῆς, τὸν μονήρη αἰνίττεται τρόπον· κεφαλῆς γὰρ τὸ ἡγεμονεῦον· «τοῦ γὰρ σοφοῦ, φησίν, οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ» (Ἐκκλ. 5. 14)· τὸ οὖν διορατικόν, ὡς οἶμαι, ἐν ταύτῃ τυγχάνει· τὸν δὲ πόνον εἶπε, διότι πᾶσα ἀρετῆς βλάστη ἐκ πόνων κατορθοῦται. Διὰ δὲ τῆς ἐν τῇ καρδίᾳ λύπης, τὸ ἄστατον καὶ μοχθηρὸν τῶν κοσμικῶν ἐδήλωσεν ἦθος· θυμοῦ γὰρ καὶ λύπης οἰκητήριον τὴν καρδίαν τινὲς ἔφασαν· μὴ δοξαζόμενοι, λυποῦνται· ἀλλοτρίων ὀρεγόμενοι, τήκονται· πενόμενοι, δυσφοροῦσι· πλουτοῦντες, ἐκμαίνονται· μηδὲ ὕπνου τυγχάνοντες, διὰ τὴν τῶν παρόντων φυλακήν. Μὴ οὖν ὑποσυρῶμεν ἡμεῖς τῷ φρονήματι, λέγουσαι, τὰς ἐν τῷ κόσμῳ ἀμερίμνους τυγχάνειν·



τάχα γὰρ ὡς πρὸς σύγκρισιν, μᾶλλον ἡμῶν κοπιῶσι. Ταῖς δὲ γυναιξίν, ὡς ἐπίπαν, μεγάλη ἐν τῷ κόσμῳ ἡ ἀπέχθεια· τίκτουσι γὰρ χαλεπῶς καὶ ἐπικινδύνως, καὶ τληπαθοῦσι πρὸς τὴν γαλακτοτροφίαν, καὶ νοσοῦσι, τοῖς παιδίοις συνοσοῦσι· καὶ ταῦτα ὑπομένουσι, τέλος τοῦ κόπου μὴ ἔχουσαι. Ἢ γὰρ τὸ σῶμα πηροῦται τὰ κυηθέντα, ἢ κακοφροσύνῃ ἀναχθέντα, δολοφονεῖ τοὺς γεννήσαντας. Ταῦτα οὖν εἰδυῖαι, μὴ δελεασθῶμεν ὑπὸ τοῦ ἐχθροῦ, ὡς ἀνέτου καὶ ἀμερίμνου τυγχάνοντος τοῦ βίου· γεννῶσαι μὲν γάρ, διὰ τῶν πόνων φθείρονται· μὴ τίκτουσαι δέ, ὡς στεῖραι καὶ ἄγονοι ὑπὸ τῶν ὀνειδισμῶν ἐκτήκονται.

Ταῦτα δὲ ὑμῖν λέγω πρὸς τὸ ἀσφαλίζεσθαι ἀπὸ τοῦ ἐναντίου· οὐ πᾶσι δὲ πέφυκεν ἁρμόδια τὰ λεγόμενα, ἀλλὰ μόνοις τοῖς τὸν μονήρη βίον ἑλομένοις. Ὥσπερ γὰρ τοῖς ζώοις οὐ μία τροφή, οὕτως οὐδὲ τοῖς ἀνθρώποις ὁ αὐτὸς λόγος συμφέρει· «οὐ δεῖ γάρ, φησίν, οἶνον νέον βαλλεῖν εἰς ἀσκοὺς παλαιούς» (Ματθ. θ΄. 17). Ἄλλως μὲν γὰρ ἑστιῶνται οἱ θεωρίας καὶ γνώσεως ἐμφορούμενοι, ἑτέρως δέ, οἱ ἀσκητικῆς καὶ πρακτικῆς ἀπογευόμενοι, καὶ πρὸς δύναμιν οἱ κατὰ τὸν κόσμον δικαιοπραγοῦντες· ὥσπερ γὰρ τῶν ζώων τινὰ μέν ἐστι χερσαῖα, τινὰ δὲ ἔνυδρα, τινὰ δὲ πτηνά· οὕτω καὶ οἱ ἄνθρωποι· οἱ μὲν τὸν μέσον βίον κατέχουσιν, ὡς τὰ χερσαῖα· οἱ δὲ πρὸς τὰ ὕψη ἀτενίζουσιν, ὡς τὰ πτηνά· οἱ δὲ τοῖς ὕδασι τῶν ἁμαρτιῶν εἰσι κεκαλυμμένοι, ὡς οἱ ἰχθύες· «ἦλθον γάρ, φησίν, εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με» (Ψαλμ. ξή. 3). Καὶ τοιαύτη μὲν ἡ τῶν ζώων φύσις· ἡμεῖς δὲ ὡς ἀετοὶ πτεροφυήσασαι, ἐπὶ τὰ ὑψηλότερα ἐπιβῶμεν, καὶ καταπατήσωμεν λέοντα, καὶ δράκοντα» (Ψαλμ. 90. 13), καὶ τοῦ ποτε ἄρχοντος νῦν ἄρξωμεν· τοῦτο δὲ ποιήσομεν, ἐὰν ἑαυτῶν ὅλην τὴν διάνοιαν τῷ Σωτῆρι προσενέγκωμεν. Ἀλλ᾽ ὅσον ἡμεῖς κορυφούμεθα πρὸς τὰ ὕψη, κἀκεῖνος ἐμποδίζειν πειρᾶται διὰ τῶν ἰδίων παγίδων. Καὶ τί μέγα ἔχειν ἡμᾶς ἀντιπάλους, πρὸς τὸ ἀγαθὸν ὁρμώσας, ὅπουγε καὶ πρὸς τὰ εὐτελῆ φθονοῦσι; καὶ γοῦν τοὺς ὑπὸ τὴν γῆν τεθαμμένους θησαυροὺς οὐ συγχωροῦσι λαμβάνειν ἀνθρώποις· εἰ οὖν καὶ πρὸς τὴν γηΐνην φαντασίαν ἀντίκεινται, πόσῳ μᾶλλον πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν φθονήσουσι. Δεῖ οὖν κατ᾽ αὐτῶν παντοίως ὁπλίζεσθαι· καὶ γὰρ καὶ ἔξωθεν εἰσελαύνουσι, καὶ οὐδὲν ἧττον ἐκ τῶν ἔνδοθεν κινοῦνται. Καὶ ἡ ψυχή, καθάπερ ναῦς, ποτὲ μὲν ὑπὸ τῶν ἔξωθεν τρικυμιῶν καταβαπτίζεται, ποτὲ δὲ ὑπὸ τῆς ἔνδοθεν ἀντλίας ὑποβρύχιος γίνεται. Καὶ γοῦν καὶ ἡμεῖς ποτὲ μὲν διὰ τῶν ἐκτὸς πρακτικῶν ἁμαρτημάτων ἀπολλύμεθα, ποτὲ δὲ διὰ τῶν ἔνδον λογισμῶν ἀφανιζόμεθα. Δεῖ οὖν καὶ τὰς ἔξωθεν τῶν πνευμάτων ἐπιτηρεῖν προσ-

www.tezaurliturgic.ro



βολάς, καὶ τὰς ἔνδον τῶν λογισμῶν ἀκαθαρσίας· πάντοτε δὲ δεῖ γρηγορεῖν πρὸς τοὺς λογισμούς· συνεχῶς γὰρ ἐφίστανται. Ἐπὶ μὲν γὰρ ταῖς ἔξωθεν τρικυμίαις βοώντων τῶν ναυτῶν, πολλάκις ἡ σωτηρία διὰ τῶν ἐγγυτάτων πλοίων γίνεται· αἱ δὲ ἀντλίαι καὶ κοιμωμένων πολλάκις τῶν πλωτήρων, καὶ ἡσυχαζούσης τῆς θαλάσσης ἐπισυμβαίνουσι, καὶ λανθανόντως αὐτοὺς θανατοῦσι.

Δεῖ οὖν ἐπιπονωτέραν πρὸς τοὺς λογισμοὺς ποιεῖσθαι τὴν διάνοιαν· ὁ γὰρ ἐχθρός, καθάπερ οἶκον τὴν ψυχὴν καθελεῖν βουλόμενος, ἢ ἀπὸ τῶν θεμελίων ποιεῖται αὐτῆς τὴν πτῶσιν, ἢ ἀπὸ τῆς ὀροφῆς ἀρχόμενος πᾶσαν αὐτὴν καταφέρει, ἢ καὶ διὰ τῶν θυρίδων εἰσελθών, πρῶτον τὸν οἰκοδεσπότην δεσμεῖ, καὶ οὕτω χειροῦται τὰ πάντα. Θεμέλιος μὲν οὖν ἐστι τὰ καλὰ ἔργα, ὀροφὴ δὲ ἡ πίστις, θυρίδες δὲ αἱ αἰσθήσεις· διὰ πάντων δὲ πολεμεῖ ὁ ἐχθρός· ὅθεν πολυόφθαλμον δεῖ εἶναι τὸν σωθῆναι βουλόμενον. Οὐκ ἔχομεν γὰρ ἐνταῦθα τὸ ἀμέριμνον, φησὶ γὰρ ἡ Γραφή· «ὁ στήκων βλεπέτω μὴ πέσῃ». Ἐν ἀδήλῳ πλέομεν· θάλασσα γὰρ ὁ βίος ἡμῶν ὑπὸ τοῦ ἱεροψάλτου Δαβὶδ εἴρηται· ἀλλὰ τῆς θαλάσσης τὰ μὲν ἐστὶ πετρώδη, τὰ δὲ καὶ θηρίων πλήρη, τινὰ δὲ καὶ γαληνά. Ἡμεῖς οὖν ἐν τῷ γαληνῷ μέρει τῆς θαλάσσης δοκοῦμεν πλέειν, οἱ δὲ κοσμικοὶ ἐν τοῖς κυματώδεσι· καὶ ἡμεῖς μὲν ἡμέρας πλέομεν, ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης ὁδηγούμενοι· ἐκεῖνοι δὲ ἐν νυκτί, ὑπὸ τῆς ἀγνωσίας φερόμενοι. Ἀλλ᾽ ἐνδέχεται πολλάκις τὸν κοσμικόν, ἐν χειμῶνι καὶ ἐν σκότει τυγχάνοντα, βοήσαντα καὶ ἀγρυπνήσαντα, σῶσαι τὸ ἑαυτοῦ σκάφος· ἡμᾶς δὲ ὑπὸ ἀμελείας ἐν γαλήνῃ βυθισθῆναι, τὸ πηδάλιον τῆς δικαιοσύνης ἀφέντας. Βλεπέτω οὖν ὁ στήκων μὴ πέσῃ· ὁ μὲν γὰρ πεσών, μίαν ἔχει φροντίδα τοῦ ἀναστῆναι· ὁ δέ γε στήκων, φυλαττέσθω τοῦ μὴ πεσεῖν· καὶ γὰρ τὰ πτώματα διάφορα. Οἱ μὲν γὰρ πεσόντες, τοῦ μὲν στήκειν ἐστέρηνται· κείμενοι δὲ οὐ πάνυ τι ἐβλάβησαν· ὁ δὲ ἑστώς, μὴ εὐτελιζέτω τὸν πεπτωκότα, ἀλλ᾽ ἑαυτὸν φοβείσθω, μὴ πεσὼν διαφθαρῇ, καὶ εἰς κατώτερον ἀπέλθῃ βόθρον. Εἰκὸς γὰρ καὶ τῆς κραυγῆς ἡττηθείσης ὑπὸ τοῦ βάθους τοῦ φρέατος, μὴ δὲ βοήθειαν αἰτῆσαι· φησὶ γὰρ ὁ δίκαιος· «μὴ καταπιέτω με βυθὸς μηδὲ συσχέτω φρέαρ τὸ στόμα αὐτοῦ ἐπ᾽ ἐμέ» (Ψαλμ. ξή. 16). Ὁ πρῶτος πεσών, κείμενος ἔμεινεν· ὅρα σεαυτὸν μὴ καταπεσὼν καὶ σὺ θοίνη θηρίων γένῃ. Ὁ πεσὼν οὐκ ἀσφαλίζεται τὴν θύραν· σὺ δὲ μὴ δ᾽ ὅλως νυστάξῃς, ἀλλ᾽ ἀεὶ τὸ θεῖον ἐκεῖνο μελῴδει ῥητόν, τὸ φάσκον· «φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον» (Ψαλμ. ιϐ΄. 4). Ἀγρύπνει δὲ διηνεκῶς διὰ τὸν ὠρυόμενον ὡς λέοντα. Ταῦτα τὰ ῥήματα συντελεῖ πρὸς τὸ μὴ ἐπαίρε-



σθαι· ὁ πεσὼν ἐν τῷ ἐπιστρέψαι καὶ στενάξαι σωθήσεται· ὅρα σὺ σαυτὴν ἡ στήκουσα· διπλοῦς γάρ σοι ὁ φόβος ἐπίκειται· ἢ τοῦ μὴ ἐπιστρέψαι πρὸς τὰ ἀρχαῖα, δι᾽ ὀλιγωρίας σοι τοῦ ἐχθροῦ προσπεσόντος, ἢ τοῦ μὴ τρέχουσαν σκελισθῆναι.

Ὁ γὰρ ἐχθρὸς ἡμῶν διάβολος, ἢ ὄπισθεν ἕλκει πρὸς ἑαυτόν, ὁπηνίκα βραδεῖαν καὶ νωθρὰν θεάσηται τὴν ψυχήν· ἢ δοκοῦσαν αὐτὴν σπουδαίαν εἶναι καὶ ἐπίπονον πρὸς ἄσκησιν, ὑπεισέρχεται λεπτῶς καὶ κεκρυμμένως διὰ τῆς ὑπερηφανίας, καὶ οὕτως αὔτανδρον τὴν ψυχὴν ἀπόλλυσι. Τοῦτο τὸ δέλεαρ ἔσχατον καὶ κορυφαιότατον πάντων ἐστὶ τῶν κακῶν· ἐξ αὐτοῦ ὁ διάβολος καταβέβληται· καὶ δι᾽ αὐτοῦ τοὺς δυνατωτέρους τῶν ἀνθρώπων πειρᾶται καθαιρεῖν. Ὥσπερ γὰρ οἱ δεινότατοι τῶν πολεμιστῶν, μετὰ τὸ δαπανῆσαι τὰ λεπτότερα βέλη, τὸ τηνικαῦτα ἔτι ἐπικρατούντων τῶν μαχητῶν, προβάλλονται τὴν ἰσχυροτέραν πάντων μάχαιραν· οὕτω καὶ ὁ διάβολος, μετὰ τὸ τὰ πρῶτα αὐτοῦ δαπανῆσαι ἄγκιστρα, τότε τῷ τελευταίῳ χρᾶται ξίφει, τῇ ὑπερηφανίᾳ. Τίνες δὲ ἦσαν αἱ πρῶται αὐτοῦ παγίδες; δῆλον, ὡς γαστριστριμαργία, φιλιδονία, πορνεία· ταῦτα γὰρ μάλιστα τὰ πνεύματα ἐπὶ τῶν νεωτερικῶν ἡλικιῶν συμβαίνουσιν· ἐπακολουθεῖ δὲ τούτοις φιλαργυρία, πλεονεξία, καὶ τὰ τούτοις ὅμοια. Ἡ οὖν ἀθλία ψυχή, ὅταν τούτων τῶν παγίδων περιγένηται, ὁπηνίκα γαστρὸς κρατήσῃ, ὅταν καὶ τὰς ὑπογαστρίους ἡδονὰς ὑπερπηδήσῃ τῇ σεμνότητι, ὅταν ἀργυρίου καταφρονήσῃ· τότε πανταχόθεν ὁ κακόφρων, ἀπορηθείς, ὑποβάλλει τῇ ψυχῇ ἄτακτον κίνησιν· μεγεθύνει γὰρ αὐτήν, ἀπρεπῶς κατὰ τῶν ἀδελφῶν ἐπαίρεσθαι. Βαρὺ καὶ ὀλέθριον τοῦτο τοῦ ἐχθροῦ τὸ δηλητήριον· πολλοὺς ἀθρόως ἐν τούτῳ σκοτώσας κατέβαλεν· ὑποβάλλει γὰρ τῇ ψυχῇ ἔννοιαν νόθον καὶ θανατηφόρον. Κατειληφέναι γὰρ αὐτὸν φαντάζει τὰ παρὰ τοῖς πολλοῖς ἀγνοούμενα, καὶ ὅτι ἐν νηστείαις ὑπερβάλλει, καὶ πλῆθος αὐτῷ ἀνδραγαθημάτων προστίθησι· πάντων δὲ ὧν ἥμαρτεν εἰς λήθην αὐτὸν φέρει, πρὸς τὸ κατὰ τῶν συνόντων ἐπαίρεσθαι. Ὑποκλέπτει γὰρ αὐτοῦ ἐκ τοῦ νοὸς τὰ πλημμελήματα· οὐ πρὸς ὠφέλειαν δὲ αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ πρὸς τὸ μὴ δυνηθῆναι αὐτὸν εἰπεῖν τὴν ἰατρικὴν ἐκείνην φωνήν, τὸ σοὶ μόνῳ ἥμαρτον ἐλέησόν με Κύριε· οὔτε μὴν συγχωρήσει αὐτῷ λέγειν. «Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου» (Ψαλ. θ΄. 2). Ἀλλ᾽ ὥσπερ αὐτὸς κατὰ διάνοιαν εἶπε τὸ ἀναβήσομαι, καὶ θήσομαι τὸν θρόνον μου· (Ἡσα. ιδ΄. 13) οὕτω καὶ τοῦτον φαντάζει εἰς ἀρχάς τε καὶ πρωτοκαθεδρίας, ἔτι τε καὶ διδασκαλίας καὶ ἰαμάτων ἐκδόσεις· ἡ οὖν οὕτως ἀπατωμένη ψυχὴ φθείρεται καὶ ἀπόλλυται, δυσιάτῳ ἕλκει πληγεῖσα.

www.tezaurliturgic.ro



Τί οὖν δεῖ ποιεῖν τῶν τοιούτων λογισμῶν παρόντων; ἀδιαλείπτως μελετᾶν τὸ θεῖον ἐκεῖνο λόγιον, ὅπερ ὁ μακάριος Δαβὶδ ἐβόα, λέγων, τὸ «Ἐγώ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος (Ψαλ. κα΄. 7)· καὶ ἐν ἑτέρῳ φησίν· «Ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδὸς» (Γεν. ιη΄. 27). Ἔτι γε μὴν καὶ τὸ τοῦ Ἡσαΐου ἀκουέτω ῥῆμα τὸ λέγον, «ὡς πᾶσα δικαιοσύνη ἀνθρώπου, ὡς ῥάκος ἀποκαθημένης (Ἡσαΐ. ξδ΄. 6). Καὶ εἰ μὲν ἀναχωρούσῃ καθ' ἑαυτὴν οἱ λογισμοὶ οὗτοι παρεισέλθωσιν, ἐν κοινοβίῳ εἰσερχέσθω· ἀναγκαζέσθω δὲ καὶ δεύτερον ἐσθίειν τῆς ἡμέρας, εἴπερ δι' ὑπερβολὴν ἀσκήσεως τούτῳ ἑάλω τῷ πάθει· καὶ παρὰ τῶν συνηλίκων δὲ ἐπιτιμάσθω, καὶ ὀνειδιζέσθω, ὡς μηδὲν μέγα πράττουσα· πᾶσαν δὲ ὑπηρεσίαν ποιείτω. Προσαγέσθωσαν δὲ καὶ βίοι ἁγίων ἔξοχοι εἰς ἐξήγησιν· πειράσθωσαν δὲ αἱ συνελθοῦσαι ἐπιτείνειν ἑαυτῶν τοὺς πόνους πρὸς ἄσκησιν τὰς ὀλίγας ἡμέρας, πρὸς τὸ ἐκείνην θεωμένην τὸ μέγεθος τῶν ἀρετῶν, ἐλάττονα ἑαυτὴν ἡγήσασθαι. Προηγεῖται δὲ τῆς νόσου ταύτης, ἕτερον κακόν, ἡ παρακοή· ὅθεν διὰ τοῦ ἐναντίου, τῆς ὑπακοῆς, δυνατὸν τὴν σηπεδονώδη νομὴν τῆς ψυχῆς περικαθάραι· ὑπακοὴ γάρ φησιν ὑπὲρ θυσίαν. Δεῖ οὖν καθαιρεῖν ὄγκον δόξης ἐν καιρῷ, καὶ ἐπαινεῖν δὲ πάλιν καὶ θαυμάζειν ἐν καιρῷ· εἰ γὰρ ἀμελὴς καὶ νωθρὰ εὑρεθείη ἡ ψυχή, ἔτι γε μὴν ὑποναρκῶσα εἰς τὴν τοῦ καλοῦ προκοπήν, ἐπαινεῖν ταύτην προσήκει· καὶ εἰ μικρόν τι ποιήσει χρηστόν, θαυμάζειν καὶ μεγεθοποιεῖν δέον αὐτήν· καὶ τὰ σφόδρα ἀπάνθρωπα πλημμελήματα ὡς ἐλάχιστα καὶ οὐδαμινὰ λεκτέον. Ὁ γὰρ διάβολος βουλόμενος πάντα διαστρέφειν, ἐπὶ μὲν τῶν σπουδαίων καὶ ἀσκητικῶν, κρύπτειν πειρᾶται τὰ προγεγονότα ἁμαρτήματα, τὴν ὑπερηφανίαν αὐξῆσαι βουλόμενος· ἐπὶ δὲ τῶν νεηλύδων καὶ ἀκροπαγῶν ψυχῶν, πάντα τὰ ἁμαρτήματα πρὸ ὀφθαλμῶν τίθησι, τὴν ἀπόγνωσιν αὐταῖς ἐγγεννῶν· ἐμβάλλει γὰρ αὐτῇ, ὅτι σοι πορνευσάσῃ ποία ἔσται συγγνώμη; καὶ τῇ ἄλλῃ φησιν· οὕτω σου πλεονεκτησάσης, ἀδύνατόν σε σωτηρίας τυχεῖν. Τὰς οὖν οὕτω σαλευομένας ψυχὰς παραμυθητέον οὕτω· δεῖ γὰρ πρὸς αὐτὰς οὕτω λέγειν· Ῥαὰβ πόρνη ἦν, ἀλλ' ἐσώθη διὰ πίστεως· Παῦλος διώκτης ἦν, ἀλλὰ σκεῦος ἐκλογῆς ἐγένετο. Ματθαῖος τελώνης ἦν, ἀλλ' οὐδεὶς τὴν χάριν τούτου ἀγνοεῖ· καὶ ὁ λῃστὴς ἐσύλα καὶ ἐφόνευεν, ἀλλὰ πρῶτος τὴν θύραν ἀνέῳξεν τοῦ παραδείσου· τούτοις οὖν ἐνατενίζουσα, μὴ ἀπογνῷς τῆς σεαυτῆς ψυχῆς.

Ἐπὶ δὲ ταῦτα ταύταις εὑρήσεις ἁρμόδια, δεῖ καὶ τῶν τῇ ὑπερηφανίᾳ ἁλισκομένων, ἐκ τῶν μειζόνων ποιεῖσθαι αὐταῖς τὴν θεραπείαν. Φάσκειν γὰρ δεῖ πρὸς αὐτήν· τί φυσιοῦσαι; ὡς κρέα μὴ ἐσθίουσα; ἄλλοι οὐδὲ ἰχθύας ὁρῶσι· καὶ εἰ οἶνον οὐ πίνεις, σκόπησον ὡς ἄλλοι



οὔτε ἔλαιον ἐσθίουσιν· ἕως ὀψὲ νηστεύεις; ἄλλοι δὲ δύο καὶ τρεῖς ἡμέρας συνάπτουσιν ἄσιτοι· ἀλλ' ὅτι οὐ λούῃ μέγα φρονεῖς; πολλοὶ καὶ διὰ πάθος σωματικὸν οὐδ' ὅλως τούτῳ ἐχρήσαντο· ἀλλὰ θαυμάζεις ἑαυτὴν ὅτι ἐν χαραδρίῳ καθεύδεις καὶ ἐν τριχίνῃ στρωμνῇ; ἄλλοι δὲ χαμευνοῦσι διηνεκῶς. Ἀλλ' εἰ καὶ τοῦτο ποιήσειας, οὐδὲν μέγα· τινὲς γὰρ καὶ λίθους ἑαυτοῖς ὑπέβαλον, πρὸς τὸ μὴ καθ' ἡδονὴν τῶν φυσικῶν τυχεῖν· ἄλλοι δὲ καὶ ἐκρέμασαν ἑαυτοὺς δι' ὅλης νυκτός. Ἀλλ' εἰ καὶ ταῦτα πάντα ποιήσειας, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐπιτελέσειας, μὴ μέγα φρονήσεις· καὶ γὰρ τὰ δαιμόνια πλείω τῶν σῶν πεποιήκασι καὶ ποιοῦσιν· οὔτε γὰρ ἐσθίουσιν, οὔτε πίνουσιν, οὔτε γαμοῦσιν, οὔτε ὑπνοῦσιν· ἀλλὰ καὶ ἐν ἐρήμοις διάγουσιν· εἴγε καὶ ἐν σπηλαίῳ οἰκοῦσα δοκεῖς μέγα τι ποιεῖν. Οὕτω μὲν οὖν καὶ ἐκ τοιούτων λογισμῶν δυνατὸν ἰάσασθαι τὰ ἐναντία πάθη· τήν τε ἀπόγνωσιν καὶ τὴν ὑπερηφάνιαν. Ὥσπερ γὰρ σφοδρῶς ἐκφυσώμενον πῦρ διασκορπιζόμενον ἀπόλλυται, καὶ μὴ τυχὸν δὲ πνεύματος πάλιν φθείρεται· οὕτω καὶ ἡ ἀρετὴ ἀφίπταται δὲ ὑπεροψίαν, κἂν πολλὴν σφοδρότητα ἀσκήσεως λάβῃ· καὶ φθείρεται δὲ πάλιν ἐξ ἀμελείας τὸ καλόν, ὅταν μηδ' ὅλως κινήσωμεν ἑαυτοὺς πρὸς ῥιπισμὸν τοῦ θείου Πνεύματος. Μάχαιρα σκληρὰ ἐπ' ἄκμωνος, ῥᾳδίως ὑπὸ λίθου κατάγνυται· καὶ ἄσκησις ἐπιτεταμένη, συντόμως ἐκ τοῦ ὑπερηφανεύεσθαι ἀπόλλυται. Ὅθεν προσήκει πανταχόθεν ἀσφαλίζεσθαι τὴν ψυχήν, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐκ τοῦ καύσωνος τῆς ὑπερηφανίας περικαιομένην, ὑποκάμπτειν πρὸς τοὺς σκιώδεις τόπους· ἐσθ' ὅτε δὲ καὶ περιτέμνειν τὰ περιττά, πρὸς τὸ τὴν ῥίζαν εὐθαλεστέραν γενέσθαι.

Τὸν δὲ τῇ ἀπογνώσει ἁλισκόμενον, ἀνωῤῥεπῆ βιάζεσθαι ποιεῖν τοῖς προειρημένοις λογισμοῖς· καὶ γὰρ σφόδρα ἡ ψυχὴ χαμαιπετής, εὐτελής, καὶ ταπεινὴ τυγχάνει. Καὶ γοῦν τῶν γεηπόνων οἱ ἄριστοι, ἐπειδὰν μὲν φυτὸν βραχὺ καὶ ἀσθενὲς θεάσωνται, ποτίζουσι δαψιλῶς, καὶ ἐπιμελείας πολλῆς ἀξιοῦσι, πρὸς τὸ αὐξηθῆναι· ἐπειδὰν δὲ ἐν φυτῷ πρόωρον βλάστην θεάσωνται, περιτέμνουσιν αὐτοὶ τὰ περιττά· φιλεῖ γὰρ ταῦτα ἑτοίμως ξηραίνεσθαι. Καὶ ἰατρῶν δὲ παῖδες τινὰς μὲν τῶν ἀρρώστων τρέφουσι δαψιλῶς, καὶ πρὸς περίπατον προτρέπονται· ἑτέρους δὲ δεσμεύοντες ἀσίτους ἐπιπολὺ φυλάττουσι. Φανερὸν οὖν ἐστιν ὡς μέγιστον ἐν κακοῖς ἡ ὑπερηφανία τυγχάνει· καὶ τοῦτο δείκνυσι τὸ ἐναντίον αὐτῇ ἀγαθόν, ἡ ταπεινοφροσύνη· ταύτην δὲ κτήσασθαι δυσχερές. Εἰ μὴ γάρ τις πάσης δόξης ἐκτὸς γένηται, τοῦ θησαυροῦ τούτου τυχεῖν οὐ δυνήσεται· οὕτω δὲ ἐστὶ μεγάλη ἡ ταπεινοφροσύνη, ὡς πάσας μὲν τὰς ἀρετὰς μιμεῖσθαι δοκεῖν τὸν διάβολον, ταύτην δὲ

www.tezaurliturgic.ro



μηδὲ εἰδέναι τί ὅλως ἐστίν. Εἰδὼς δὲ αὐτῆς τὸ ἀσφαλὲς καὶ τὸ ἑδραῖον ὁ Ἀπόστολος, προστάττει ἡμῖν ἐγκομβώσασθαι τὴν ταπεινοφροσύνην (α΄. Πετρέ. 5) καὶ πάντα ποιοῦντας τὰ ἐπωφελῆ, ταύτην περιβάλλεσθαι· κἄν τε γὰρ νηστεύῃς κἄν τε ἐλεῇς κἄν τε διδάσκῃς. Εἰ δὲ καὶ σώφρων τυγχάνῃς καὶ συνετός, πάλιν αὐτὴν ἀντὶ τειχίου ἀῤῥαγοῦς σεαυτῷ παράστησον· σφιγγέτω σου καὶ συνεχέτω τὰς ἀρετὰς αὕτη ἡ καλλίστη τῶν ἁπασῶν ἀρετῶν, ἡ ταπεινοφροσύνη. Ὁρᾷς καὶ τὴν τῶν τριῶν παίδων ὑμνολογίαν (Δαν. γ΄. 8) ὅπως τῶν ἄλλων ἀρετῶν οὐ πάνυ τι μνημονεύσαντες, τοὺς ταπεινοὺς σὺν τοῖς ὑμνοῦσι κατηριθμήσαντο, μὴ εἰρηκότες, σώφρονας, ἢ ἀκτήμονας· ὥσπερ γὰρ ἀδύνατον ναῦν χωρὶς ἥλων κατασκευασθῆναι, οὕτως ἀμήχανον σωθῆναι χωρὶς ταπεινοφροσύνης.

Ὅτι δὲ ἀγαθὴ καὶ σωτήριος πέφυκεν, ὁ Κύριος, τὴν πρὸς τοὺς ἀνθρώπους οἰκονομίαν πληρῶν, αὐτὴν ἠμφιάσατο· φησὶ γάρ· «μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ» (Ματθ. ιά. 29). Ὅρα τίς ὁ λέγων, καὶ τελείως μαθήτευσον· ἀρχή σοι καὶ τέλος τῶν ἀρετῶν ἡ ταπεινοφροσύνη γενέσθω. Φρόνησιν δὲ λέγων ταπεινήν, οὐ σχῆμα μόνον τὸν ἐντὸς ἄνθρωπον αἰνίττεται· ἀκολουθήσει γὰρ τούτῳ καὶ ὁ ἐκτός. Πάσας τὰς ἐντολὰς πεποίηκας, οἶδεν ὁ Κύριος· ἀλλ᾽ αὐτός σοι ἐντέλλεται πάλιν ἀρχὴν δουλείας λαμβάνειν· φησὶ γάρ· «ὅταν ταῦτα πάντα ποιήσητε, εἴπατε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν» (Λουκ. 17. 10)· Ἡ οὖν ταπεινοφροσύνη κατορθοῦται δι᾽ ὀνειδισμῶν, δι᾽ ὕβρεων, διὰ πληγῶν· ἵνα ἀκούσῃς ἄφρων καὶ μωρός, πένης καὶ πτωχός, ἀσθενὴς καὶ εὐτελής, ἀπρόκοπος ἐν ἔργοις, ἄλογος ἐν προφορᾷ, ἄτιμος ἐν εἴδει, ἀσθενὴς ἐν δυνάμει. Ταῦτα τῆς ταπεινοφροσύνης τὰ νεῦρα· ταῦτα ὁ Κύριος ἡμῶν ἤκουσε καὶ πέπονθεν· «Σαμαρείτην γὰρ αὐτὸν εἶπον, καὶ δαιμόνιον ἔχοντα»· δούλου μορφὴν ἀνείληφεν, ἐῤῥαπίσθη, πληγαῖς ᾐκίσθη· δεῖ οὖν καὶ ἡμᾶς μιμεῖσθαι τὴν ἔμπρακτον ταύτην ταπεινοφροσύνην. Εἰσὶ μὲν οὖν τινες καὶ διὰ τῶν ἐκτὸς σχημάτων ὑποκρινόμενοι, καὶ ταπεινοῦντες ἑαυτούς, αὐτῷ τούτῳ πάλιν δόξαν θηρώμενοι· ἀλλ᾽ ἐκ τῶν καρπῶν ἐπιγινώσκονται· καὶ γὰρ ἐπιπολαίως ὑβρισθέντες, οὐκ ἤνεγκον· ἀλλὰ πάραυτα ὥσπερ ὄφεις τῶν ἑαυτῶν ἐξήμεσαν ἰόν.

Ἐπὶ τοῖς λόγοις δὲ τούτοις ἠγαλλιῶντο αἱ συνελθοῦσαι σφόδρα, καὶ πάλιν προσεκαρτέρουν, κόρον τῶν ἀγαθῶν μὴ λαμβάνουσαι. Καὶ πάλιν πρὸς αὐτὰς ἔλεγεν ἡ μακαρία· ἀγών ἐστι πολὺς τοῖς προσερχομένοις τῷ Θεῷ, καὶ κόπος τὰ πρῶτα· ἔπειτα δὲ χαρὰ ἀνεκδιήγητος. Ὥσπερ γὰρ οἱ πῦρ ἐξάψαι βουλόμενοι πρῶτον καπνίζονται καὶ δακρύουσι, καὶ οὕτω τοῦ ζητουμένου τυγχάνουσι· καὶ γάρ φησιν· «ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον» (Ἑβρ ιβ΄. 29)· οὕτω δεῖ καὶ ἡμᾶς τὸ θεῖον πῦρ ἐν ἑαυταῖς ἐξάψαι μετὰ δακρύων καὶ κόπου· αὐτὸς γάρ φησιν ὁ Κύριος· «ὡς πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν» (Λουκ. ιβ΄. 49). Καί τινες δι᾽ ὀλιγωρίαν, τοῦ μὲν καπνοῦ ἠνέσχοντο, τὸ δὲ πῦρ οὐκ ἐξῆψαν, διὰ τὸ μακροθυμίας αὐτοὺς ἐκτὸς εἶναι, καὶ μᾶλλον αὐτῶν τὴν περὶ τὸν Θεῖον σχέσιν ἀσθενῆ καὶ ἀμυδρὰν τυγχάνειν· ὅθεν καὶ μέγα κειμήλιον ἡ ἀγάπη. Καὶ περὶ ταύτης δὲ διαβεβαιούμενος ὁ Ἀπόστολος ἔλεγεν· «ὡς ἐὰν πάντα τὰ ὑπάρχοντα διανείμῃς, καὶ τὸ σῶμα ὑπωπιάσῃς, ἀγάπην δὲ μὴ ἔχῃς, γέγονας χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον (Α. Κορ. ιγ΄. ιθ΄. 27). Μέγα οὖν ἐν ἀγαθοῖς ἡ ἀγάπη, ὡς καὶ δεινὸν ἐν κακοῖς ὁ θυμός· πᾶσαν γὰρ τὴν ψυχὴν σκοτώσας καὶ ἀποθηριώσας, εἰς ἀλογίαν φέρει. Ὁ οὖν Κύριος πανταχόσε τῆς σωτηρίας ἡμῶν κηδόμενος, οὐδόλως συνεχώρησε βραχύ τι ἀσκεπὲς τῆς ψυχῆς εἶναι. Λαγνείαν κινεῖ ὁ ἐχθρός; σωφροσύνῃ ἡμᾶς ὁ Κύριος ὥπλισεν· ὑπερηφανίαν γεννᾷ; ἀλλ᾽ ἡ ταπεινοφροσύνη οὐ μακρὰν τυγχάνει· μῖσος ἐνεφύτευσεν; ἀλλ᾽ ἡ ἀγάπη ἐν μέσῳ παρίσταται· ὅσα οὖν ὁ ἐχθρὸς καθ᾽ ἡμῶν κινεῖ βέλη, πλείοσιν ἡμᾶς ὁ Κύριος ὅπλοις ἠσφαλίσατο, πρός τε τὴν ἡμῶν σωτηρίαν, καὶ τὴν ἐκείνου κατάπτωσιν.



Κακὸν μὲν οὖν ἐν κακοῖς ὁ θυμός· «ὀργὴ γάρ φησιν ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται» (Ἰωάν ά. 20). Δεῖ δὲ αὐτὸν ἡνιοχεῖν, ὅτι καὶ ἐν καιρῷ χρήσιμος ὤφθη· θυμοῦσθαι μὲν γὰρ καὶ κινεῖσθαι κατὰ δαιμόνων συμφέρει. Πρὸς δὲ ἄνθρωπον, σφοδρῶς κινεῖσθαι οὐ προσήκει, κἂν ἁμαρτήσας τυγχάνῃ· ἐπιστρέφειν δὲ αὐτὸν δεῖ, μετὰ τὸ παύσασθαι τὸ τῆς ὀργῆς πάθος. Καὶ τὸ μὲν ὀργίζεσθαι, ὡς ἐν κακοῖς ἔλαττον· ἡ δὲ μνησικακία, πάντων ἐστὶ βαρυτέρα. Ὁ γὰρ θυμός, ὥσπερ καπνός, πρὸς ὀλίγον θολώσας τὴν ψυχὴν διαλύεται· ἡ δὲ μνησικακία, ὥσπερ ἐναποπαγεῖσα τῇ ψυχῇ, θηρίων αὐτὴν δεινοτέραν ποιεῖ· καὶ κύων μὲν κατά τινος ἐκμανείς, ὑπὸ τῆς τροφῆς θωπευθείς, μεταβάλλεται τῆς ὀργῆς· καὶ τ᾽ ἄλλα δὲ θηρία, ὑπὸ τῆς συνηθείας μειλίσσεται, καὶ πραΰνεται· ὁ δέγε τῇ μνησικακίᾳ κρατούμενος, οὐ παρακλήσει πείθεται· οὐ τροφῇ πραΰνεται· οὔτε μὴν ὁ πάντα μεταβάλλων χρόνος, τὸ πάθος τοῦτο ἰάσατο. Οὗτοι οὖν ἀσεβέστατοι πάντων εἰσὶ καὶ ἀνομώτατοι· οὐ γὰρ ὑπακούουσι τοῦ Σωτῆρος λέγοντος, ὡς «ὕπαγε πρῶτον, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ οὕτω προσάγαγε τὸ δῶρόν σου» (Ματθ. έ. 24)· καὶ ἀλλαχοῦ· μὴ ἐπιδυέτω, φησίν, ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν (Ἐφ. δ΄. 15). Καλὸν μὲν οὖν τὸ μὴ ὀργισθῆναι· εἰ δὲ καὶ γένηται, οὐδὲ μέτρον σοι ἡμέρας πρὸς τὸ πάθος

www.tezaurliturgic.ro



συνεχώρησεν· εἶπε γάρ· μὴ ἐπιδῦναι τὸν ἥλιον· σὺ δὲ ἐκδέχῃ, ἕως ἂν ὁ πᾶς σου χρόνος δύῃ· οὐκ οἶδας εἰπεῖν· «ἀρκεῖ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς» (Ματθ. ς΄. 34). Τί μισεῖς τὸν λυπήσαντά σε ἄνθρωπον; οὐκ αὐτὸς ἦν ὁ ἀδικήσας, ἀλλ᾽ ὁ διάβολος· μίσησον τὴν νόσον, καὶ μὴ τὸν νοσοῦντα. Τί ἐγκαυχᾷ ἐν κακία δυνατέ; περὶ ὑμῶν τοῦτο ὁ Ψαλμῳδὸς ἐβόησεν· «ἀνομίαν γάρ, φησίν, ὅλην τὴν ἡμέραν»· τουτέστι, πάντα τὸν τῆς ζωῆς σου χρόνον παρακούεις τοῦ νομοθέτου λέγοντος· «μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ἡμῶν»· φησὶ δέ, ὡς ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· οὐ παύῃ γὰρ βλασφημῶν τὸν ἀδελφόν σου. Ὅθεν σοι δικαία ἡ τιμωρία ἀπ᾽ αὐτοῦ τοῦ ὑμνῳδοῦ ἐκ τοῦ πνεύματος προσφέρεται· διὰ τοῦτο γάρ, φησίν, ὁ Θεὸς καθελεῖ σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων· ταῦτα τῶν μνησικάκων τὰ δῶρα· ταῦτα τῆς μνησικακίας τὰ ἔπαθλα.

Φυλάττεσθαι οὖν δέον ἀπὸ μνησικακίας· πολλὰ γὰρ αὐτῇ ἀκολουθεῖ δεινά· φθόνος, λύπη, καταλαλιά· θανατηφόρος ἡ τούτων κακία, κἂν μικρὰ δοκῇ τυγχάνειν· ταῦτα μὲν γὰρ ὥσπερ βέλη λεπτὰ τοῦ ἐχθροῦ τυγχάνουσι. Καὶ πολλάκις τὰ ἀπὸ διστόμου μαχαίρας καὶ μείζονος ξίφους τραύματα, οἷά ἐστι πορνεία, πλεονεξία, φόνος· ἰάθησαν διὰ τοῦ σωτηρίου φαρμάκου τῆς μετανοίας· ὑπερηφανία δέ, ἢ μνησικακία, ἢ καταλαλιά, ὥσπερ μικρὰ δοκοῦντα εἶναι βέλη· λανθανόντως ἀνεῖλον, κατὰ τῶν κυριωτέρων τῆς ψυχῆς μορίων παγέντα. Ταῦτα δὲ οὐ τῷ μεγέθει ἀναιρεῖ τῆς πληγῆς, ἀλλὰ τῇ ἀμελείᾳ τῶν τρωθέντων· ὡς μηδενὸς γὰρ τούτων καταφρονήσαντες τῆς τε καταλαλιᾶς καὶ τῶν λοιπῶν, κατὰ μικρὸν ὑπ᾽ αὐτῶν διεφθάρησαν. Βαρὺ οὖν καὶ μοχθηρὸν ἡ καταλαλιά· τροφὴ γὰρ καὶ ἀνάπαυλά τινων ἀνθρώπων τυγχάνει. Σὺ δὲ μὴ παραδέξῃ ἀκοὴν ματαίαν, μὴ τῶν ἀλλοτρίων κακῶν δοχεῖον γένῃ· ἀπέριττον τὴν ψυχὴν σεαυτῆς παρασκεύαζε. Ὑποδεξαμένη γὰρ τὴν δυσώδη τῶν λόγων ἀκαθαρσίαν, κηλῖδας τῇ εὐχῇ σου προσάξεις διὰ τῶν λογισμῶν, καὶ ἀναιτίως μισήσεις τοὺς ἐντυχάνοντας. Καταβαφείσης γάρ σου τῆς ἀκοῆς ὑπὸ τῆς τῶν καταλαλούντων ἀπανθρωπίας, ἀγενῶς πᾶσιν ἐνατενίσεις· καθάπερ ὁ ὀφθαλμὸς χρώματι ἀκρατέστερον προληφθείς, ἀδιάκριτον ἔχει περὶ τὰ ὁρώμενα τὴν φαντασίαν. Δέον οὖν φυλάττεσθαι τὴν γλῶσσαν καὶ τὴν ἀκοήν, πρὸς τὸ μήτε λέγειν τι τοιοῦτον, μήτε ἀκούειν ἐμπαθῶς· γέγραπται γάρ· ὡς μὴ ἀκοὴν ματαίαν παραδέξησθε (Ἐξ. κγ΄. 1)· καί, τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· ἐν δὲ τῷ Ψαλμῳδῷ φησίν, ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων (Ψαλμ. ρο΄. 5. 164). Ἡμεῖς δὲ καὶ τὰ μὴ ἔργα λέγομεν·



δέον οὖν μὴ πιστεύειν τοῖς λεγομένοις, μήτε μὴν κατακρίνειν τοὺς λέγοντας· ἀλλὰ κατὰ τὴν θείαν Γραφὴν ποιεῖν καὶ λέγειν· «ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ» (Ψαλμ. 37. 14).

Οὐ δεῖ ἐπὶ συμφορᾷ ἀνθρώπου ἐπιχαίρειν, κἂν πάνυ ἁμαρτωλὸς τυγχάνῃ· τινὲς μὲν γάρ, θεασάμενοί τινα μαστιζόμενον ἢ φυλακιζόμενον, ἀμαθῶς τὴν κοσμικὴν ἐκείνην παροιμίαν ἔφασαν, ὡς ὁ στρώσας κακῶς, ταλαιπωρήσει ἐν τῷ ὕπνῳ. Σὺ οὖν ἡ καλῶς στρώσασα ἑαυτῇ τὰ πράγματα, θαρσεῖς ἀναπαυθῆναι ἐν τῷ βίῳ; καὶ τί ποιήσομεν τὸν λέγοντα ὡς, ἓν συνάντημα τῷ δικαίῳ καὶ τῷ ἁμαρτωλῷ; (Ἐκκλ. θ΄.9) ἡ γὰρ ἐνταῦθα ἡμῶν διαγωγὴ μία ἐστί, κἂν διάφορον τὴν πολιτείαν ἔχωμεν. Οὐ δεῖ μισεῖν τοὺς ἐχθρούς· καὶ γὰρ ὁ Κύριος τῇ οἰκείᾳ φωνῇ τοῦτο ἡμῖν προσέταξε· φησὶ γάρ, ὡς μὴ μόνον τοὺς ἀγαπῶντας ἀγαπᾶτε· τοῦτο γὰρ καὶ οἱ ἁμαρτωλοὶ καὶ οἱ τελῶναι ποιοῦσι (Ματθ. έ. 46). Τὸ γὰρ καλόν, οὐ δεῖται τέχνης καὶ ἀγῶνος πρὸς θήραν· ἑαυτῷ γὰρ ἐφέλκεται τοὺς ἀγαπῶντας. Τὸ δέ γε φαῦλον, τῆς θείας διδασκαλίας χρῄζει πρὸς ἀπάλειψιν, καὶ κόπου πολλοῦ· οὐ γὰρ ἀνέτων καὶ ἀμερίμνων ἐστὶν ἡ βασιλεία, ἀλλὰ βιαστῶν. Ὥσπερ οὖν οὐ δεῖ τοὺς ἐχθροὺς μισεῖν, οὕτως οὐδὲ τοὺς ἀμελεῖς καὶ ῥαθύμους φεύγειν καὶ ἐκμυκτηρίζειν. Τινὲς μὲν οὖν τὸ γραφικὸν ἐκεῖνο ἑαυτοῖς προσφέρουσι ῥητὸν τὸ λέγον· ὡς μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ στρεβλοῦ συνδιαστρέψεις· διὰ τοῦτο φασίν, ἀποφεύγομεν τοὺς ἁμαρτωλούς, πρὸς τὸ μὴ παρ᾽ αὐτῶν διαστραφῆναι. Ἀγνοίᾳ ψυχῆς οἱ τοιοῦτοι τὰ ἐναντία πράττουσι· προστάττει γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ μετὰ τῶν στρεβλῶν συνδιαστραφῆναι, ἀλλὰ τῆς στρεβλῆς αὐτοὺς ἐπανορθώσασθαι· συνδιαστρέψεις γάρ, τουτέστι συνελκύσεις αὐτὸν πρὸς ἑαυτόν, ἀπὸ τῶν ἀριστερῶν πρὸς τὰ δεξιά.

Τριῶν γνωμῶν ἰδέαι κατὰ τὸν τῶν ἀνθρώπων βίον τυγχάνουσιν· ὧν ἡ μὲν μία ἐστὶ τῆς ἀκροτάτης κακίας, ἡ δὲ δευτέρα μέσης τινὸς καταστάσεως· ὥσπερ γὰρ πρὸς τὰ ἀμφότερα σκοπεῖ, τῶν ὁποτέρων μετέχουσα· ἡ δὲ τρίτη εἰς μέγεθος θεωρίας ἀχθεῖσα, οὐ μόνον ἑαυτὴν συσφίγγει, ἀλλά γε καὶ τὰς τελευταίας πειρᾶται χειραγωγεῖν. Οἱ μὲν οὖν κακοὶ τῶν ἀνθρώπων, τοῖς χείροσι μιγνύμενοι. ἐπὶ πλέον τῶν δεινῶν ποιοῦνται τὴν αὔξησιν· οἱ δέ γε μέσοι, ἀποφεύγειν τοὺς ἀκολάστους πειρῶνται, αὐτὸ τοῦτο δεδοικότες, μὴ πάλιν ὑπ᾽ αὐτῶν καθελκυσθῶσι· νήπιοι γὰρ τῶν ἀρετῶν ἔτι τυγχάνουσιν· οἱ δὲ τρίτοι, ἀνδρείαν τὴν γνώμην ἔχοντες καὶ κραταιὸν τὸ φρόνημα, συνδιάγουσι τοῖς φαύλοις καὶ συνδιαιτῶνται, σῶσαι αὐτοὺς βουλόμενοι. Καὶ ἐξ

www.tezaurliturgic.ro



αὐτῶν δὲ νύττονται· καὶ γὰρ οἱ δαίμονες ἐπὶ πλέον αὐτοὺς πορθοῦσιν, ὡς τῶν οἰκείων ὀργάνων στερούμενοι· καὶ γοῦν ὑπὸ τῶν ἔξωθεν ὀνειδίζονται, καὶ ὑπὸ τῶν ὁρώντων δέ αὐτοὺς συνδιάγοντας τοῖς ἀμελεστέροις χλευάζονται· καὶ γὰρ καὶ αὐτοὺς ὡς ὁμοίους αὐτῶν διαβάλλουσιν. Οἱ δὲ ὡς ἐπαίνους τὰ παρὰ τῶν ἀνθρώπων ὀνείδη ἀκούοντες, ἀδεῶς τὸ θεῖον ἔργον ἐκτελοῦσι· «χαίρετε γάρ, φησί, καὶ ἀγαλλιᾶσθε, ὅταν πᾶν ψεῦδος καθ᾽ ἡμῶν εἴπωσιν οἱ ἄνθρωποι» (Ματθ. έ. 12). Δεσποτικὴ μὲν οὖν τούτων ἡ πρᾶξις· καὶ γὰρ ὁ Κύριος μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἤσθιε· μᾶλλον δὲ φιλάδελφος ἡ τούτων γνώμη, ἤ περ φίλαυτος· ὥσπερ γὰρ ἐμπρησμοὺς οἰκιῶν ὁρῶντες τοὺς ἁμαρτάνοντας, τῶν ἰδίων καταφρονήσαντες, τὰ ἀλλότρια καὶ ἀπολλύμενα σώζειν διϊσχυρίζονται· καὶ περιφλεγόμενοι ἐκ τῶν καυστικῶν ὕβρεων ἀνέχονται. Οἱ δέ γε μέσοι, ἐὰν ἴδωσι τὸν ἀδελφὸν ὑπὸ τῆς ἁμαρτίας καιόμενον, ἀποφεύγουσι, δεδοικότες μὴ καὶ εἰς αὐτοὺς τὸ πῦρ διανεμηθῇ. Οἱ δὲ τρίτοι χαλεπῶν γειτόνων δίκην ἐπέχοντες, τοὺς καιομένους ἐπὶ πλέον ἐξάπτουσιν, ὕλην αὐτοῖς πρὸς ἀπώλειαν τὴν οἰκεῖαν κακίαν προσφέροντες· ὥσπερ γὰρ πισσηρῷ διαλαβόντες πλοίῳ, ἀντὶ ὕδατος κεδρίαν ἐπιβάλλουσιν. Οἱ δέ γε ἐναντία τούτοις, οἱ ἀγαθοί· τὰ οἰκεῖα κτήματα δεύτερα ἔθεντο τῆς ἐκείνων σωτηρίας. Ταῦτα τῆς ἀληθινῆς ἀγάπης τὰ τεκμήρια· οὗτοι τῆς εἰλικρινοῦς ἀγάπης οἱ φύλακες.

Ὥσπερ δὲ τὰ δεινά, ἓν δι᾽ ἑνὸς ἤρτηται· τῇ γὰρ φυλαργυρίᾳ, ἀκολουθεῖ φθόνος, δόλος, ἐπιορκία, θυμός, μνησικακία. Οὕτω τὰ ἐναντία τούτων τῆς ἀγάπης ἔχεται· πραΰτης δὴ λέγω, καὶ μακροθυμία, καὶ ἀνεξικακία, καὶ τὸ τέλειον τῶν ἀγαθῶν, ἡ ἀκτημοσύνη. Οὐκ ἐνδέχεται γάρ τινα ταύτης τῆς ἀρετῆς λέγω δὴ τῆς ἀγάπης ἐφικέσθαι, εἰ μὴ ἐκ τῆς ἀκτημοσύνης· οὐ γὰρ πρὸς ἕνα ἄνθρωπον ὁ Κύριος τὴν ἀγάπην ἐνετείλατο, ἀλλὰ πρὸς ἅπαντας. Οὐκοῦν οὐ δέον ἔχοντά τινα, παριδεῖν τοὺς χρῄζοντας· ὑποκλέπτεται γὰρ τὸ τῆς ἀγάπης. Τὸ μὲν γὰρ πᾶσιν ἐπαρκεῖν, ἀδύνατον ἀνθρώπῳ· Θεοῦ δὲ τοῦτο ἔργον. Τί οὖν, φησίν, ὁ μὴ ἔχων, περὶ ἐλεημοσύνης ἀγωνίζῃ, καὶ αὕτη σοι πρόφασις τοῦ κτήσασθαι γίνεται; κοσμικοῖς τοῦτο προστέτακται· οὐ γὰρ τοσοῦτον πρὸς τὸ τραφῆναι τὸν πένητα ἡ ἐλεημοσύνη ὥρισται, ὅσον διὰ τὴν ἀγάπην· ὁ γὰρ τὸν πλούσιον διοικῶν Θεός, καὶ τὸν πένητα τρέφει. Περιττῶς οὖν ἡ ἐλεημοσύνη προσετάγη; μὴ γένοιτο! ἀλλὰ ἀρχὴ τῆς ἀγάπης τοῖς μὴ εἰδόσι γίνεται. Ὥσπερ οὖν ὑπογραμμὸς ἦν ἡ τῆς ἀκροβυστίας περιτομὴ τῆς καρδίας, οὕτως ἡ ἐλεημοσύνη, τῆς ἀγάπης διδάσκαλος κατέστη· οἷς οὖν ἡ ἀγάπη ἐκ τῆς χάριτος ἐδόθη, περιττὴ ἡ ἐλεημοσύνη. Οὐ διαβάλλουσα τὸ ἔλεον ταῦτα λέγω· ἀλλὰ



τῆς ἀκτημοσύνης τὸ καθαρὸν δεικνύουσα· μὴ γενέσθω οὖν κώλυσις τὸ ἔλαττον τοῦ μείζονος· ἐν ὀλίγῳ τὸ μικρὸν κατορθώσας· πάντα γὰρ ὑφ᾽ ἓν δέδωκας· πρὸς τὸ μεῖζον τὸ λοιπὸν ἀνάνευσον, τὴν ἀγάπην. Σταυροφόρος γὰρ τυγχάνεις, σὺ τὴν ἐλευθέραν φωνὴν ὀφείλεις εἰπεῖν, τό «ἰδοὺ πάντα ἀφήκαμεν, καὶ ἠκολουθήσαμέν σοι» (Ματθ. ιθ΄. 27)· σὺ τὴν εὐπαῤῥησίαστον γλῶτταν τῶν Ἀποστόλων μιμήσασθαι κατηξιώθης· φησὶ γὰρ Πέτρος καὶ Ἰωάννης «ὡς χρυσίον καὶ ἀργύριον οὐχ ὑπάρχει μοι» (Πραξ. γ΄. 1, 7)· διπλῆ μὲν ἡ γλῶττα, ἀλλὰ μονότροπος ἡ πίστις. Οὗτος ὁ ὅρος τοῖς ἀνωτέρω ἁρμόδιος· καὶ οὕτω δεῖ φρονεῖν.

Καὶ ἐν τοῖς κοσμικοῖς δέ, μὴ ἁπλῶς καὶ ἀδιακρίτως τὰ τῆς ἐλεημοσύνης γενέσθω· φησί γάρ, «ὡς ἔλαιον ἁμαρτωλῶν μὴ λιπανάτω τὴν κεφαλήν μου.» Προσήκει οὖν τὸν ἐλεοῦντα, Ἀβραμιαῖον ἔχειν τὸ φρόνημα, καὶ ὡς ἐκεῖνος τὸ δίκαιον δικαίως πράττειν· φιλοξενῶν γὰρ ὁ δίκαιος, μετὰ τῆς ἑστίας καὶ τὴν γνώμην παρέθηκεν· «ἔστη γάρ, φησί, ὑπηρετῶν, μὴ βουληθεὶς τοὺς οἰκέτας συμμεριστὰς τοῦ κέρδους γενέσθαι» (Γεν. ιη΄. 8). Ἀληθῶς οἱ τοιοῦτοι μισθὸν τῆς ἐλεημοσύνης ἕξουσι, κἂν ἐν τῷ δευτέρῳ τάγματι τυγχάνουσι. Ὁ γάρ Κύριος, δημιουργήσας τὴν οἰκουμένην, διπλῆν ἐν αὐτῇ τῶν οἰκητόρων ἔθετο τὴν τάξιν· τοῖς μὲν γὰρ σεμνῶς βιοῦσι, διὰ τὴν παιδοποιΐαν τὸν γάμον προσέταξε· τοῖς δὲ διὰ καθαρότητα βίου τὴν ἁγνείαν παρέδωκεν, ἰσαγγέλους αὐτοὺς ποιῶν· καὶ τοῖς μέν, νόμους καὶ ἐκδικήσεις καὶ διδασκαλίας παρέδωκεν· τούτους δέ φησιν· «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος (Ρωμ. ιβ΄. 19). Ἐκεῖ φησίν· «Ἐργάσῃ τὴν γῆν» (Γεν. γ΄. 23) καὶ ὧδε· «Μὴ μεριμνήσητε τῆς αὔριον κελεύει» (Ματθ. ς΄. 34). Ἐκείνοις νόμον ἔδωκεν· ἡμῖν δὲ διὰ χάριτος αὐτοψεὶ τὰς ἐντολὰς ἐγνώρισεν. Σταυρὸς ἐστὶν ἡμῖν τὸ τρόπαιον τῆς νίκης· τὸ γὰρ ἐπάγγελμα ἡμῶν οὐδὲν ἄλλο ἐστί, ἢ ἀποταγὴ βίου καὶ μελέτη θανάτου. Ὥσπερ οὖν οἱ νεκροὶ οὐκ ἐνεργοῦσι τῷ σώματι, οὕτω καὶ ἡμεῖς· ὅσα γὰρ ἦν δι᾽ αὐτοῦ ἐπιτελέσαι, πεποιήκαμεν, ὅτε ἦμεν νήπιοι· φησὶ γὰρ ὁ Ἀπόστολος, «ὡς ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ». Τῇ ψυχῇ ζῶμεν; αὐτῇ τὰς ἀρετὰς ἐπιδείξωμεν· κατὰ διάνοιαν ἐλεήσωμεν· «μακάριοι γὰρ οἱ ἐλεήμονες τῇ ψυχῇ. (Ματθ. ε΄. 7.). Ὥσπερ γὰρ ἐκεῖ λέγει, ὅτι ὁ ἐπιθυμήσας κάλλους, καὶ δίχα τῆς πράξεως, ἀμάρτυρον τὴν ἁμαρτίαν εἰργάσατο· οὕτως ἐνταῦθα ἡ ἐλεημοσύνη εἴρηται τῆς γνώμης τὴν πρᾶξιν τελούσης, κἂν τὸ ἀργύριον ἄπεστιν, τῇ μείζονι ἀξίᾳ τετιμήμεθα.

Ὥσπερ γὰρ οἱ κατὰ τὸν κόσμον δεσπόται διαφόρους οἰκετῶν ὑπηρεσίας κέκτηνται· καὶ τοὺς μὲν ἐν τοῖς χωρίοις ἐκπέμπουσι, πρὸς τὸ τὰς

www.tezaurliturgic.ro



γαίας ἐργάζεσθαι, καὶ τὴν τοῦ γένους διαδοχὴν φυλάττειν· τοὺς δὲ ἐξ αὐτῶν γεννωμένους ἐὰν ἐπιεικεῖς καὶ περικαλλεῖς θεάσωνται, ἐν τοῖς οἰκείοις οἴκοις μεθιστῶσι, πρὸς τὴν ἑαυτῶν ὑπηρεσίαν· οὕτω καὶ ὁ Κύριος, τοὺς μὲν τὸν σεμνὸν γάμον ἑλομένους, ἐν τῷ τοῦ κόσμου χωρίῳ ἔθετο· τοὺς δὲ τούτων βελτίονας, ὅσοι μάλιστα δεξιᾶς τετυχήκασι προαιρέσεως, ἑαυτῷ παρέστησεν εἰς λειτουργίαν. Οὗτοι πάντων τῶν γηίνων πραγμάτων τυγχάνουσιν ἀλλότριοι· τῆς γὰρ Δεσποτικῆς τραπέζης ἠξίωνται· οὐ μεριμνῶσι περὶ ἀμφιάσεως· Χριστὸν γὰρ ἐνδέδυνται. Τῶν οὖν ἀμφοτέρων ταγμάτων εἷς ἐστὶν Δεσπότης, ὁ Χριστός· ὥσπερ γὰρ ἐκ τοῦ αὐτοῦ σίτου ἐστὶ καὶ τὸ ἄχυρον, καὶ τὸ σπέρμα, οὕτω καὶ ἐκ τοῦ αὐτοῦ Θεοῦ εἰσὶ καὶ οἱ κατὰ τὸν κόσμον καλῶς βιοῦντες, καὶ οἱ τὸν μονήρη ἐπανῃρημένοι βίον. Καὶ γοῦν τῶν ἀμφοτέρων χρεία ἐστί· τῶν μὲν φύλλων πρὸς φυλακὴν καὶ χρείαν τοῦ σπέρματος, τοῦ δὲ καρποῦ ἀναγκαία ἡ κτῆσις· γένεσις γὰρ τοῦ παντὸς τυγχάνει. Ὥσπερ γὰρ οὐκ ἐγχωρεῖ κατὰ τὸ αὐτὸ καὶ βοτάνην εἶναι καὶ σπέρμα, οὕτως ἀδύνατον, τῆς κοσμικῆς ἡμῖν δόξης περικειμένης, καρπὸν οὐράνιον ποιῆσαι· τῶν δὲ φύλλων ἀποῤῥυέντων, καὶ τῆς καλάμης ξηρανθείσης, ἐπιτήδειος πρὸς θερισμὸν ὁ στάχυς ἐστί. Καὶ ἡμεῖς οὖν, ἀποβαλοῦσαι τὴν ἐπὶ γῆς φαντασίαν ἀντὶ τῶν φύλλων, καὶ μαράνασαι ἑαυτῶν τὸ σῶμα ὡς τὴν καλάμην, ὑψώσασαί τε ἑαυτῶν τὸν λογισμόν, δυνησόμεθα σπέρμα σωτηρίας γεννῆσαι.

Ἐπικίνδυνον τὸν μὴ διὰ τοῦ πρακτικοῦ βίου ἀναχθέντα, διδάσκειν ἐπιχειρεῖν· ὥσπερ γὰρ ἄν, εἴ τις οἰκίαν ἔχων σαθράν, ξένους ὑποδεξάμενος, βλάψει τῇ πτώσει τοῦ οἰκήματος· οὕτω καὶ οὗτοι, μὴ πρότερον ἑαυτοὺς ἀσφαλῶς οἰκοδομήσαντες, καὶ τοὺς προσελθόντας σὺν ἑαυτοῖς ἀπώλεσαν. Τοῖς μὲν γὰρ λόγοις προὐκαλέσαντο εἰς σωτηρίαν, τῇ δὲ τοῦ τρόπου κακίᾳ τοὺς συλλεγέντας μᾶλλον ἠδίκησαν. Ἡ μὲν γὰρ ψιλὴ τῶν λόγων ἔκθεσις ἔοικε γραφαῖς διὰ χρωμάτων εὐαποπτύστων συστάσαις, ἅς τινας μικρότατος χρόνος διέλυσεν, ἀνέμων ῥιπαῖς, καὶ ὑετῶν σταγόσι· τὴν δὲ ἔμπρακτον διδασκαλίαν, οὐδ ὁ πᾶς αἰὼν διαλῦσαι δυνηθείη· τὰ γὰρ στερεὰ τῆς ψυχῆς ἐκκολάπτων ὁ λόγος, αἰώνιον ἄγαλμα Χριστοῦ τοῖς πιστοῖς δωρεῖται. Δέον οὖν καὶ ὑμᾶς μὴ ἐπιπόλαιον τῆς ψυχῆς ποιεῖσθαι τὴν θεραπείαν, μὴ ἐπίπλαστον· ἀλλ' ὅλην ταύτην δι' ὅλου κοσμεῖν, μάλιστα τοῦ βάθους μὴ ἀμελούσας. Τριχῶν ἐποιησάμεθα τὴν ἀφαίρεσιν; συναφέλωμεν αὐταῖς καὶ τοὺς ἐν τῇ κεφαλῇ σκόλωπας· κομάσαντες γὰρ οὗτοι, ἐπιπλέον ἡμᾶς ὀδυνήσουσι. Τὸ μὲν γὰρ τρίχωμα ἡμῶν ἦν, ὁ κατὰ τὸν βίον κόσμος· τιμαί, δόξαι, χρημάτων κτήσεις, λαμπραὶ ἐσθῆτος στολαί, λουτρῶν



χρήσεις, βρωμάτων ἀπολαύσεις· ταῦτα ἐδόξαμεν ἀποβάλλειν· ἀλλὰ τοὺς ψυχοφθόρους σκόλωπας μᾶλλον ἐξώσωμεν· τίνες δὲ οὗτοι εἰσίν; οἱ πονηροὶ λογισμοί, καταλαλιά, ἐπιορκία, φιλαργυρία. Ἡ οὖν κεφαλὴ ἡμῶν ἐστιν ἡ ψυχή· καὶ ἕως μὲν ἐν ταῖς ὕλαις τῶν κοσμικῶν πραγμάτων ἐσκέποντο τὰ θηρία, ἐδόκουν λανθάνειν· νῦν δὲ γυμνωθέντα, πᾶσίν ἐστιν ἔκδηλα· διὰ τοῦτο ἐν παρθένῳ, ἢ ἐν μοναχῷ προφανῆ τυγχάνει καὶ τὰ εὐτελέστατα ἁμαρτήματα. Ὥσπερ γὰρ ἐν καθαρῷ οἰκήματι καταφανὲς πᾶσι γίνεται τὸ ὀφθὲν θηρίον, κἂν βραχύτατον ὑπάρχῃ· ἐν δὲ τοῖς κοσμικοῖς ὥσπερ ἐν ἀκαθάρτοις σπηλαίοις ἐμφωλεύοντα τὰ μέγιστα τῶν ἰοβόλων λανθάνει, ὑπὸ τῆς συνεχοῦς ὕλης καλυπτόμενα. Δέον οὖν ἐφ' ἡμῶν διηνεκῶς καθαίρειν τὸν οἶκον, καὶ περιβλέπεσθαι μή τι τῶν ψυχοφθόρων ζωϋφίων παρεισδύῃ ἐν τοῖς ἔνδον τῆς ψυχῆς ταμιείοις· καὶ θυμιᾶν δὲ τοὺς τόπους, τῷ θείῳ θυμιάματι, τῆς προσευχῆς. Ὥσπερ γὰρ τὰ ἰοβόλα ζῶα, τὰ δριμύτερα τῶν φαρμάκων ἀπελαύνει· οὕτω λογισμὸν ῥυπαρόν, εὐχὴ μετὰ νηστείας ἐκδιώκει.

Ἓν δὲ τῶν ψυχοφθόρων ἐστὶ θηρίων καὶ τὸ ὑποσυρῆναι παρὰ τῶν λεγόντων εἶναι εἱμαρμένην, ἥνπερ καὶ γένεσιν καλοῦσι· κέντρον δέ ἐστι καὶ τοῦτο τοῦ διαβόλου δεινότατον. Καὶ ταῖς μὲν σπουδαίαις ψυχαῖς πολλάκις κατὰ νοῦν μόνον φαντασίαν λοιμικὴν κινῆσαν ἀφίπταται· τῶν δὲ ἀμελεστέρων καὶ δεσπόζει. Οὐδεὶς γὰρ τῶν κατ' ἀρετὴν βιούντων ἐμπιστεύει ἢ παραδέχεται τὸ φρενοβλαβὲς καὶ μάταιον τοῦτο μάθημα· Θεὸν γὰρ ἀρχὴν τίθεται πάντων τῶν γινομένων καὶ γενομένων ἀγαθῶν, καὶ δευτέραν τὴν οἰκείαν γνώμην ἡγεμόνα καὶ κριτὴν καθίστησιν ἀρετῆς τε καὶ κακίας. Ὅσοι δὲ ἐξ ἀμελείας ἢ ἐκ ῥᾳθυμίας τὰ ἐξ ἀβουλίας πεπόνθασιν, εὐθὺς ἐκείνῳ τῷ δαίμονι προσέρχονται. Ὥσπερ γὰρ παῖδες λειποτακτοῦντες καὶ μὴ φέροντες τὴν τῶν γονέων πρὸς ὠφέλειαν παίδευσιν, ἀποφοιτῶντες τοὺς ἐρήμους καταλαμβάνουσι τόπους, καὶ ἀγρίοις καὶ βαρβαρώδεσι συνάπτονται δαίμοσιν· αἰδούμενοι γάρ τὴν γνώμην τὴν αἰτίαν τιθέναι τῶν παρ' αὐτοῖς πραττομένων, συκοφαντοῦσι τὰ μὴ παρόντα. Ἔτι γε μὴν καὶ τὸν θεῖον φόβον ἀπωσάμενοι, ἑαυτοῖς, ἐκ τῆς γενέσεως φάσκουσι τὰ καθ' ἡδονὴν προσγίνεσθαι· πορνεύοντες γὰρ καὶ κλέπτοντες, φιλαργυρίαν τε νοσοῦντες καὶ δολοφροσύνην, αἰδούμενοι τὰς σφῶν αὐτῶν πράξεις, ἐξέκλιναν ἀπὸ τῆς ἀληθείας· τὸ γὰρ τέλος αὐτῶν τοῦ σκοποῦ, ἡ ὀλεθροφόρος αὐτοῖς ἐστιν ἀπόγνωσις. Ἀνάγκη γὰρ ἐκ τούτων τῶν λογισμῶν, ἀναιρεῖσθαι παρ' αὐτῶν τὸν Θεόν, καὶ προσέτι τὴν κρίσιν· φησὶ γάρ, ὡς εἰ οὕτω μοι κέκριται πορνεύειν ἢ πλεονεκτεῖν, περιττὴ ἡ

www.tezaurliturgic.ro



χρίσις. Ἡ μὲν γὰρ δικαία τιμωρία, ἑκουσίων ἐστὶ πταισμάτων, ἡ δὲ
ὡς ἔκ τινος ἀρχῆς ἀκουσία πρᾶξις, ἀναίτιον ποιεῖται τὸν δράσαντα·
καὶ ἐκ τούτου μὲν ἀνῄρηται ἡ κρίσις.

Πῶς δὲ καὶ τὸ θεῖον παρ᾽ αὐτοῖς ἐκβάλλεται, ἀκουστέον· φήσουσι
γὰρ αὐτὸ ἢ πρῶτον, ἢ δεύτερον, ἢ ἀεὶ συνόν, τῇ ἑαυτῶν ματαιότητι.
Εἰ μὲν οὖν πρωτεύειν εἴπωσι τὸν Θεόν, ἀνάγκῃ ἀκολουθήσει πάντα
δι᾽ αὐτοῦ γεγενῆσθαι· καὶ γὰρ αὐτός ἐστιν ἐν πᾶσιν, οὐκοῦν αὐτὸς καὶ
τῆς εἱμαρμένης Κύριος. Εἰ δὲ πλεονέκτης, ἢ πορνοκόπος ἐκ τῆς γενέ-
σεως, ἀναγκαῖον διὰ μέσου τῆς γενέσεως τὸν Θεὸν αἴτιον τῆς κα-
κίας ὑπάρχειν· ὅπερ ἄτοπον. Εἰ δὲ δεύτερον πάλιν αὐτὸ φήσουσιν,
εἰκὸς αὐτὸ γενέσθαι ὑπόδουλον τῷ πρώτῳ· καὶ ὅπερ βούλεται τὸ ἡγού-
μενον, τούτῳ ἀναγκαίως ἀκολουθήσει τὸ ἑπόμενον· καὶ πάλιν τῶν
κακῶν παρ᾽ αὐτοῖς αἴτιος ὁ Θεός· ὅπερ ἀθέμιτον. Εἰ δὲ καὶ συναΐδιον
αὐτὸ ἐθέλουσιν εἶναι, πάντως μάχην πρὸς ἑαυτὰ κινήσουσιν, ἐναν-
τίας ἔχοντα φύσεις· ἐκ τούτων οὖν τῶν λογισμῶν ὡς ἐν κεφαλαίῳ
ἀνῄρηται αὐτῶν ἡ ματαία ὑπόνοια. Περὶ τούτων εἴρηκεν ἡ Γραφή,
ὥς φησιν· «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός· καὶ εἰς τὸ
ὕψος ἐλάλησαν ἀνομίαν» (Ψαλμ. 13 1. 72 8). Καὶ προφασίζονται δὲ
ἑαυτοῖς προφάσεις ἐν ἁμαρτίαις· ἀκρωτηριάζουσι γὰρ τὰς γραφάς, τυ-
φλώττοντες, ἐξ αὐτῶν τὴν κακοφροσύνην αὐτῶν πληροφορεῖν βουλό-
μενοι. Καὶ πρῶτον μὲν ἐκ τοῦ Εὐαγγελίου τὸν ἑαυτῶν ἰὸν ἐξεμεῖν πει-
ρώμενοι ἐκβιάζονται· φησὶ γάρ· «τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γένεσις οὕτως
ἦν· τὴν γέννησιν γὰρ αὐτοῦ ἡ θεία Γραφὴ γένεσιν ὠνόμασεν. Ἔτι γε μὴν
καὶ τὸ πρὸς ἀνθρώπους αὐτὸν οἰκονομικῶς γενέσθαι, ἀκολούθως γένεσις
ὠνόμασται. Εἰ δὲ καὶ περὶ τοῦ ἀστέρος τι ψευδολογήσουσι, κἀκεῖ πά-
λιν τὴν ἔνδοξον αὐτοῦ παρουσίαν μανθανέτωσαν· εἷς ἡμῶν ἀστὴρ φω-
τεινότατος, κῆρυξ γέγονε τῆς ἀληθείας ἡ δὲ ἐκείνων ματαία γνώμη,
πολλοὺς παρεισφέρει, εἰς θήραν ἀνθρωπίνης γενέσεως· καὶ ἐκ τούτου
δέδεικται, ὡς πανταχοῦ ἑαυτῇ ἀντίκειται ἡ κακία. Καὶ τὸν Ἡσαΐαν δὲ
εἰς μαρτυρίαν τῆς ἑαυτῶν ἀνοίας καλοῦσι· φάσκουσι γὰρ αὐτὸν εἰρη-
κέναι τό· Κύριος ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά» (Ἡσα. μέ. 7).

Ἡ μὲν οὖν εἰρήνη παρὰ πᾶσιν ὡμολόγηται ὡς Θεοῦ ἔργον τυγχά-
νουσα· ἡ δὲ κακία παρ᾽ αὐτοῖς μὲν ὡς ἀληθῶς πολιτεύεται, κακία τῆς
ψυχῆς ὑπάρχουσα· παρὰ δὲ ἡμῖν ἡ ἐκ Θεοῦ γεννηθεῖσα κακία, ὠφελιμω-
τάτη ἐστί. Πρὸς γὰρ σωτηρίαν ψυχῆς καὶ παιδείαν σώματος, γίνονται
λοιμοὶ καὶ ἀνομβρίαι, νόσοι τε καὶ πενίαι, καὶ ἄλλαι τινὲς περιστά-
σεις· τὰ γὰρ σωτηρίας φάρμακα, ἃ ἐκεῖνοι κακίαν ψυχῆς κακὰ οὐκ ἀ-
ληθῶς ὑπενόησαν, ταῦτα πρὸς ἐπιστροφὴν ἡμῖν παρὰ τοῦ κρείττονος



προσφέρεται. Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει ὁ πατήρ; (Ἑβρ. ιϐ΄.7)·
ἔτι δὲ καὶ τό· οὐκ ἐν ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ (Ἱερ. ί. 23)· πάλιν ὁ-
μοίως προσφέρουσιν εἰς τὴν ἰδίαν καταστροφήν· ὁδοὺς γὰρ μὴ ἔχον-
τες, ὁδοὺς ἐξιχνιάσαι βούλονται· ὁδὸν οὐκ ἔχει πλεονεξία, ἢ γαστρι-
μαργία, ἀνυπόστατα γὰρ ταῦτα καθ᾽ ἑαυτὰ μὴ ὄντα· ταῦτα καὶ ἐκεῖ-
νοι ὁδοὺς ᾠήθησαν εἶναι. Ὁδοὺς δὲ ἡμῖν ἡ Γραφὴ λέγει, τὰς
κοινὰς πᾶσι, τήν τε ζωήν, καὶ τὸν θάνατον· ἀληθῶς γὰρ πορεῖαί
εἰσι τῆς τε ἐνταῦθα εἰσαγωγῆς, καὶ τῆς ἐκ τῶν αἰσθητῶν τού-
των μεταναστάσεως. Πάντα οὖν ποιοῦσιν οἱ κακοδαίμονες, ὥστε τοῦ
αὐτεξουσίου ἑαυτοὺς ἀπώσασθαι· καὶ ταύτην σπουδὴν τίθενται τοῦ
ἀντικαταλλάξαι τῆς ἐλευθερίας τὴν δουλείαν. Καὶ γὰρ τοῦτο τῆς κα-
κίας ἔργον, τὸ πάντοτε τοῖς χείροσιν ἑαυτὴν συγκαθέλκειν· ἑαυτῶν
γὰρ γίνονται μάρτυρες, ὡς τῇ κακίᾳ ἑαυτοὺς πεπρακότες. Καὶ τοῦτο
μὲν οὖν τοῦ διαβόλου τέχνασμα ἀπατηλόν· τὰς γὰρ ἀμελεῖς ψυχὰς
διὰ τῆς κακοδοξίας κάτω κεκυφέναι παρασκευάζει, μὴ συγχωρῶν αὐ-
τὰς ἀνανῆψαι πρὸς ἐπίγνωσιν τῆς ἀληθείας. Ὥσπερ οὖν ναῦς ἐκτὸς
πηδαλίων πλέουσα, ἀεὶ χειμάζεται, οὕτω καὶ τούτοις πάντοθεν ὁ κίν-
δυνος ἐπιπνεῖ· οὐδὲ γὰρ πρὸς τὸν σωτήριον λιμένα ὁρμῆσαι δύνανται,
τὸν κυβερνῶντα Κύριον καταλιπόντες.

Καὶ τὰς μὲν ἐκδεδομένας αὐτῷ ψυχὰς οὕτω πλανᾷ. Πολλάκις δὲ
καὶ ταῖς σπουδαίαις παρυφιζάνει διὰ τούτων ὁ ἐχθρός, τὸν ἀγαθὸν
αὐτῶν δρόμον ἐκκόψαι βουλόμενος· κατ᾽ ἔννοιαν γὰρ ἐμβάλλει,
ὡς καὶ τὸ εὖ πράττειν παρὰ τῆς κινήσεως τῶν ἄστρων γίνεται· τοῦ-
τον δὲ τὸν λογισμὸν ὁ ἐναντίος προσάγει, τοῖς ἐκ σοφίας κοσμι-
κῆς ἐπὶ τὸν μονήρη τραπεῖσι βίον. Φρόνιμος γὰρ ἐν τοῖς κακοῖς ὑπάρ-
χων ὁ διάβολος, πρὸς τὰς φύσεις τῶν ἀνθρώπων τὰς παγίδας ὑπο-
τίθησι· τισὶ μὲν γὰρ διὰ τῆς ἀπογνώσεως ἐνδελεχεῖ· τινὰς δὲ διὰ τῆς
κενοδοξίας καθέλκει· καὶ ἑτέρους διὰ τῆς φιλοχρηματίας κατορύττει·
καὶ ὥσπερ θανατηφόρος ἰατρὸς προσάγει τοῖς ἀνθρώποις τὰ δηλητή-
ρια. Καὶ τὸν μὲν ἐκ τοῦ ἥπατος ἀναιρεῖ, προσάγων αὐτῷ τὸ τῆς ἐπι-
θυμίας τοξικόν· ἄλλον δὲ καρδιότρωτον ποιεῖ, τὸν θυμὸν αὐτοῦ πρὸς
ὀργὴν ἐξάπτων· τινῶν δὲ καὶ τὴν ἡγεμονικὴν ἀμβλύνει δύναμιν, ἢ ἀ-
γνοίᾳ αὐτοὺς περιβάλλων, ἢ διὰ περιεργίας αὐτοὺς στρεβλῶν· Τινὰς
οὖν δι᾽ ἐκζητήσεων οὐκ ὀρθῶν παρέτρεψε· περὶ γὰρ Θεοῦ καὶ τῆς αὐ-
τοῦ οὐσίας διαλαβεῖν θελήσαντες, ἐναυάγησαν. Τὸν γὰρ πρακτικὸν
βίον ἀκολούθως μὴ ἡνιοχήσαντες, πρὸς θεωρίαν ὥρμησαν, καὶ ἰλιγ-
γιάσαντες πεπτώκασι· τοῦ γὰρ πρώτου ὡς πρὸς τὴν τάξιν μὴ ἐπιλα-
βόμενοι, τοῦ δευτέρου ἠστόχησαν. Ὥσπερ γὰρ οἱ τὸ ἄλφα στοιχεῖον

www.tezaurliturgic.ro



ἐκμαθάνοντες, πρῶτον αὐτοῦ τὸ σχῆμα ὁρῶσι, καὶ δεύτερον τὸ ὄνομα διδάσκονται, καὶ οὕτω τὸν ἀριθμὸν μανθάνουσι, καὶ τελευταῖον τοὺς τόνους παραλαμβάνουσιν· εἰ οὖν ἐπὶ τοῦ πρώτου στοιχείου τοσαύτη χρεία τριβῆς καὶ τέχνης, πόσῳ μᾶλλον ἐπὶ τοῦ Δημιουργοῦ ὀφείλει χρόνος καὶ πόνος προηγεῖσθαι εἰς τὴν τοῦ ἀξιουμένου θεωρίαν τῆς ἀνεκφράστου δόξης; ἀλλὰ μή τις γαυριάτω πρὸς κατάληψιν τῶν θείων, ἐκ τῶν ἔξωθεν μαθημάτων ὁρμώμενος· φρεναπατᾷ γὰρ ἑαυτὸν ὁ τοιοῦτος, ὑπὸ τοῦ δαίμονος φανταζόμενος· φησὶ γὰρ ὁ Ὑμνῳδός «ἐκ στόματος νηπίων, καὶ θηλαζόντων κατηρτίσω αἶνον» (Ψαλμ. ή.3).

Καὶ ὁ Κύριος δὲ ἐν τῷ Εὐαγγελίῳ εἶπεν, «Ἄφετε τὰ παιδία ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν» (Λουκ. ιή. 16). Καὶ ἀλλαχοῦ φησίν· «ἐὰν μὴ γένησθε ὡς τὰ παιδία ταῦτα. οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» (Ματθ. ιή. 3). Ἐπαιδεύθης διὰ τὸν κόσμον, μωρὸς γενοῦ διὰ τὸν Κύριον· ἔκκοψον τὰ παλαιά, ἵνα νέα φυτεύσῃς· τοὺς σαθροὺς θεμελίους κάθελε, ἵνα τὴν ἀδαμάντινον τοῦ Κυρίου βάσιν ἐπιθῇς· ἵνα καὶ σὺ ὡς ἀπόστολος ἐπὶ τὴν στερεὰν πέτραν οἰκοδομηθῇς. Οὐ δεῖ οὖν φιλόνεικον εἶναι· διὰ τὴν λογόῤῥοιαν, μὴ πολλὰ ἀσχοληθῇς· καὶ γὰρ διὰ τῆς ἀκαίρου φλυαρίας δύναται βλάπτειν ὁ διάβολος. Πολλὰς γὰρ ἔχει παγίδας, καὶ δεινός ἐστι θηρευτής· καὶ τοῖς μὲν βραχυτάτοις στρουθίοις, μικρὰ τίθησι σκάνδαλα· τοῖς δὲ μείζοσιν ὀρνέοις, ἰσχυροὺς εὐτρεπίζει τοὺς βρόχους. Βαρὺς καὶ θανατηφόρος ἐστὶ βρόχος, τὸ πιστεύειν εἶναι γένεσιν· φευκταῖος ὁ πρὸς τοῦτο λογισμός. Ἀλλὰ πείθει σε διὰ πραγμάτων καὶ προγνώσεων; στοχαστικὸς ὁ τρόπος, ἀβέβαιος ἡ γνώμη· οὐ δὲ γὰρ ἀναγκαίως ἀκολουθεῖ τὰ παρ᾽ αὐτῶν λεγόμενα. Ὥσπερ γὰρ τοῖς ἰδιώταις καὶ τοῖς ναυτίλοις ἐκ τῆς τῶν νεφῶν ἰδιότητος ἔστι τις ἀμυδρὰ γνῶσις ἀνέμων ἢ ὑετῶν, οὕτω τούτοις ἐκ δαιμόνων ἡ σαθρὰ πρόγνωσις· καὶ γοῦν τινα αὐτοὶ στοχατικῶς λέγουσιν, ὡς καὶ οἱ ἐγγαστρίμυθοι· καὶ τοῦτο δ᾽ ἂν αὐτῶν μᾶλλον διασκεδάσαι δυνηθείη τὴν φαύλην διάνοιαν· εἰ γὰρ ἐκ δαιμόνων αἱ στοχαστικαὶ αὗται ψευδολαγίαι συνέστησαν, ματαία τῶν ψηφιζόντων ἡ τέχνη.

Εἰ δὲ ἐπιπλέον ἐνδελεχεῖ περὶ αὐτῶν δικαιολογούμενος ὁ ἐχθρός, ἐκ τούτου αὐτὸν ψευδῆ ἐλέγξεις, ἐκ τοῦ ἄλλοτε ἄλλοις λογισμοῖς τῇ ψυχῇ πολεμεῖν· τὸ γὰρ ἄστατον, ἀβέβαιον· τὸ δὲ ἀβέβαιον ἀπωλείας ἐγγύς. Οὐδὲ γὰρ τῇ πρώτῃ αὐτοῦ κακίᾳ ἐπαρκεῖται ὁ διάβολος, ἀλλά γε καὶ αὐτοματισμὸν ὑποβάλλει τῇ ψυχῇ, καὶ ἄνθος φύσεως, τὸν ἡγεμόνα νοῦν ἡμῶν ὑπογράφει· καὶ ὅτι, διαλυομένου τοῦ σώματος, συμφθείρεται καὶ ἡ ψυχή· ταῦτα δὲ ὑποβάλλει, πρὸς τὸ ἀμελείᾳ τὴν ψυ-



χὴν διαφθαρῆναι· ἀλλὰ προσγινομένων τῶν σκιωδῶν τούτων φαντασμάτων, μὴ ὡς ἀληθέσιν αὐτοῖς συνθώμεθα· ταῦτα γὰρ αὐτῶν τὴν κακίαν δείκνυσιν, ἄλλοτε ἄλλως πως προσερχόμενα, καὶ ῥιπῇ ὀφθαλμοῦ ἀφιπτάμενα. Καὶ γοῦν οἶδά τινα δοῦλον Θεοῦ κατ᾽ ἀρετὴν βιοῦντα, ὅστις καθεζόμενος ἐν τῷ κελλίῳ, ἐπετήρει τῶν λογισμῶν τὰς παρεισαγωγάς, καὶ ἐμέτρει ποῖος πρῶτος, ποῖος δεύτερος, καὶ ἕκαστος αὐτῶν πόσον χρόνον κατεῖχε, καὶ εἰ ὑστέρησεν, ἢ προέφθασεν τῆς παρελθούσης ἡμέρας· οὕτως ἀκριβῶς ἠπίστατο τήν τε τοῦ Θεοῦ χάριν, καὶ τὴν οἰκείαν καρτερίαν τε καὶ δύναμιν, ἔτι γε μὴν καὶ τὴν τοῦ ἐχθροῦ καθαίρεσιν. Δέον οὖν καὶ ἡμᾶς τούτους τοὺς κανόνας ὑπαδεξαμένας φυλάττειν· εἰ γὰρ οἱ ἐμπορευόμενοι τὰς προσκαίρους πραγματείας, καθ᾽ ἑκάστην ἡμέραν ζυγοστατοῦσι τὰ κέρδη, καὶ ἀσμένως μὲν τὰ πλείονα ὑποδέχονται, πρὸς δὲ τὰς ζημίας ἀπεχθάνονται· πολὺ πλέον τούτων ἀγρυπνεῖν προσήκει τοὺς τὸν ἀληθινὸν θησαυρὸν ἐμπορευομένους· καὶ τῶν μὲν πλειόνων ἀγαθῶν ἐφίεσθαι· εἰ δὲ καὶ μικρὰ κλοπή τις τοῦ ἐχθροῦ γένοιτο, βαρέως μὲν φέρειν διὰ τὸ κεκινῆσθαι· ἀλλ᾽ οὐ μὴν ἀπογινώσκειν ἑαυτῶν, καὶ πάντα ῥίπτειν, διὰ τὸ ἀκούσιον πταῖσμα.

Ἔχεις τὰ ἐνενήκοντα ἐννέα πρόβατα, ζήτει καὶ τὸ ἀπολωλός· μὴ πτοηθῇς διὰ τὸ ἕν· μὴ ἀποφύγῃς τὸν Δεσπότην· καὶ ὁ αἱμοβόρος διάβολος πᾶσάν σου τὴν ἀγέλην τῶν πράξεων αἰχμαλωτίσας ἀπολέσῃ. Μὴ οὖν λειποτακτήσῃς διὰ τὸ ἕν· ἀγαθός ἐστιν ὁ Δεσπότης· φησὶ γὰρ διὰ τοῦ Ψαλμῳδοῦ, ὡς, «ἐὰν πέσῃ, οὐ καταῤῥαχθήσεται, ὅτι Κύριος ὑποστηρίζει χεῖρα αὐτοῦ» (Ψαλμ. λς΄. 24). Ὅσα γὰρ ἂν πράξωμεν ἢ κερδάνωμεν ἐνταῦθα, μικρὰ ἡγησώμεθα ὡς πρὸς τὸν μέλλοντα πλοῦτον· ἐν γὰρ ταύτῃ τῇ γῇ, ὡς ἐν μητρῴᾳ κοιλίᾳ τυγχάνομεν. Ὥσπερ γὰρ ἐν ἐκείνοις τοῖς μυχοῖς οὐ τοιαύτην ζωὴν εἴχομεν, οὐδὲ γὰρ τῶν τοιούτων στερεμνίων τροφῶν ἀπολαύομεν ἐν ἐκείνοις τοῖς χωρίοις, οἵων νῦν· οὔτε μὴν ἐνεργεῖν οὕτως ἠδυνάμεθα ὡς ἐνταῦθα· καὶ γὰρ τοῦ ἡλιακοῦ φωτὸς καὶ πάσης αὐγῆς ἐκτὸς ὑπήρχομεν. Ὥσπερ οὖν ἐν ἐκείνοις τοῖς ταμιείοις οὖσαι, πολλῶν τῶν ἐνταῦθα ἐλειπόμεθα· οὕτω καὶ ἐν τῷ νῦν κόσμῳ πλεονεκτούμεθα, πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν. Ἐλάβομεν πεῖραν τῶν ἐνταῦθα τροφῶν, τῶν θείων ὀρεχθῶμεν· ἀπελαύσαμεν τοῦ ἐνταῦθα φωτός, τὸν ἥλιον τῆς δικαιοσύνης ποθήσωμεν· τὴν ἄνω Ἱερουσαλὴμ ἡγησώμεθα ἑαυτῶν πόλιν τε καὶ μητέρα, πατέρα δὲ τὸν Θεὸν ἑαυτῶν καλέσωμεν· ζήσωμεν ἐνταῦθα σωφρόνως, ἵνα τῆς αἰωνίου ζωῆς καὶ μακαριότητος τύχωμεν. Ὥσπερ γὰρ τὰ ἐν τῇ μήτρᾳ βρέφη, τελειωθέντα ἐξ ἐλάττονος τρο-

www.tezaurliturgic.ro



φῆς τε καὶ ζωῆς, διὰ τούτων καὶ πρὸς τὴν μείζονα φέρονται σωτη-
ρίαν· οὕτω καὶ οἱ δίκαιοι, ἐκ τῆς τοῦ κόσμου διαγωγῆς πρὸς τὴν ἄνω
πορείαν ἀναχωροῦσι, κατὰ τὸ γεγραμμένον· «πορεύσονται ἐκ δυνά-
μεως εἰς δύναμιν» (Ψαλ. πγ΄. 8). Οἱ δέ γε ἁμαρτωλοὶ ὥσπερ τὰ κατὰ
γαστρὸς ἔμβρυα ἐν τῇ μήτρᾳ τελευτήσαντα, ἐκ σκότους σκότει
παραδίδονται· καὶ γὰρ ἐν τῇ γῇ νεκροῦνται, τῷ πλήθει τῶν ἁμαρτιῶν
κεκαλυμμένοι· καὶ ἀπαχθέντες δὲ τοῦ βίου, εἰς ζοφωδεστέρους καὶ
ταρταρώδεις τόπους καταφέρονται. Τρίτον τῷ βίῳ τικτόμεθα· ὧν ἡ
μὲν πρώτη ἐστίν, ἡ ἐκ τῶν μητρῴων κόλπων πρόοδος, ὁπηνίκα ἀπὸ
γῆς εἰς γῆν ἀγόμεθα· αἱ δὲ λοιπαὶ δύο ἐκ γῆς ἡμᾶς εἰς οὐρανοὺς ἀνά-
γουσιν· ὧν ἡ μὲν μία ἐστὶν ἐκ χάριτος, ἡ διὰ τοῦ θείου λουτροῦ ἡμῖν
προσερχομένη· ταύτην γὰρ ἀληθῶς καὶ παλιγγενεσίαν καλοῦμεν· ἡ
δέ γε τρίτη, ἐκ τῆς μετανοίας ἡμῖν καὶ τῶν ἀγαθῶν πόνων προσγί-
νεται· ἐν ταύτῃ τοίνυν ἡμεῖς ἑστήκαμεν. Ὀφείλομεν οὖν τῷ ἀλη-
θινῷ νυμφίῳ προσελθοῦσαι, εὐπρεπέστερον κοσμηθῆναι· γινέσθω δ' ἡ-
μῖν οἰκοδομή, ἡ θέα τοῦ κοσμικοῦ γάμου· εἰ γὰρ ἐκεῖναι πρὸς τὸν εὐ-
άλωτον συναπτόμεναι ἄνδρα, τοσαύτην τίθενται σπουδήν, λουτρῶν τε
καὶ μυραλειφιῶν καὶ ποικίλης κοσμήσεως (ἐκ γὰρ τούτων δοκοῦσιν
ἑαυτὰς ἐρασμίους μᾶλλον παρασκευάζειν), καὶ εἰ τοσαύτη τοῖς κατὰ
τὸ σῶμα πολιτευομένοις φαντασία ἐντέτεκται· πόσῳ μᾶλλον δέον ἡ-
μᾶς ἐπαναβῆναι ἐκείνας τῇ γνώμῃ τῷ οὐρανίῳ νυμφίῳ μνηστευθεί-
σας, καὶ ἀπολούσασθαι μὲν τῶν ἁμαρτιῶν τὸν ῥύπον τῇ ἐπιπόνῳ ἀ-
σκήσει, ἀντικαταλλάξαι δὲ τῶν σωματικῶν ἐνδυμάτων τὰ πνευματικά.

Ἐκεῖναι τὸ σῶμα τοῖς γηΐνοις ἄνθεσι κατακοσμοῦσιν· ἡμεῖς τὴν
ψυχὴν ταῖς ἀρεταῖς φαιδρύνωμεν· καὶ ἀντὶ μὲν λίθων πολυτελῶν, τῇ
κεφαλῇ περιθῶμεν τὸν τρίπλοκον στέφανον, πίστιν, ἐλπίδα, καὶ ἀγά-
πην· τῷ δὲ τραχήλῳ τὴν τιμίαν κόσμησιν περιθῶμεν, τὴν ταπεινο-
φροσύνην· ἀντὶ δὲ ζώνης, τὴν σωφροσύνην περιζωσώμεθα· λαμπρὰ δὲ
ἡμῖν ὀθονίων περιβολή, ἡ ἀκτημοσύνη γινέσθω· προσαγέσθω δὲ τῷ
δείπνῳ τὰ μὴ φθειρόμενα ὄψα, εὐχαί τε καὶ ψαλμοί. Ἀλλ' ὡς ὁ Ἀ-
πόστολός φησι, «μὴ μόνον τὴν γλῶτταν κίνει, ἀλλά γε καὶ τῷ πνεύ-
ματι νόει τὰ λεγόμενα· πολλάκις γὰρ τὸ μὲν στόμα ἄλλα φθέγγε-
ται, ἡ δὲ καρδία περὶ λογισμοὺς ἀσχολεῖται. Προσέχειν δὲ δεῖ, μή,
τοῖς θείοις γάμοις προσελθοῦσαι, πενίαν ἀρετῶν νοσήσωμεν· μισή-
σειεν γὰρ ὁ μνηστήρ, καὶ οὐδ' ὅλως προσδέξεται, ἐὰν μὴ τὰς ὑποσχέ-
σεις λάβῃ· τίνες δέ εἰσιν αὗται; τοῦ μὲν σώματος ἧττον φροντίζειν,
ἐπὶ πλεῖον δὲ τὴν ψυχὴν ἀρδεύειν· αὗται γάρ εἰσιν αἱ πρὸς αὐτὸν συν-
θῆκαι. Ὥσπερ δὲ οὐκ ἐγχωρεῖ δύο κάδους κατὰ τὸ αὐτὸ ἀνάγειν πε-



πληρωμένους ὕδατος· διὰ γὰρ τοῦ στρεφομένου ἄξονος ὁ μὲν εἷς κοῦ-
φος κατάγεται, ὁ δὲ ἕτερος μεστὸς ἀνάγεται· οὕτως οὖν καὶ ἐφ' ἡμῶν
ἐστιν· ὅταν γὰρ τὴν πᾶσαν κηδεμονίαν τῇ ψυχῇ προσοίσωμεν, πληρω-
θεῖσα τῶν καλῶν, ἀνάγεται, τῶν μεταρσίων ἐφιεμένη· τὸ δὲ σῶμα ἡμῶν
κοῦφον διὰ τῆς ἀσκήσεως γενόμενον, οὐ βρίθει τὴν ἡγεμονεύουσαν δύ-
ναμιν· καὶ τούτου μάρτυς ὁ Ἀπόστολος· φησὶ γάρ· «ὅσῳ ἡμῶν ὁ ἔξω
ἄνθρωπος φθείρεται, τοσούτῳ ὁ ἔνδον ἀνακαινίζεται» (Β΄. Κορ. δ΄. 16).

Ἐν μονῇ κοινοβίου τυγχάνεις; μὴ μεταλλάξῃς τὸν τόπον· βλαβήσῃ
γὰρ μεγάλως. Ὥσπερ γὰρ ὄρνις ἐξανισταμένη τῶν ᾠῶν, οὔρια ταῦτα
καὶ ἄγονα κατασκευάζει· οὕτω παρθένος, ἢ μοναχὸς ψυχροῦται καὶ
νεκροῦται τῆς πίστεως, τόπον ἐκ τόπου μεταβαίνων. Μή σε δελεάσῃ
ἡ τῶν κατὰ κόσμον πλουσίων τρυφή, ὥς τι χρήσιμον ἔχουσα· ἡδονῆς
ἕνεκεν τὴν ὀψαρτυτικὴν ἐκεῖνοι τιμῶσι τέχνην· νηστείᾳ καὶ αὐτὸς διὰ
τῶν εὐτελῶν τὴν ἐκείνων εὐπορίαν τῶν τροφῶν ὑπερβάλλου· φησὶ γὰρ
ὡς, «ψυχὴ ἐν πλησμονῇ οὖσα, κηρίοις ἐμπαίζει· μὴ κορεσθῇς ἄρτου,
καὶ οὐκ ἐπιθυμήσεις οἴνου» (Παροιμ. κζ΄. 7). Τρία ἐστὶ τοῦ ἐχθροῦ τὰ
πρῶτα κεφάλαια, ἐξ ὧν πᾶσα κακία κατάγεται· ἐπιθυμία, ἡδονή, λύ-
πη· ἓν ἐξ ἑνὸς ταῦτα ἤρτηται, καὶ ἓν ἑνὶ ἀκολουθεῖ. Καὶ ἡδονῆς
μὲν κρατῆσαι μετρίως δυνατόν, ἐπιθυμίας δὲ ἀδύνατον· τὸ μὲν γὰρ
τῆς ἡδονῆς, διὰ τοῦ σώματος τελεῖται, τὸ δὲ ἀπὸ ψυχῆς ἄρχεται· ἡ
δὲ λύπη ἐκ τῶν ἀμφοτέρων κατασκευάζεται. Μὴ συγχωρήσῃς οὖν τὴν
ἐπιθυμίαν ἐνεργῆσαι, καὶ τὰ λοιπὰ ἀποσκεδάσεις· εἰ δὲ συγχωρήσῃς
προκύψαι τὸ πρῶτον, διανεμηθὲν πρὸς τὸ δεύτερον, κυκλικὴν ἀνταπό-
δοσιν ποιήσονται πρὸς ἑαυτά, καὶ οὐδαμῶς συγχωρήσει τῇ ψυχῇ ἀνα-
σφῆλαι· γέγραπται γάρ, ὡς «μὴ δῷς ὕδατι διέξοδον» (Ἐκκλ. 25-34).

Οὐ πᾶσι πάντα συμφέρει· ἕκαστος δὲ τῷ ἰδίῳ νοῒ πληροφορείσθω·
πολλοῖς τὸ ἐν κοινοβίῳ εἶναι συμφέρει, καὶ πολλοῖς τὸ κατ' ἰδίαν ἀ-
ναχωρεῖν ὠφέλιμον τυγχάνει. Ὥσπερ γὰρ τῶν φυτῶν τὰ μὲν ἐν τοῖς
διύγροις τόποις εὐθαλέστερα γίνεται, τὰ δὲ ἐν τοῖς ξηροτέροις μονι-
μώτερα· οὕτω καὶ τῶν ἀνθρώπων, οἱ μὲν ἐν τοῖς ὑψηλοτέροις τόποις
εὖ πράττουσιν, οἱ δὲ ἐν τοῖς ταπεινοτέροις διασῴζονται. Πολλοὶ γοῦν
ἐν πόλει τὰ τῆς ἐρήμου φανταζόμενοι ἐσώθησαν, καὶ πολλοὶ ἐν ὄρει
ὄντες τὰ τῶν δημοτῶν πράττοντες, ἀπώλοντο· δυνατὸν γὰρ καὶ μετὰ
πολλῶν ὄντα, μονάζειν τῇ γνώμῃ, καὶ μόνον ὄντα, μετὰ ὄχλων τῇ
διανοίᾳ συνδιάγειν. Πολλὰ τοῦ διαβόλου τὰ κέντρα· διὰ πενίας οὐ
μετεκίνησε ψυχήν; πλοῦτον προσάγει εἰς δέλεαρ· δι' ὕβρεων καὶ ὀνει-
δισμῶν οὐκ ἴσχυσεν; ἐπαίνους καὶ δόξαν προβάλλεται· διὰ τῆς ὑγείας
ἡττήθη; νοσοποιεῖ τὸ σῶμα· ταῖς γὰρ ἡδοναῖς μὴ δυνηθεὶς ἀπατῆσαι,

www.tezaurliturgic.ro



διὰ τῶν ἀκουσίων πόνων τὴν παρεκτροπὴν τῆς ψυχῆς πειρᾶται ποιῆ-
σαι ἀπροαίρετον καὶ ἀβούλητον. Νόσους γάρ τινας βαρυτάτας ἐξ ὁ-
χληρᾶς αἰτήσεως προσάγει, πρὸς τὸ διὰ τούτων ὀλιγωρήσαντας, ἐ-
πιθολῶσαι αὐτῶν τὴν πρὸς Θεὸν ἀγάπην. Ἀλλ᾽ εἰ καὶ κατατέμνεται
τὸ σῶμα, καὶ πυρετοῖς σφοδροτάτοις καταφλέγεται, ἔτι γεμὴν καὶ δί-
ψει ἀσχέτῳ ἀνιᾶται· εἰ μὲν ἁμαρτωλὸς ὢν ταῦτα ὑφίστασαι, ὑπομνή-
σθητι τῆς μελλούσης κολάσεως καὶ τοῦ αἰωνίου πυρὸς καὶ τῶν δικα-
στικῶν τιμωριῶν, καὶ οὐκ ὀλιγωρήσεις πρὸς τὰ παρόντα· χαῖρε ὅτι ἐ-
πεσκόπησέ σε ὁ Κύριος, καὶ τὸ εὔφημον ἐκεῖνο ῥητὸν ἐπὶ τῆς γλώσ-
σης ἔχε, ὡς, «παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ τῆς
ἁμαρτίας οὐ παρέδωκέ με» (Ψαλμ. ριζ΄. 18).

Σίδηρος ἐτύγχανες, ἀλλὰ διὰ πυρὸς τὸν ἰὸν ἀποβάλλῃ· εἰ δὲ καὶ
δίκαιος ὢν ἀῤῥωστεῖς, ἀπὸ τῶν μεγάλων ἐπὶ τὰ μείζω προκόπτεις.
Χρυσὸς εἶ· ἀλλὰ διὰ πυρὸς δοκιμώτερος γίνῃ. Ἐδόθη σοι ἄγγελος σα-
τᾶν τῇ σαρκί· ἀγαλλιῶ· βλέπε τίνι ὅμοιος γέγονας· τῆς γὰρ Παύ-
λου δωρεᾶς ἠξιώθης. Διὰ πυρετοῦ δοκιμάζῃ· διὰ ῥίγους παιδεύῃ· ἀλλά
φησιν ἡ γραφή, ὡς «διήλθομεν διὰ πυρὸς καὶ ὕδατος» (Ψαλμ. ξέ. 12)·
λοιπὸν τὸ ἀναψυκτήριον ἡτοίμασται. Ἔτυχες τοῦ πρώτου, προσδόκα
τὸ δεύτερον· πάσχων βόα τὰ τοῦ ἁγίου Δαβὶδ ῥήματα· φησὶ γάρ, ὡς
«πένης καὶ πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ» (Ψαλμ. ξη΄. 30). Τέλειος
γενήσῃ διὰ τῆς τριάδος· καὶ γάρ φησιν· «ἐν θλίψει ἐπλάτυνάς με.»
(Ψαλ. δ΄. 2). Ἐν τούτοις μάλιστα τοῖς γυμνασίοις τὰς ψυχὰς ἀσκη-
θῶμεν· ἐπ᾽ ὀφθαλμοῖς γὰρ ὁρῶμεν τὸν ἀντίπαλον. Μὴ λυπηθῶμεν τῇ
ψυχῇ, ὡς διὰ τὴν ἀσθένειαν καὶ τὴν πληγὴν τοῦ σώματος μὴ δυνά-
μεναι εἰς εὐχὴν στῆναι, ἢ ψάλλειν μετὰ φωνῆς· πάντα ἡμῖν ταῦτα
ἠνύετο πρὸς καθαίρεσιν ἐπιθυμιῶν· καὶ γὰρ νηστεῖαι καὶ χαμευνίαι
διὰ τὰς αἰσχίστας ἡμῖν ἡδονὰς νενομοθέτηνται. Εἰ οὖν ἡ νόσος ταύ-
τας ἤμβλυνεν, περιττὸς ὁ πόνος· τί δὲ λέγω, περιττός; ὥσπερ γὰρ
μείζονί τινι καὶ ἰσχυροτέρῳ φαρμάκῳ τῇ νόσῳ, τὰ ὀλεθροφόρα συμ-
πτώματα κεκοίμηνται· καὶ αὕτη ἐστὶν ἡ μεγάλη ἄσκησις, τὸ ἐν ταῖς
νόσοις ἐγκαρτερεῖν, καὶ εὐχαριστηρίους ὕμνους ἀναπέμπειν τῷ κρείτ-
τονι. Ἀφαιρούμεθα ὀφθαλμούς, μὴ βαρέως ἐνέγκωμεν· ὅτι εἰ καὶ τὰ
τῆς ἀπληστίας ὄργανα ἀπεβάλομεν, ἀλλὰ τοῖς ἔνδον ὀφθαλμοῖς τὴν
δόξαν Κυρίου κατοπτριζόμεθα. Ἐκωφεύσαμεν; εὐχαριστήσωμεν, τὴν
ματαίαν ἀκοὴν τέλεον ἀποβαλόντες. Τὰς χεῖρας πεπόνθαμεν; ἀλλὰ
τὰς ἔνδον ἔχομεν εὐτρεπισθείσας πρὸς τὸν κατὰ τοῦ ἐχθροῦ πόλεμον.
Ἀῤῥωστία καθ᾽ ὅλον τὸ σῶμα κρατεῖ; ἀλλ᾽ ἡ κατὰ τοῦ ἔσω ἄνθρωπον
ὑγεία μᾶλλον αὔξει.



Ἐν κοινοβίῳ οὖσαι, τὴν ὑπακοὴν μᾶλλον τῆς ἀσκήσεως προκρίνω-
μεν· ἡ μὲν γὰρ ὑπεροψίαν διδάσκει, ἡ δὲ ταπεινοφροσύνην ἐπαγγέλ-
λεται· ἔστι δὲ καὶ ἐκ τοῦ ἐχθροῦ ἐπιτεταμένη ἄσκησις· καὶ γὰρ οἱ αὐ-
τοῦ μαθηταὶ τοῦτο ποιοῦσι. Πῶς οὖν διακρίνωμεν τὴν θείαν καὶ βασι-
λικὴν ἄσκησιν, τῆς τυραννικῆς καὶ δαιμονιώδους; δῆλον, ὡς ἀπὸ τῆς
συμμετρίας. Ἅπας σοι ὁ χρόνος εἷς κανὼν νηστείας ὑπαρχέτω· μὴ
τέσσαρας ἢ πέντε νηστεύσῃς, καὶ τὴν ἄλλην ἐν πλήθει τροφῶν κατα-
λύσῃς τὴν δύναμιν· τοῦτο ἡδὺ τῷ ἐχθρῷ. Πανταχοῦ γὰρ ἡ ἀμετρία
φθοροποιὸς τυγχάνει· μὴ ὑφ᾽ ἓν σοι τὰ ὅπλα ἀναλώσῃς, καὶ γυμνὴ
εὑρεθεῖσα ἐν τῷ πολέμῳ, εὐάλωτος γενήσῃ· τὰ ὅπλα ἡμῶν ἐστί, τὸ
σῶμα· ἡ δὲ ψυχὴ ὁ στρατιώτης· καὶ τῶν ἀμφοτέρων ἐπιμελοῦ πρὸς
τὰς χρείας. Νέος ὢν καὶ ὑγιής, νήστευσον· ἥξει γὰρ τὸ γῆρας μετὰ
ἀσθενείας· ὡς δύνῃ θησαύρισον τροφάς, ἵνα, μὴ δυνάμενος, εὕρῃς· νή-
στευε μετὰ λόγου καὶ ἀκριβείας· ὅρα μὴ ὁ ἐχθρὸς ὑπεισέλθῃ τῇ ἐμ-
πορίᾳ σου τῆς νηστείας. Καὶ τάχα οἶμαι περὶ τούτου τὸν Σωτῆρα εἰ-
ρηκέναι, τό, γίνεσθε δόκιμοι τραπεζῖται· τουτέστι τὸ βασιλικὸν χά-
ραγμα ἀκριβῶς γινώσκετε· εἰσὶ γὰρ καὶ παραχαράγματα. Καὶ ἡ μὲν
τοῦ χρυσοῦ φύσις ἡ αὐτή, διαφέρει δὲ τῷ χαράγματι· ὁ μὲν οὖν χρυ-
σός ἐστιν, ἡ νηστεία, ἡ ἐγκράτεια, ἡ ἐλεημοσύνη· ἀλλὰ καὶ Ἑλλή-
νων παῖδες τὴν τυραννικὴν ἑαυτῶν εἰκόνα, τούτοις ἐκτίθενται καὶ αἱ-
ρετικοὶ δὲ πάντες, διὰ τούτων σεμνύνονται· ὁρᾷν δὲ δεῖ τούτους καὶ
ἀποφεύγειν ὡς παραχαράκτας.

Βλέπε μὴ ἀγυμνάστως περιπεσὼν αὐτοῖς, ζημιωθῇς· δέχου οὖν
μετὰ ἀσφαλείας τὸν τοῦ Κυρίου Σταυρὸν ἐντετυπωμένον ταῖς ἀρεταῖς·
τουτέστι, πίστιν ὀρθὴν μετὰ σεμνῶν πράξεων· ἄλλως γὰρ ἀδύνατον
σωθῆναι. Δεῖ ἡμᾶς πάσῃ διακρίσει κυβερνᾶν τὴν ψυχήν, καὶ ἐν κοι-
νοβίῳ οὔσας, μὴ τὰ ἑαυτῶν ζητεῖν, μήτε μὴν οἰκείᾳ δουλεύειν γνώμῃ,
ἀλλὰ τῇ κατὰ πίστιν μητρὶ πειθαρχεῖν. Ἐξορίᾳ ἑαυτὰς παρεδώκαμεν,
τουτέστι τῶν κοσμικῶν ὅρων ἔξω ἐγενόμεθα· οὐκοῦν ἐκβεβλήμεθα·
μὴ τὰ αὐτὰ ζητήσωμεν. Ἐκεῖ δόξαν εἴχομεν, ὧδε ὀνειδισμόν. Ἐκεῖ
δαψίλειαν τροφῶν, ἐνταῦθα καὶ τοῦ ἄρτου ἔνδειαν. Ἐν τῷ κόσμῳ οἱ
πταίοντες, καὶ μὴ βουλόμενοι ἐν φυλακῇ βάλλονται· καὶ ἡμεῖς διὰ
τὰς ἁμαρτίας ἑαυτῶν ἑαυτὰς φυλακίσωμεν, ἵνα τὸ ἑκούσιον τῆς γνώ-
μης τὴν μέλλουσαν κόλασιν ἀποσοβήσῃ. Νηστεύεις; μὴ προφασίσῃ
νόσον· καὶ γὰρ οἱ μὴ νηστεύοντες τοῖς αὐτοῖς περιέπεσον νοσήμασιν.
Ἤρξω τοῦ καλοῦ; μὴ ἀναχαιτίσῃς, τοῦ ἐχθροῦ σε ἐγκόπτοντος· αὐ-
τὸς γὰρ τῇ ὑπομονῇ σου καταργεῖται. Καὶ γὰρ οἱ πλέειν ἀρχόμενοι,
πρῶτον μὲν δεξιοῦ πνεύματος τυγχάνουσιν, ἁπλώσαντες τὰ ἱστία· αὐ-

www.tezaurliturgic.ro



θις δὲ ἐναντιος ἄνεμος αὐτοῖς ἀπαντᾷ· ἀλλ᾽ οἱ ναυτίλοι διὰ τὸ παραπεσὸν πνεῦμα, οὐκ ἀποσκευάζουσι τὴν ναῦν· μικρὸν δὲ ἡσυχάσαντες, ἢ καὶ ἀπομαχεσάμενοι τῇ ζάλῃ, τὸν πλοῦν ποιοῦνται· οὕτω καὶ ἡμεῖς ἐναντίου πνεύματος προσπεσόντος, τὸν Σταυρὸν ἀντὶ ἱστίου τανύσασαι, ἀδεῶς τὸν πλοῦν ἐκτελέσωμεν.

Ταῦτα τῆς σεμνῆς καὶ παναρέτου Συγκλητικῆς τὰ διδάγματα· καὶ μᾶλλον πράξεις ἢ ῥήματα· καὶ ἄλλα δὲ πολλὰ καὶ μεγάλα ὑπ᾽ αὐτῆς ἐγνωρίσθη, πρὸς ὠφέλειαν τῶν ἀκουσάντων τε καὶ θεασαμένων. Τοσοῦτον δὲ πλῆθος ἀγαθῶν ἐξ αὐτῆς ἐβλάστησεν, ὅσον ἀνθρωπίνη γλῶσσα ἀπορήσειεν ἂν ἐκφράσαι. Ὁ δὲ μισόκαλος διάβολος μὴ φέρων τὴν τοσαύτην τῶν καλῶν ἀφθονίαν, ἐξετήκετο, καὶ εἰς ἑαυτὸν ἐδραματούργει, ὅπως ἂν δυνηθείη ἐπιθολῶσαι τὴν τῶν χρηστῶν ἀνατολήν. Καὶ λοιπὸν ἐξαιτεῖται πρὸς τὸν τελευταῖον ἀγῶνα τὴν γενναιοτάτην παρθένον· καὶ τοσοῦτον αὐτὴν τῇ ἔχθρᾳ ἀμύνεται, ὡς μηδὲ τῶν ἔξωθεν μελῶν ἐνάρξασθαι τῆς πληγῆς· ἀλλὰ τῶν ἐνδοσθίων ἁψάμενος, βαθεῖαν αὐτῇ τὴν ἀλγηδόνα ἀπένειμεν, ὡς ἀπαραμύθητον αὐτὴν ἐκ τῆς τῶν ἀνθρώπων ἐπικουρίας γενέσθαι. Καὶ πρῶτον μέν, τὸ ἀναγκαιότατον ἐν ζωῇ πλήττει μόριον, τὸν πνεύμονα, καὶ διὰ νόσων ὀλεθροφόρων κατ᾽ ὀλίγον ἐξάπτει τὴν κακίαν. Ἐνεχώρει μὲν γὰρ καὶ ἐν ὀλίγῳ διὰ τῆς ἐξαιτήσεως συντέμνειν αὐτῆς τὴν τελευτήν· ἀλλ᾽ ὥσπερ αἱμοβόρος δήμιος διὰ πολλῶν πληγῶν καὶ χρόνου μακροῦ, τὴν οἰκείαν δεινότητα ἐνδείκνυται. Κατὰ μικρὸν γὰρ ἀναλύων τὸν πνεύμονα, διὰ τῶν ἀναγομένων πτυσμάτων, τοῦτον ἀπέβαλεν. Παρῆσαν δὲ καὶ πυρετοὶ ἀδιάλειπτοι, ῥίνης δίκην ἀποδαπανῶντες τὸ σῶμα.

Ὀγδοηκοστὸν μὲν οὖν ἦγεν ἔτος, ὅτε ὁ διάβολος τὰ τοῦ Ἰὼβ ἆθλα εἰς ταύτην μετέφερεν· αὐταῖς μὲν γὰρ καὶ τότε ἐκέχρητο ταῖς μάστιξιν· ἀλλ᾽ ἐπὶ τοῦ παρόντος συντέμνει τόν χρόνον, φορτικωτέρας ποιούμενος τὰς ἀγληδόνας. Πέμπτον μὲν γὰρ καὶ τριακοστὸν ἔτος ὁ μακάριος Ἰὼβ ἐν τῇ πληγῇ πεποίηκεν· ἐνταῦθα δὲ ὁ ἐχθρὸς ὥσπερ ἀπαρχάς τινας τοὺς τῶν δεκάδων χρόνους ἀποσυλήσας, πρὸς τὰς πληγὰς συνάπτει τῷ ἱερῷ ταύτης σώματι· τρία γὰρ ἥμισυ ἔτη, διὰ τῶν εὐκλεῶν τούτων πόνων τῷ ἐχθρῷ ἀπεμαχέσατο· ἐπὶ μὲν τοῦ Ἰώβ, ἐκ τῶν ἔξω τὰς ἀρχὰς τῶν τραυμάτων ἐποιεῖτο ὁ διάβολος· ἐπὶ δὲ ταύτης, ἐκ τῶν ἔσω πρόσεισι ταῖς τιμωρίαις· τῶν γὰρ ἐνδοσθίων μελῶν αὐτῆς ἁψάμενος, μείζονας αὐτῇ καὶ χαλεπωτέρας τὰς ἀλγηδόνας ἀπένειμεν· οὐχ οὕτως, οἶμαι, τοὺς γενναιοτάτους ἐνηθληκέναι μάρτυρας, ὡς τὴν ἀοίδιμον Συγκλητικήν· ἐκείνοις μὲν γὰρ ἐκ τῶν ἔξω προσῄει ὁ παλαμναῖος· κἂν τε γὰρ ξίφος, κἂν τε πῦρ αὐτοῖς προσέφερεν, ἠπιώτερον ὑπῆρχε τῶν παρόντων αὐτῇ πειρατηρίων. Ἀντὶ μὲν γὰρ καμίνου πεπυρωμένης τὰ σπλάγχνα αὐτῆς ὑπέκαιεν, ἐκ τῶν ἔσω τὸ πῦρ κατ᾽ ὀλίγον ἐξάπτων, καὶ ῥίνης δίκην διὰ μακροῦ χρόνου ἀπεδαπάνα τὸ σῶμα· καὶ ἔστιν ἀληθῶς εἰπεῖν βαρὺ τοῦτο καὶ ἀπάνθρωπον. Καὶ γὰρ οἱ τὰς δικαστικὰς ἐμπεπιστευμένοι ἀρχάς, ὁπηνίκα ἂν βουληθῶσι τοῖς ἁμαρτήσασι βαρυτέρας ἐπιθεῖναι τιμωρίας, διὰ βληχροτάτου πυρὸς τούτους ἀναλίσκουσιν· οὕτως οὖν καὶ ὁ ἐχθρὸς ἐκ τῶν ἔνδον ὥσπερ ὑπομυχόμενον τὸν πυρετὸν κινῶν, ἄπαυστον ἐν νυκτὶ καὶ μεθ᾽ ἡμέραν ἐποιεῖτο τὴν τιμωρίαν. Καὶ ταύτην δὲ τὴν πληγὴν γενναίως ὑποφέρουσα, οὐ συνέπιπτε τῷ φρονήματι· ἀλλά γε πάλιν ἡ μακαρία κατὰ τοῦ ἐχθροῦ ἠγωνίζετο. Καὶ γοῦν πάλιν ταῖς ἀγαθαῖς διδασκαλίαις, τοὺς ὑπ᾽ αὐτοῦ τραυματιζομένους ἰᾶτο· καὶ γὰρ ὥσπερ ἐκ λέοντος αἱμοβόρου, τὰς ψυχὰς ἀπλήγους ἀπέσπα. Ἐθεράπευε δὲ τοὺς τραυματίας, τοῖς σωτηρίοις τοῦ Κυρίου φαρμάκοις· τινὰς δὲ καὶ ἀτρώτους διεφύλαττεν· ὑποδεικνύουσα γὰρ αὐτοῖς τοῦ κακομηχάνου διαβόλου τὰς δολερὰς παγίδας, ἐλευθέρους ἐποιεῖτο τῆς ἁμαρτίας. Ἔλεγε δὲ ἡ θαυμασία, ὡς μὴ δέον ἀμεριμνεῖν τὰς Θεῷ ἀνακειμένας ψυχάς· ταύταις γὰρ μάλιστα ἀντίκειται ὁ ἐχθρός. Καὶ γὰρ ἡσυχαζουσῶν αὐτῶν, βρύχει, καὶ ἡττωμένας ἀνιᾶται· καὶ μικρὸν ἀποχωρήσας, ἐπιτηρεῖ, κἂν βραχύ τι ἀφυπνώσωσιν, οὗτος ἐπεισέρχεται· καὶ δι᾽ ὧν νομίζει τις ἔχειν τὸ ἀμέριμνον, διὰ τούτων αὐτὸν ὑποσκελίζει. Ὥσπερ γὰρ ἀδύνατον τοὺς πάνυ φαύλους, μὴ ἔχειν κἂν σπινθῆρα καλοῦ, οὕτω τὸ ἐναντίον τοῖς χρηστοῖς πρόσεστι· τῶν γὰρ μαχομένων μοῖρά τις ἐν τοῖς ἀντικειμένοις μέρεσι τυγχάνει. Πολλάκις γοῦν ἄνθρωπος παντὶ αἰσχίστῳ περιεστοίχισται, καὶ πάσῃ ἀκολασίᾳ συμπέφυρται, ἀλλ᾽ ὅμως ἐλεήμων τυγχάνει· καὶ ἐν σπουδαίοις δὲ πολλάκις ἐμπολιτεύεται σωφροσύνη, νηστεία, ἐπίπονος ἄσκησις· εἰσὶ δὲ φειδωλοὶ τυχὸν καὶ κατάλαλοι.



Δεῖ οὖν τῶν σμικρῶν μὴ ἀμελεῖν, ὡς μὴ δυναμένων βλάπτειν· καὶ
γὰρ ὕδωρ λίθον τῷ χρόνῳ διέλυσε. Τὰ μὲν οὖν μέγιστα τῶν ἐν ἀνθρώ-
ποις καλῶν ἐκ θείας χάριτος αὐτοῖς προσγίνεται· τὰ δὲ δοκοῦντα σμι-
κρὰ τυγχάνειν, δι᾽ ἑαυτῶν ἀποσοβεῖν δεδιδάγμεθα. Ὁ οὖν τῷ μεγάλῳ
διὰ τῆς χάριτος ἀπομαχεσάμενος, τοῦ δὲ σμικροῦ καταφρονήσας με-
γάλως βλαβήσεται. Ὁ γὰρ Κύριος ἡμῶν, ὥσπερ γνήσιος Πατήρ, ἀρ-
τίως τῶν παιδίων αὐτοῦ ὁρμώντων πρὸς βάδισιν, ὀρέγει τὴν χεῖρα·
καὶ κατὰ πᾶν ὁτιοῦν τῶν μεγάλων ἡμᾶς κινδύνων ῥυόμενος εἰς τὰ
μικρὰ συγχωρεῖ ἡμῖν ἀφ᾽ ἑαυτῶν κινεῖσθαι, καθάπαρ ποσί, τούτοις,
τὴν γνώμην δεικνὺς ἐλευθέραν· ὁ γὰρ πρὸς τὰ μικρὰ εὐάλωτος, πῶς

www.tezaurliturgic.ro



ἄν τὰ μείζω φυλάξαι δυνηθείη; Πάλιν οὖν ὁρῶν αὐτὴν διϊσχυριζομένην καθ᾽ ἑαυτοῦ ὁ μισόκαλος ἤχθετο· καὶ ὁρῶν τὴν ἑαυτοῦ τυραννίδα καθαιρουμένην, ἕτερόν τινα μηχανᾶται κακίας τρόπον, καὶ πλήττει τὰ φωνητικὰ ὄργανα, πρὸς τὸ τὸν προφορικὸν ἐκκόψαι λόγον, δοκῶν διὰ τούτου λιμαγχωνῆσαι τῶν θείων λόγων τὰς συνερχομένας. Ἀλλ᾽ εἰ καὶ τὴν ἀκοὴν τῆς ὠφελείας ἐστέρησεν, ἐν τῷ μείζονι τὸ κέρδος δεδώρηται· τῇ γὰρ ὄψει τοῖς πάθεσιν ἐνατενίζουσαι, μᾶλλον ἐκραταιοῦντο τὴν γνώμην. Τὰ γὰρ ἐκείνης τοῦ σώματος τραύματα, τὰς πεπληγμένας ψυχὰς ἰᾶτο, καὶ ἦν ἰδεῖν προφυλακὴν καὶ θεραπείαν τῶν θεωμένων, τὴν τῆς μακαρίας μεγαλοψυχίαν τε καὶ καρτερίαν. Πρόφασιν μὲν οὖν αὐτῇ τῆς πληγῆς ποιεῖται ταύτην ὁ ἐχθρός· μίαν γὰρ μύλην ὀδυνήσας, σήπει παραυτὰ τὸ οὖλον· καὶ ἐκπίπτει μὲν τὸ ὀστέον, ἡ δὲ νομὴ διατρέχει εἰς ἅπασαν τὴν γένον, καὶ γίνεται φθορὰ τῶν ὑποκειμένων σωμάτων· καὶ ἐν τεσσαράκοντα ἡμέραις τερηδονίζεται τὸ ὀστέον, καὶ μετὰ διμηναῖον χρόνον γίνεται ἔκτρησις. Μελανθέντες οὖν ἦσαν οἱ πέριξ τόποι ἅπαντες· τὸ δὲ ὀστέον καὶ αὐτὸ φθαρέν, κατ᾽ ὀλίγον ἐδαπανᾶτο· σῆψις δὲ καὶ βαρυτάτη δυσωδία καθ᾽ ὅλον τὸ σῶμα ἐκράτει· ὥστε τὰς ὑπουργούσας πλέον αὐτῆς πάσχειν. Καὶ τὸν μὲν πλείονα χρόνον ἐχωρίζοντο, μὴ φέρουσαι τὴν ἀπάνθρωπον ὀσμήν· ὅτε δὲ ἡ χρεία ἐκάλει, θυμιαμάτων ὑπεκκαίουσαι πλῆθος, προσῄεσαν, καὶ αὖθις ὑπεχώρουν διὰ τὸ τῆς δυσωδίας ἀφόρητον. Ἡ δὲ μακαρία προφανῶς ἐθεώρει τὸν ἀντίπαλον, καὶ οὐδόλως συνεχώρει αὐτῇ ἀνθρώπινον προσαχθῆναι βοήθημα· δεικνύουσα καὶ ἐν τούτῳ τὴν οἰκείαν ἀνδρίαν. Ὡς δὲ αἱ συνελθοῦσαι παρεκάλουν κἂν μύροις τοὺς τόπους ὑπαλεῖψαι διὰ τὴν ἑαυτῶν ἀσθένειαν, οὐκ ἐπείθετο· ἡγεῖτο γὰρ διὰ τῆς συμμαχίας τῶν ἐκτός, καθαιρεῖσθαι τοῦ ἐνδόξου ἀγῶνος. Καὶ δή τινα ἰατρὸν αἱ συνελθοῦσαι μεταστέλλονται, ὡς, εἴ γε δυνηθείη, κἂν αὐτὸς πεῖσαι θεραπείας τυχεῖν. Ἡ δὲ πάλιν οὐκ ἠνείχετο, λέγουσα· τί με τῆς ἀγαθῆς πάλης ταύτης ἐγκόπτετε; Τί ζητεῖτε τὸ φαινόμενον, ἀγνοοῦσαι τὸ κρυπτόμενον; Τί πολυπραγμονεῖτε τὸ γινόμενον, τὸν ποιοῦντα μὴ θεωροῦσαι; Καὶ πρὸς αὐτήν φησιν ὁ παρὼν ἰατρός· οὐχ ἕνεκεν θεραπείας τινὸς ἢ παραμυθίας προσφέρομεν φάρμακα, ἀλλ᾽ ἵνα τὸ ἠλλοτριωμένον καὶ νεκρὸν μόριον κατὰ τὴν συνήθειαν θάψωμεν, πρὸς τὸ μὴ τοὺς παρόντας συνδιαφθαρῆναι· ὅπερ γὰρ τοῖς τεθνεῶσι προσάγουσι, τοῦτο καὶ ἡμεῖς νῦν ποιοῦμεν· ἀλόην ἅμα σμύρνῃ καὶ μυρσίνῃ οἴνῳ δεύσας προστίθημι. Ἡ δὲ ἀποδεξαμένη τὴν συμβουλίαν ἠνείχετο, τὰς συνελθούσας μᾶλλον ἐλεήσασα· ἐκαθαίρετο γὰρ ἐκ τούτου ἡ ἀμετρία τῆς δυσωδίας.



Τίς οὐκ ἔφριξε τὴν τηλικαύτην πληγὴν θεασάμενος; Τίς οὐκ ὠφελήθη, θεωρῶν τὴν καρτερίαν τῆς μακαρίας, καὶ ἐν ταύτῃ τὴν κατάπτωσιν τοῦ ἐχθροῦ ἐννοήσας; Ἐκεῖ μὲν γὰρ ἔστησε τὴν πληγήν, ὅθεν ἡ σωτήριος καὶ γλυκυτάτη τῶν λόγων προῄει πηγή· καὶ τὸ ὑπερβάλλον αὐτοῦ τῆς δεινότητος πᾶσαν παράκλησιν ἀπεσκέδασεν. Ὥσπερ γὰρ θηρίον αἱμοβόρον, πᾶσαν τῶν συνερχομένων τὴν σπουδὴν ἀπεσόβησε, πρὸς τὸ σπαρᾶξαι τὸ προσπεσὸν θήραμα· καὶ θοίνην ζητῶν, βορὰ γέγονε· ἐδελεάσθη γὰρ ὥσπερ δι᾽ ἀγκίστρου τῇ τοῦ σώματος ἀσθενείᾳ. Γυναῖκα ὁρῶν, κατεφρόνει· ἠγνόει γὰρ αὐτῆς τὸ ἀνδρεῖον φρόνημα· νοσοῦντα τὰ μέλη κατεμάνθανεν· ἐτύφλωττε γάρ, τὸν ἰσχυρότατον αὐτῆς λογισμὸν κατοπτεῦσαι μὴ δυνάμενος. Μησὶ μὲν οὖν τρισὶ καὶ πρὸς τοῦτον τὸν ἀγῶνα ἐνήθλησε· δυνάμει δὲ θείᾳ τὸ ὅλον παρεκρατεῖτο σῶμα· τὰ γὰρ συντελοῦντα πρὸς τὴν διαμονὴν αὐτοῦ ἐμεμείωτο. Ἀτροφία μὲν οὖν παρῆν· πῶς γὰρ ἠδύνατο σιτίων μεταλαβεῖν, τοσαύτης σήψεως καὶ δυσωδίας κρατούσης; Ἀποκεχώριστο δὲ ἀπ᾽ αὐτῆς καὶ ὁ ὕπνος ὑπὸ τῶν ἀλγηδόνων ἐκκοπτόμενος. Ὅτε δὲ αὐτῆς τὸ πέρας τῆς νίκης καὶ τοῦ στεφάνου ἐγγὺς ἐγένετο, καὶ ὀκτακοσίας ἐθεώρησε καὶ ἀγγέλων ἐπιστασίας, καὶ παρθένων ἁγίων προτροπὰς εἰς τὴν ἄνοδον, καὶ ἐλλάμψεις ἀνεκλαλήτου φωτός, καὶ παραδείσου χῶρον· καὶ μετὰ τὴν θέαν τούτων, ὥσπερ εἰς ἑαυτὴν γενομένη, κατήγγειλε ταῖς παρούσαις, γενναίως τε φέρειν, καὶ μὴ ὀλιγωρεῖν πρὸς τὸ παρόν. Εἶπε δὲ αὐταῖς, καὶ ὡς ὅτι μετὰ τρεῖς ἡμέρας χωρισθήσομαι τοῦ σώματος· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὴν ὥραν τῆς ἀφίξεως τῶν ἐνταῦθα ἐδήλωσε. Καὶ συντελεσθέντος τοῦ χρόνου, ἀπῆλθεν ἡ μακαρία Συγκλητικὴ πρὸς τὸν Κύριον, ἔπαθλον τῶν ἀγώνων παρ᾽ αὐτοῦ δεξαμένη τὴν τῶν οὐρανῶν βασιλείαν· εἰς δόξαν καὶ ἔπαινον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρί, ἅμα τῷ παναγίῳ Πνεύματι· εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

www.tezaurliturgic.ro

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ

ΣΥΝΤΑΓΜΑ ΠΡΟΣ ΤΙΝΑ ΠΟΛΙΤΙΚΟΝ ΠΑΝΥ ΩΦΕΛΙΜΩΤΑΤΟΝ

## ΕΙΣ ΚΕΦΑΛΑΙΑ ΔΕΚΑ

Ἐπειδή σοι τῷ περιδεξίῳ καὶ μεγαλεπιβόλῳ τῆς φύσεως μετὰ τῆς τῶν τακτικῶν ἐμπειρίας τε καὶ μαθήσεως, ἔτι δὲ καὶ τῆς τῶν πολιτικῶν πραγμάτων ἀκριβοῦς μεταλήψεως, οὐδὲ τὰ τῶν ἱερέων λόγια ἀμελετήτως παρεώρασαι, ἀλλ᾽ ἔτι τοσοῦτόν σοι καὶ ταῦτα πεφιλοπόνηται, ὥστε τὸ σῶμα πολλάκις σιτίοις τρέφων, οὐδὲ τὴν ψυχὴν ἀποστερεῖς τῆς ἐκ τῶν λόγων σιτίσεως· ἀλλ᾽ ὡς ἀνά τινι θείῳ ἅλατι τοῖς τῶν Πατέρων ἀποφθέγμασι, καὶ ταῖς ἐπιτραπεζίοις παραρτύοις ὁμιλίαις· ἰδοὺ καὶ αὐτός, μικρὰ τινὰ συνοψίσας τῶν χρησίμων καὶ λυσιτελῶν, καὶ ἀναγινώσκων πάντα μὲν χριστιανόν, πλέον δὲ τοὺς ὅσοι καὶ βίῳ, καὶ λόγῳ, καὶ εὐγενείᾳ, καὶ ἀξιώματι ὑπερανεστήκασιν ὕψει, οἷόν τι δῶρον αὐτοσχεδιάσας ἀνδρὶ φιλολόγῳ καὶ φιλοθέῳ μάλιστα πρέπον, ὦ φίλων ἄριστε, τὸ παρόν σοι προσενήνοχα σύνταγμα, ἐκ διαφόρων μὲν Πατέρων καὶ ἀκροατικῶν λόγων ἀπανθισθέν, ἀκαταφρόνητον δὲ τὴν γνῶσιν τοῖς μετιοῦσιν ἐμποιοῦν· διάγνωσιν γὰρ ὁμοῦ καὶ διαίρεσιν τοῦ τριμεροῦς τῆς ἐν ἡμῖν ἔχει ψυχῆς, καθὼς πάντες κινούμεθα ἄνθρωποι, καὶ πῶς πρὸς σωτηρίαν ἢ ἀπώλειαν συνωθούμεθα. Ὁρίζει δὲ τοὺς λογισμούς, δι᾽ ὧν πᾶσα ἁμαρτία τελεῖται· διαιρεῖ δὲ καὶ τὰ ἐν ἡμῖν πάθη, τίνα μὲν ψυχικά, τίνα δὲ τοῦ σώματος. Ἐφεξῆς δὲ καὶ τοὺς τρόπους ὑποτίθεται τῆς τοῦ Θεοῦ προνοίας. Εἶτα καὶ περὶ τῆς τοῦ ἀνθρώπου αὐτεξουσιότητος διαλαμβάνει, καὶ τῆς ἡμῶν ἐν τοῖς πράγμασι παραχρήσεως· συνοψίζει δὲ καὶ τὴν ἐν τῇ ἁγίᾳ καὶ μακαρίᾳ Τριάδι πίστιν. Ἔτι δὲ καὶ ὅπως δεῖ πιστεύειν περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, περὶ διαφορᾶς τε ἀρετῆς, καὶ διακρίσεως τῆς τῶν πραγμάτων διδάσκει φύσεως. Καὶ ὅλως ἐπίτομός τίς ἐστι γνῶσις ἡμῶν τε καὶ αὐτῶν, καὶ τῆς τῶν καθ᾽ ἡμᾶς φύσεώς τε καὶ πίστεως. Ὃ δὴ καὶ περιφέρων εἰς χεῖρας, ἐπιμελέστε-



ρόν τε μετιών, καὶ τὴν ἐντεῦθεν καρπούμενος ὄνησιν, οὐκ ἀμνημονήσεις, εὖ οἶδ᾽ ὅτι, τοῦ αὐτοχειρίᾳ καὶ γεγραφότος, καὶ δεδωκότος.

### Διάγνωσις τοῦ τριμεροῦς τῆς ψυχῆς.

Ὅτι πᾶσα ψυχὴ λογικὴ τρία μέρη κέκτηται· λογισμόν, θυμὸν καὶ ἐπιθυμίαν· ἐὰν ἔστιν ἐν τῷ θυμῷ, ἀγάπη καὶ φιλανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ καθαρότης καὶ σωφροσύνη, ὁ λογισμός ἐστι πεφωτισμένος· ἐὰν δέ ἔστιν ἐν τῷ θυμῷ μισανθρωπία καὶ ἐν τῇ ἐπιθυμίᾳ ἀκολασία, ὁ λογισμός ἐστιν ἐσκοτισμένος. Ὁ μὲν οὖν λογισμὸς τότε ὑγιαίνει, καὶ σωφρονεῖ, ὅταν τὰ πάθη ἔχῃ ὑποτεταγμένα, καὶ τοὺς λόγους τῶν κτισμάτων τοῦ Θεοῦ πνευματικῶς θεωρῇ, καὶ πρὸς τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα διάγῃ. Ὁ θυμὸς δὲ πάλιν τότε κινεῖται κατὰ φύσιν, ὅταν πάντας ἀνθρώπους ἀγαπᾷ, καὶ πρὸς οὐδένα αὐτῶν λύπην ἢ μνησικακίαν κέκτηται. Ἡ δὲ ἐπιθυμία, ὅταν ὑπὸ ἐγκρατείας, καὶ ταπεινοφροσύνης, καὶ ἀκτημοσύνης νεκρώσῃ τὰ πάθη, τουτέστι, μὴ ᾖ δούλη σαρκὸς ἐσχημάτισται, καὶ δόξης παρεχομένης ἔφεσιν, καὶ τραπῇ πρὸς τὸν θεῖον καὶ ἀθάνατον ἔρωτα. Καὶ γὰρ ἡ ἐπιθυμία πρὸς τρία τὴν κίνησιν ἔχει· ἢ πρὸς ἡδονὴν σαρκός, ἢ πρὸς δόξαν κενήν, ἢ πρὸς ἀπάτην χρημάτων· καὶ διὰ τὴν παράλογον ταύτην ἔφεσιν καταφρονεῖ τοῦ Θεοῦ, καὶ τῶν θείων, καὶ τῆς οἰκείας εὐγενείας ἐπιλανθάνεται, καὶ πρὸς τὸν πλησίον ἐκθηριοῦται, καὶ τὸν λογισμὸν σκοτίζει, καὶ οὐ συγχωρεῖ ἀναβλέψαι πρὸς τὴν ἀλήθειαν. Ὧν ὁ ἀνώτερον κτησάμενος φρόνημα ἀπ᾽ ἐντεῦθεν ἀπολαύει τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ζῇ μακαρίαν ζωήν, προσδοκῶν τὴν ἀποκειμένην μακαριότητα τοῖς ἀγαπῶσι τὸν Κύριον.

### Διαίρεσις καὶ ὑποδιαίρεσις λεπτομερὴς τῆς ψυχῆς.

Ἡ ψυχὴ διαιρεῖται εἰς τὸ λογιστικόν, τὸ θυμικόν, καὶ τὸ ἐπιθυμητικόν. Τοῦ λογιστικοῦ τὰ ἁμαρτήματά εἰσι ταῦτα· ἡ ἀπιστία, ἡ αἵρεσις, ἡ ἀφροσύνη, ἡ ἀδιακρισία, ἡ βλασφημία, αἱ συγκαταθέσεις τῶν ἁμαρτημάτων τῶν ἐκ τοῦ παθητικοῦ μέρους. Ἴασις δὲ τούτων καὶ θεραπεία, ἡ ἀδίστακτος πίστις πρὸς τὸν Θεὸν καὶ τὰ ἀληθινὰ δόγματα, ἡ συνεχὴς μελέτη τῶν θείων λογίων τοῦ Πνεύματος, ἡ καθαρὰ προσευχή, καὶ ἡ ἀδιάλειπτος πρὸς Θεὸν εὐχαριστία. Τοῦ θυμικοῦ τὰ ἁμαρτήματα ἡ ἀσπλαγχνία, τὸ μῖσος, τὸ ἀσυμπαθές, τὸ μνησίκακον, ὁ φθόνος, ὁ φόνος καὶ ἡ συνεχὴς περὶ τὰ τοιαῦτα μελέτη. Ἴασις τούτων καὶ θεραπεία, ἡ φιλανθρωπία, ἡ ἀγάπη, ἡ φιλαδελφία, ἡ συμπάθεια, ἡ ἀνεξικακία, ἡ χρηστότης. Τοῦ ἐπιθυμητικοῦ τὰ ἁμαρτήματα ἡ γα-

www.tezaurliturgic.ro



στριμαργία· ἡ πορνεία, ἡ ἀκαθαρσία, ἡ ἀσέλγεια, ἡ φιλοχρηματία, ἡ τῆς δόξης ἐπιθυμία. Ἴασις τούτων καὶ θεραπεία, ἡ ἐγκράτεια, ἡ νηστεία, ἡ κακοπάθεια, ἡ ἀκτημοσύνη, ὁ τῶν χρημάτων πρὸς πένητας σκορπισμός, ἡ τῶν ἀθανάτων ἐκείνων ἔφεσις, ἡ τῆς βασιλείας τοῦ Θεοῦ ὄρεξις, καὶ ἡ τῆς υἱοθεσίας ἐπιθυμία.

## Διάγνωσις τῶν λογισμῶν, δι' ὧν πᾶσα ἁμαρτία τελεῖται.

Ὀκτώ εἰσι πάντες οἱ περιεκτικοὶ λογισμοί. Πρῶτος ὁ τῆς γαστριμαργίας· δεύτερος ὁ τῆς πορνείας· τρίτος ὁ τῆς φυλαργυρίας· τέταρτος ὁ τῆς ὀργῆς· πέμπτος ὁ τῆς λύπης· ἕκτος ὁ τῆς ἀκηδίας· ἕβδομος ὁ τῆς κενοδοξίας· ὄγδοος ὁ τῆς ὑπερηφανίας. Τούτους πάντας τοὺς λογισμοὺς παρενοχλεῖν μὲν ἡμῖν ἢ μὴ παρενοχλεῖν τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν· ἐμμένειν δέ, ἢ πάθη κινεῖν, ἢ μὴ κινεῖν, ὁμοίως τῶν ἐφ' ἡμῖν· ἄλλο δέ ἐστι προσβολή, καὶ ἄλλο συνδυασμός, καὶ ἄλλο πάθος, καὶ ἄλλο πάλη, καὶ ἄλλο συγκατάθεσις, καὶ ἄλλο ἐνέργεια. Καὶ προσβολὴ μέν ἐστιν ἡ ἁπλῶς γινομένη τοῦ ἐχθροῦ ὑπόμνησις· οἷον, ποίησον τόδε, ἢ τόδε· ὡς ἐπὶ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. «Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.» Τοῦτο, ὡς εἴρηται, οὐκ ἐφ' ἡμῖν. Συνδυασμὸς δέ ἐστιν ἡ παραδοχὴ τοῦ ὑποβαλλομένου λογισμοῦ παρὰ τοῦ ἐχθροῦ· οἷον ἡ μετ' αὐτοῦ μελέτη καὶ ὁμιλία ὑπὲρ τῇ προαιρέσει ἡμῶν. Πάθος δέ ἐστιν ἡ ὑπὸ τοῦ συνδυασμοῦ ἕξις γινομένη παρὰ τοῦ ἐχθροῦ ὑποβαλλομένου πάθους· καὶ οἷον ἡ συνοχή, μελέτη, καὶ φαντασία. Πάλη δέ ἐστιν ἡ ἀντίστασις, ἢ πρὸς ἀναίρεσιν τοῦ λογισμοῦ τοῦ πάθους, ἢ πρὸς συγκατάθεσιν, καθώς φησιν ὁ Ἀπόστολος· «Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις.» Συγκατάθεσις δὲ ἡ κατάνευσις πρὸς τὸ πάθος τοῦ λογισμοῦ· ἐνέργεια δὲ ἡ αὐτὴ πρᾶξις. Ἀναιρεῖται δὲ ὑπὸ μὲν τῆς ἐγκρατείας ἡ γαστριμαργία, ὑπὸ δὲ τοῦ θείου πόθου καὶ τῆς τῶν μελλόντων ἐφέσεως ἡ πορνεία· ὑπὸ δὲ τῆς συμπαθείας τῆς πρὸς τοὺς πένητας, ἡ φυλαργυρία· ὑπὸ δὲ τῆς ἀγαθότητος καὶ τῆς πρὸς πάντας ἀγάπης, ἡ ὀργή· ὑπὸ δὲ τῆς πνευματικῆς χαρᾶς, ἡ κοσμικὴ λύπη· ὑπὸ δὲ τῆς ὑπομονῆς, καὶ καρτερίας, καὶ τῆς πρὸς Θεὸν εὐχαριστίας, ἡ ἀκηδία· ὑπὸ δὲ τῆς κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ τῆς συνεχοῦς προσευχῆς, ἡ κενοδοξία· ὑπὸ δὲ τοῦ μὴ κρίνειν τινά, ἢ ἐξουθενεῖν, ὡς ὁ μεγάλαυχος Φαρισαῖος, ἀλλ' ἡγεῖσθαι ἑαυτὸν ἔσχατον πάντων, ἡ ὑπερηφανία. Τούτων οὖν τῶν εἰρημένων παθῶν ὁ νοῦς ἐλευθερωθείς, καὶ πρὸς Θεὸν ἀνυψωθείς, ἀπεντεῦθεν ζῇ τὴν μακαρίαν ζωήν, τὸν ἀρραβῶνα δεχόμενος τοῦ Πνεύματος· καὶ τῶν ἐντεῦθεν ἀποδημήσας μετὰ ἀπαθείας καὶ γνώσεως ἀληθοῦς, παρίσταται τῷ φωτὶ τῆς ἁγίας καὶ μακαρίας Τριάδος, εἰς αἰῶνας ἀπεράντους, μετὰ τῶν ἁγίων Ἀγγέλων καταλαμπόμενος.



## Διάθεσις τῶν παθῶν.

Τῶν παθῶν τὰ μέν ἐστι σωματικά, τὰ δὲ ψυχικά. Καὶ σωματικὰ μὲν λέγομεν γαστριμαργίαν, πορνείαν, μέθην, ἀσέλγειαν· ψυχικὰ δέ, μῖσος πρὸς τὸν πλησίον, φθόνος, ἔρις, κενοδοξία, ὑπερηφανία. Ταῦτα δὲ ἐνεργοῦσιν εἰς τὴν ἡμετέραν ψυχήν, ἀπούσης ἀγάπης καὶ ἐγκρατείας· παρούσης δὲ ἀγάπης καὶ ἐγκρατείας, ταῦτα πάντα ἐξαφανίζονται· τὰ μὲν ὑπὸ ἀγάπης πνευματικῆς, τὰ δὲ ὑπὸ νηστείας καὶ ἐγκρατείας· τότε γὰρ ὁ νοῦς, καὶ τὸ οἰκεῖον φῶς ἀπολαμβάνει, καὶ τὸν Θεὸν ἀπερεμποδίστως ὁρᾷ.

## Περὶ τῆς τοῦ Θεοῦ Προνοίας.

Πάντα ἐκ τοῦ Θεοῦ, καὶ τὰ ἀγαθά, καὶ τὰ λυπηρά, καὶ τὰ ἀνάξια· ἀλλὰ τὰ μὲν εὐδοκίᾳ, τὰ δὲ οἰκονομίᾳ, τὰ δὲ παραχωρήσει. Καὶ τὰ κατ' εὐδοκίαν, ὅταν κατ' ἀρετὴν πολιτευώμεθα· βούλεται γὰρ ὁ Θεὸς ἀναμαρτήτους ἡμᾶς διάγειν, καὶ μετὰ τῆς εὐσεβείας καὶ ἀρετῆς πολιτεύεσθαι. Κατ' οἰκονομίαν δέ, ὅταν σφαλλόμενοι καὶ ἁμαρτάνοντες παιδευώμεθα. Κατὰ παραχώρησιν δέ, ὅταν παιδευόμενοι μὴ ἐπιστρέφωμεν· εὐδόκησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον σωθῆναι, καθὼς καὶ οἱ Ἄγγελοι ἐβόων λέγοντες· «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ εἰρήνη ἐπὶ γῆς ἐν ἀνθρώποις εὐδοκία.» Οἰκονομικῶς δὲ πάλιν παιδεύει ἡμᾶς ἁμαρτάνοντας, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν ὥς φησιν ὁ Ἀπόστολος· «Κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα.» «Οὐκ ἔστι κακία ἐν πόλει, ἣν ὁ Κύριος οὐκ ἐποίησεν·» τουτέστι λοιμούς, λιμούς, νόσους, καὶ σφαγὰς πολέμων· ταῦτα γὰρ πάντα τῆς ἁμαρτίας ἐστὶν ἀναιρετικά. Παραχωρεῖ δὲ καὶ τελείως ἐγκαταλιμπάνει τοὺς μὴ θέλοντας, ἢ ἀναμαρτήτως διάγειν, ἢ παιδευομένους μὴ ἐπιστρέφειν, ἀλλ' ἔτι τῇ κακίᾳ ἐμμένειν· καθὼς γέγραπται, ὅτι «τετύφλωκεν ὁ Θεὸς αὐτῶν τοὺς ὀφθαλμούς, καὶ πεπόρωκεν αὐτῶν τὴν καρδίαν·» καὶ «παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα·» τουτέστιν, εἴασε διὰ τὸ αὐτεξούσιον· καὶ «σκληρύνων σκληρυνῶ τὴν καρδίαν Φαραώ·» τουτέστι παραχωρήσω σκληρυνθῆναι διὰ τὴν ἀπείθειαν αὐτοῦ.

## Περὶ τῆς αὐτεξουσιότητος ἡμῶν.

Ὁ Θεὸς τὸν ἄνθρωπον αὐτεξούσιον ἔπλασε, λόγῳ καὶ σοφίᾳ τιμηθέντα, πρὸ ὀφθαλμῶν αὐτοῦ θεὶς τὴν ζωὴν καὶ τὸν θάνατον· ἵνα, εἰ μὲν

www.tezaurliturgic.ro



θελήσει τῇ αὐτεξουσιότητι τῆς ζωῆς, παραθήσῃ, ζήσῃ εἰς τὸν αἰῶνα· εἰ δὲ ἀπὸ κακῆς προαιρέσεως παραθήσει τὴν ὁδὸν τοῦ θανάτου, αἰωνίως κολάζηται. Τὰ γὰρ τῆς φύσεως ἀμετάβλητα οὔτε τιμωριῶν οὔτε τιμῆς ἄξια· Οὐδεὶς γὰρ ἐνεκλήθη ποτὲ τὸ εἶναι λευκὸς ἢ μέλας· ἢ τὸ εἶναι μακρός, ἢ μικρός· οὐ γὰρ τῆς ἡμετέρας εἰσὶ προαιρέσεως· τῶν γὰρ τῆς προαιρέσεως καὶ αἱ κολάσεις εἰσὶ καὶ αἱ τιμαί. Ἀμφοτέρων οὖν χρεία, καὶ τῆς ἡμετέρας βουλῆς καὶ θελήσεως, καὶ τῆς τοῦ Θεοῦ συνεργείας καὶ ἀντιλήψεως· ἑτέρου γὰρ λείποντος ἀργεῖ καὶ τὸ ἕτερον. Προέγνω γὰρ ὁ Θεός, καὶ προώρισε, καὶ ἐκάλεσεν, ἀλλὰ τοὺς κατὰ πρόθεσιν κλητοὺς ὄντας, καθώς φησιν ὁ Ἀπόστολος, τουτέστι κατὰ θέλησιν καὶ βούλησιν· τοὺς γὰρ μὴ βουληθέντας εἴασε τῷ αὐτῶν πορεύεσθαι θελήματι· οὐ γὰρ βιάζεται, οὐδὲ λυμαίνεται τὸ αὐτεξούσιον ἡμῶν· τῆς γὰρ ἐπ᾽ ἄμφω ῥοπῆς, πρὸς ἀρετήν φημι καὶ κακίαν τὸ αὐτεξούσιον ἐλάβομεν. Οὐδὲν τῶν παρὰ Θεοῦ δοθέντων ἡμῖν εἰς χρῆσιν, κακόν· πάντα γὰρ ὅσα ἐκ τοῦ Θεοῦ καλά, καὶ λίαν καλά· ἡ παράχρησις μόνον κακόν· τοῦ γὰρ ἡμετέρου ἐστὶν αὐτεξουσίου. Διὸ οὐ τὰ βρώματα κακόν, ἀλλ᾽ ἡ γαστριμαργία· οὐδὲ παιδοποιΐα, ἀλλ᾽ ἡ πορνεία· οὐδὲ ἡ μετάληψις τοῦ οἴνου, ἀλλ᾽ ἡ μέθη· οὐδὲ τὰ χρήματα, ἀλλ᾽ ἡ φιλαργυρία· οὐδὲ ἡ δόξα, ἀλλ᾽ ἡ κενοδοξία· χρὴ οὖν πάντα ποιεῖν ὥστε τὴν παράχρησιν φεύγειν, καὶ χρήσασθαι τοῖς παρὰ Θεοῦ δοθεῖσι δικαίως· οὕτω γὰρ ποιοῦντες, καὶ τῆς κακίας ἀνώτεροι γενησόμεθα, καὶ τῆς ἀρετῆς ἐντὸς εὑρεθῶμεν.

## Συνήθεια σαφὴς καὶ σύντομος καὶ διάγνωσις τῆς πίστεως ἡμῶν τῆς ἐν τῇ Τριάδι ἁγίᾳ.

Ὀφείλομεν πιστεύειν ὡς ἐβαπτίσθημεν· ἐβαπτίσθημεν δὲ εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· εἰς μίαν οὐσίαν δηλονότι καὶ θεότητα· καὶ μίαν βασιλείαν, καὶ ἀρχήν, καὶ ἰσχύν· καὶ τρεῖς ὑποστάσεις, εἴτουν πρόσωπα καὶ χαρακτῆρας, εἰ δὲ βούλει καλεῖν καὶ ἰδιότητας. Ἄλλο γὰρ ὑποστάσεις, καὶ ἄλλο οὐσία. Οὐσίαν γὰρ καλοῦμεν τὸ κοινὸν τῶν τριῶν ὑποστάσεων· μιᾶς γὰρ φύσεως καὶ οὐσίας τὰ τρία πρόσωπα. Ὑπόστασιν δὲ καλοῦμεν φύσιν μετὰ χαρακτηριστικῶν ἰδιωμάτων· ἄλλος γὰρ ὁ Πατήρ, καὶ ἄλλος ὁ Υἱός, καὶ ἄλλος τὸ Πνεῦμα τὸ ἅγιον· ὅπερ τέμνει τὰς ἰδιότητας μόνον, ἤγουν ὑποστάσεις, οὐ μὴν καὶ φύσιν. Οὐκ ἄλλο δὲ καὶ ἄλλο, ὅπερ τέμνει τὰς φύσεις· ἀλλὰ τῆς αὐτῆς φύσεως καὶ τῆς αὐτῆς οὐσίας. Ἅμα γὰρ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα· ἀλλ᾽ ὁ μὲν Πατὴρ καὶ ἀγέννητος, ὁ δὲ Υἱὸς καὶ γέννημα τοῦ Πατρός, ὡς ἐξ ἡλίου φῶς, καὶ ἐκ



νοῦ λόγος· τὸ δὲ Πνεῦμα ἅγιον καὶ ἐκπόρευμα τοῦ Πατρός. Ἴδιον οὖν τοῦ Πατρὸς ἡ ἀγεννησία, καὶ τὸ καλεῖσθαι Πατήρ· ἴδιον τοῦ Υἱοῦ, τὸ καλεῖσθαι Υἱόν, καὶ γεννᾶσθαι ἐκ τοῦ Πατρός· ἴδιον οὖν τοῦ Πνεύματος, τὸ καλεῖσθαι Πνεῦμα ἅγιον, καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Τῶν δὲ τριῶν προσώπων, εἴτουν ὑποστάσεων, μία φύσις, μία θέλησις, μία ἐνέργεια, μία ἀγαθότης, μία δύναμις, μία βούλησις· διὰ τοῦτο καὶ ἕνα Θεὸν ὁμολογοῦμεν. Οὐ γὰρ κεχωρισμένοι εἰσὶν ἀπ᾽ ἀλλήλων, ὥσπερ καὶ οἱ ἄνθρωποι, οὐδὲ τὰς γνώμας διάφοροι· ἀλλ᾽ ἅμα Πατήρ, Υἱός, καὶ Πνεῦμα Ἅγιον ἐν ἀλλήλοις ἀσυγχύτως καὶ ἀδιαιρέτως περιχωροῦσιν. Ἕκαστον δὲ πρόσωπον, ὡς εἴρηται, φυλάττει τὸ ἴδιον· τὸ μὲν τὴν πατρότητα, τὸ δὲ τὴν υἱότητα, τὸ δὲ τὴν ἐκπόρευσιν. Εἰ οὖν ἔροιτό σέ τις. Τί ἐστι Πατήρ; ἀποκρίθητι αὐτῷ· Ὅπερ ἐστὶν Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, μένων Πατήρ. Εἰ δὲ λέγοι· Τί ἐστιν Υἱός; ἀποκρίθητι· Ὅπερ ἐστὶν ὁ Πατήρ, καὶ τὸ Πνεῦμα, μένων Υἱός. Ὡσαύτως καὶ ἐπὶ τοῦ Πνεύματος τοῦ ἁγίου· τοῦτο γάρ ἐστιν ὃ ὁ Πατήρ, καὶ ὁ Υἱός, μένων Πνεῦμα· ἡ ἰδιότης ἀκοινώνητος καθὼς φησιν ὁ μέγας ἐν θεολόγοις καὶ θεῖος Γρηγόριος· Πῶς γάρ, φησίν, ἰδιότης μείνῃ, κινουμένη καὶ μεταπίπτουσα; Ἔστιν οὖν ἡ θεότης, εἰ δεῖ συντόμως εἰπεῖν, ἀμέριστος ἐν μεμερισμένοις, τὸ μὲν τῇ φύσει, τὸ δὲ ταῖς ὑποστάσεσιν· οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις. Ὅταν τοιγαροῦν πρὸς τὴν θεότητα τὴν ἐν μιᾷ φύσει βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰς ἰδιότητας καὶ τὰ πρόσωπα ἐν οἷς ἡ θεότης, τρία τὰ προσκυνούμενα. Παραδείγματα δὲ προσκείσθω ἀμυδράν τινα εἰκόνα δηλοῦντα τοῦ τοσούτου πράγματος, τῆς θείας φημὶ φύσεως, κατὰ τὸν θεολόγον Γρηγόριον· ὀφθαλμοῦ νόει μοι βλέψιν, καὶ ἀρχὴν ὕδατος, καὶ πηγὴν καὶ ποταμόν· ταῦτα γὰρ οὔτε χρόνῳ διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ πρὸς ἄλληλα συναφείᾳ, κἂν δοκῇ ταῖς ἰδιότησι τέμνεσθαι· ἐνθυμοῦ καὶ ἥλιον, καὶ φῶς, καὶ ἀκτῖνα· νοῦν, καὶ λόγον, καὶ πνεῦμα τῷ λόγῳ συνεξιόν. Πλὴν κατὰ τὸν εἰπόντα. Πίστις ἡγείσθω, καὶ μὴ ἀπόδειξις, καὶ χρὴ πάντα ἄνθρωπον διὰ καθαρᾶς καὶ θεολαμποῦς πράξεως, ὁδηγῷ τῷ Πνεύματι χρώμενον, ἵνα φωτὶ καταλαμβάνηται φῶς, πιστεύειν τε εἰς Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητά τε καὶ δύναμιν ἐν τρισὶ γνωριζομένην καὶ προσκυνουμένην ταῖς ὑποστάσεσιν.

## Ὅπως δεῖ πιστεύειν περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.

Ὅτι αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ὁ ἀπερίγραπτος, ὁ ἀσώματος, ὁ μο-

www.tezaurliturgic.ro



νογενὴς τοῦ Πατρὸς Υἱός, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς, καὶ τῆς ἀθανασίας, τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως, τῇ βουλήσει τοῦ προανάρχου καὶ συναϊδίου αὐτοῦ Πατρός, καὶ τῇ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, ἐκ τῶν παρθενικῶν αἱμάτων τῆς Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἐν τῇ οἰκείᾳ αὐτοῦ ὑποστάσει ἔπηξεν ἑαυτῷ σάρκα ἐμψυχωμένην, καὶ λογικήν, καὶ ταύτην τῷ ἐννεαμηνιαίῳ χρόνῳ διεπλασμένην ἐξ αὐτῆς· ἐγεννήθη Θεὸς ἀνθρωπόμορφος, τουτέστι Θεὸς καὶ ἄνθρωπος ἐν μιᾷ ὑποστάσει δύο φύσεις ἐπιφερόμενος, ἀδιαιρέτως, καὶ ἀσυγχύτως, καὶ δύο θελήσεις, καὶ ἐνεργείας, θεϊκὰς ὁμοῦ καὶ ἀνθρωπικάς· ἤθελε γὰρ ὡς Θεὸς καὶ ἐνήργει, καὶ ἤθελεν ὡς ἄνθρωπος καὶ ἐνήργει· ἀλλὰ φυσικὴν θέλησιν, καὶ ἐνέργειαν, οὐ μὴν ἁμαρτητικήν. Ἀναμαρτήτως γὰρ προσελήφθη ἡ φύσις ἡ ἀνθρωπική· καὶ ἐξ αὐτῆς τῆς ἑνώσεως τῷ θελήματι ἡνώθησαν· ὅπερ ἐβούλετο τὸ θεῖον θέλημα, τοῦτο καὶ τὸ τῆς προσλήψεως. Ἀλλὰ θέλημα λέγομεν καὶ ἐνέργειαν τὰ φυσικά· οἷον, ἤθελε φαγεῖν, ἤθελε πιεῖν, ἤθελε περιπατῆσαι· καὶ ταῦτα ἐνήργει, καὶ ἤθελε. Ἀλλὰ ταῦτα ἐποίει τῆς θείας φύσεως παραχωρούσης, οὐ μὴν κατηναγκασμένως, ὥσπερ ἡμεῖς· ἀλλὰ καὶ τὸ κοπιᾶν, καὶ τὸ ἀγωνιᾶν, καὶ τὸ αἰτεῖν τὸν Πατέρα παρελθεῖν τὸ ποτήριον, καὶ τοῦτο τοῦ φυσικοῦ θελήματος. Ἀλλὰ καὶ μετὰ τὴν Ἀνάστασιν καὶ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν, δύο φύσεις ὁμολογοῦμεν ἐπὶ Χριστοῦ, θελητικάς, καὶ ἐνεργητικάς· ὅπου γὰρ φύσις λογική, ἐκεῖ καὶ θέλησις καὶ ἐνέργεια. Φυσικὰς δὲ δύο θελήσεις, γνώμην δὲ μίαν· οἰκονομούσης γὰρ τῆς θεότητος, ἑπομένης δὲ τῆς ἀνθρωπότητος, καὶ παραχωρούσης αὐτῇ ἐνεργεῖν τὰ ἀμφότερα.

### Περὶ διαφορᾶς ἀρετῶν.

Ἐλάβομεν ἐντολὰς παρὰ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τὰς ἀπ᾽ ἐντεῦθεν θεουργούσας, καὶ ποιούσας ἡμᾶς ἀναμαρτήτους διάγειν, καὶ ὡς ἀγγέλους ἀναστρέφεσθαι μετὰ τῶν ἀνθρώπων· οἷον τὴν μετάνοιαν, τὴν ταπεινοφροσύνην καὶ τὸ διηνεκὲς πένθος, τὴν πρὸς αὐτὸν ἀγάπην τὴν ἐξ ὅλης καρδίας ἐγγινομένην, καὶ τὴν πρὸς τὸν πλησίον διάθεσιν, τὴν καθαρὰν προσευχήν, καὶ τὴν ἑαυτῶν ἀπάρνησιν, καὶ τὸ δι᾽ ὅλου πρὸ ὀφθαλμῶν ἔχειν τὸν ὑπὲρ αὐτοῦ θάνατον, καὶ ἐν τῷ φωτὶ αὐτοῦ ἀδιαλείπτως πορεύεσθαι, καὶ τὸ ἔχειν ἑαυτὸν ὑπὸ πάσης κτίσεως, καὶ δέεσθαι αὐτοῦ διηνεκῶς. Ταύτας γὰρ τὰς θείας ἐντολὰς ὁ μετὰ πίστεως ἐργαζόμενος, Θεοῦ υἱὸς γίνεται, καὶ υἱὸς φωτός, καὶ κληρονόμος Θεοῦ, καὶ συγκληρονόμος Χριστοῦ, καὶ σύμμορφος τῆς



εἰκόνος αὐτοῦ καὶ σύμφυτος, καὶ συντόμως καὶ ἁπλῶς εἰπεῖν, θέσει κατὰ χάριν Θεός. Εἰσὶ δὲ ἕτεραι ἐντολαὶ τοῦ Χριστοῦ, αἱ ἄφεσιν μὲν προξενοῦσαι, οὐ μὴν δὲ καὶ τελειότητος ἀξιοῦσαι· οἷον τὸ ὁμολογεῖν καὶ ἐξαγορεύειν τὰ οἰκεῖα ἁμαρτήματα, τὸ μὴ κρίνειν, τὸ μὴ πολυπραγμονεῖν τὰ ἀλλότρια, τὸ ἐλεεῖν ἐκ τῶν ὑπαρχόντων, τὸ φέρειν γενναίως καὶ μετὰ εὐχαριστίας τὰ ἐπερχόμενα λυπηρά, τὸ ὁμολογεῖν δωρεὰν καὶ χάριτι σώζεσθαι. Εἰ μὲν οὖν τὰς πρώτας καὶ θεουργούσας ἐντολάς τις ἐργάζεται, ἀπ᾽ ἐντεῦθεν λαμβάνει καὶ τὸν ἀῤῥαβῶνα τοῦ ἁγίου Πνεύματος· εἰ δὲ μή, κἂν τὰς δευτέρας μετ᾽ ἐπιμελείας ἐργαζέσθω, ὅπως τύχῃ τῆς τῶν πλημμεληθέντων αὐτῷ συγχωρήσεως. Εἰ δ᾽ ἀμφοτέρων ἐκπέσῃ, ἀχρεῖος οὗτος ἀνὴρ καὶ ἄθλιος, καὶ ταλαίπωρος· καὶ προσδοκάτω τὴν ἀποκειμένην κόλασιν τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

### Διάκρισις τῆς τῶν πραγμάτων φύσεως.

Τῶν πραγμάτων τὰ μέν εἰσι κυρίως καλά, τὰ δὲ κυρίως κακά, τὰ δὲ μέσα· καὶ κυρίως μὲν καλά, φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· κυρίως δὲ κακά, ἀφροσύνη, δειλία, ἀκολασία, ἀδικία· μέσα δέ, πλοῦτος, πενία, δόξα, ἀδοξία, ὑγίεια, νόσος, πολυμαθία, ἀμαθία. Μέσα δὲ λέγονται διὰ τὸ καθ᾽ ἑαυτὰ μήτε κυρίως καλὰ εἶναι, μήτε κυρίως κακά· ἀλλὰ παρὰ τῇ χρήσει τῶν χρωμένων, ἢ τοῦτο ἢ ἐκεῖνο γινόμενα· οἷον ὁ πλοῦτος, καλὸς μὲν εἰς ἐλεημοσύνην διδόμενος, κακὸς δὲ πρὸς ἡδονὰς δαπανώμενος. Ὡσαύτως καὶ ἡ πενία, καλὴ μέν, καρτερίαν, καὶ εὐχαριστίαν, καὶ ἐλευθερίαν ἡμᾶς διδάσκουσα· κακὴ δέ, βλασφημίαν, καὶ ἀνελευθερίαν ἐκ τοῦ μὴ καρτερεῖν ἡμᾶς ἀποτίκτουσα. Καλὴ δὲ καὶ ἡ δόξα, ὅταν ταπεινοφροσύνην ἡμᾶς ἐκδιδάσκῃ, καὶ τῆς μελλούσης δόξης ἔφεσιν· κακὴ δέ, ὅταν δουλοπρέπειαν, καὶ διὰ φόβον ἀνθρώπινον πάντα ποιεῖν ἀναπείθει. Ὡσαύτως καλὴ μὲν καὶ ἡ ὑγίεια, ὅταν εἰς εὐαρέστησιν τοῦ Θεοῦ καὶ ἐργασίαν τῶν αὐτοῦ ἐντολῶν χρώμεθα· κακὴ δέ, ὅταν πρὸς ἀκολασίαν καὶ ἀδικίαν. Ὁμοίως καὶ ἡ νόσος, ὅταν εὐχαριστῶμεν καὶ συνεργῷ ταύτῃ χρώμεθα, καλή· κακὴ δέ, ὅταν πρὸς ἀχαριστίαν, καὶ βλασφημίαν, καὶ ὀργὴν ἡμᾶς συνελαύνῃ. Καλὴ καὶ ἡ πολυμαθία, ὅταν πρὸς διδασκαλίαν καὶ βοήθειαν τοῖς ἀδικουμένοις ταύτῃ χρώμεθα· κακὴ δέ, ὅταν πρὸς κενοδοξίαν, καὶ συνηγορίαν τῆς ἀδικίας. Καλὴ καὶ ἀμαθία, ὅταν παρασκευάζῃ ἡμᾶς ὑποτάσσεσθαι τοῖς εἰδόσι, καὶ παρ᾽ αὐτῶν πορίζεσθαι τὴν ὠφέλειαν· κακὴ δέ, ὅταν πείθῃ ἡμᾶς τῇ οἰκείᾳ στοιχεῖν ἀμαθίᾳ, καὶ μὴ τοῖς κρείττοσιν ἕπεσθαι. Ὡσαύτως καὶ τὰ λοιπὰ πάντα, οἷον

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



εὐγένεια καὶ δυσγένεια, εὐμορφία καὶ ἀμορφία, καλλιφωνία καὶ κακοφωνία, ἰσχὺς καὶ ἀδυναμία, ταχύτης καὶ βραδύτης, τέχνη καὶ ἀτεχνία, καὶ πρὸς διακονίαν ἐπιτηδειότης καὶ ἀνεπιτηδειότης. Ταῦτα πάντα, ὡς εἴρηται, τῶν μέσων εἰσί· καὶ ὁ καλῶς τούτοις χρώμενος οὐδὲν παρὰ τούτων βλαβήσεται, ὡς ὁ μακάριος Ἰώβ· εἰς ἀμφότερα γὰρ ἐξετασθείς, εὐδόκιμος ἀνεφάνη καὶ ἀκαταγώνιστος, καὶ διὰ πάντα εὐηρέστησε τῷ Θεῷ. Ὥστε οὐ δεῖ τὰ πράγματα αἰτιᾶσθαι· οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ δοθέντων κακόν· ἀλλὰ παρὰ τὴν ἐσφαλμένην ἡμῶν, καὶ ἐθελόδουλον προαίρεσιν, καὶ τὴν ἐθελοβλέπουσαν περὶ ταῦτα τῆς ψυχῆς ἡμῶν διάκρισιν, ἥτις αὐτεξουσίως πρὸς τὴν παράχρησιν τούτων ἐξολισθαίνει ἐξ οἰκείας φιληδονίας, καὶ τῆς τοῦ Θεοῦ θελήσεως καὶ τῆς αὐτοῦ βασιλείας καταφρονοῦσα.

### Τοῦ αὐτοῦ ἕτερον Σύνταγμα διδασκαλίας πρὸς πάντας.

Ἔστιν ὁ βίος τῶν υἱῶν τῆς καθολικῆς ἐκκλησίας, καὶ μάλιστα τῶν ἐν αὐτῇ ἀναχωρητῶν ἤτοι μοναχῶν, οὕτως· χάριτι μέν ἐσμεν σωζόμενοι· ἀλλ᾽ ἡ χάρις αὐθαιρέτους βούλεται εἶναι τοὺς ἑαυτῆς παῖδας, καὶ σοφίας υἱοὺς καὶ πάσης πράξεως ἀγαθῆς, δοκιμάσαντας τὸ καλόν, ζηλοῦντας, καὶ οὕτω πράτειν. Τῆς οὖν ὀρθῆς ταύτης πίστεως ἄξιον σεαυτὸν εὐτρέπιζε, προβεβλημένος, ἀγαπητέ, ταῦτα φυλάττειν· ἀγωνίζονται μετὰ τοῦ «Κύριον τὸν Θεόν σου ἀγαπήσεις ἐξ ὅλης καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ πορνεύσεις, οὐ παιδοφθορήσεις, οὐ φαρμακεύσεις, οὐ διχοστατήσεις· ἀπέχου πνικτοῦ, καὶ εἰδωλοθύτου, καὶ αἵματος». Καὶ ταῦτα μέν ἐστι τὰ προφανῆ ἁμαρτήματα· αἱ δὲ ὡς ἐλαχιστότεραι φαινόμεναι ἐντολαί, ὧν καὶ αὐτῶν λόγον ἀποδώσομεν, εἰσὶν αὗται. Τέως μὲν τοὺς μονάζοντάς τε καὶ ἐγκρατεῖς δεῖ ἀνακεχωρισμένους εἶναι ἀπὸ γυναικῶν, καὶ μήτε εἰς ὁμιλίαν αὐτῶν ἔρχεσθαι, εἰ δυνατόν, μήτε ὁρᾶν αὐτὰς φιλοτιμεῖσθαι, ἵνα μή τις ζημία γένηται, ἐὰν μοιχεύσῃ καρδία διὰ τῆς τῶν ὀφθαλμῶν ὁράσεως. Φυλάττεσθαί τε μὴ εἶναι δίλογον, μὴ δίγνωμον, μὴ ψεύστην, μὴ κατάλαλον, μὴ ἀκεροπερίσπαστον, μὴ ἀναίσχυντον, μὴ ῥέμβον, μὴ ἀναίσθητον, μὴ αὐθάδη, μὴ σαπρὸν λόγον ἐκ χειλέων προφέροντα, μήτε ὅρκον ὅλως τὸ παράπαν· ἀλλά, Ναί, Ναί, Οὔ, Οὔ. Καὶ ἐάν που ἀνάγκη γένηται λέγειν ἐν ὁμιλίᾳ· γίνωσκε, εἰ ἀλήθειαν λέγω, εἰ οὐ ψεύδομαι. Τὸ δὲ σεβάσμιον ὄνομα ἐπὶ ὅρκων μὴ λάμβανε, μήτε ἕτερόν τινα ὅρκον, καθὼς εἶπε τὸ εὐαγγέλιον· ταῦτα γὰρ πάντα οὐ προσήκει ποιεῖν· ἀλλὰ καὶ ἀπὸ ἐκκλησίας ἐκβάλλειν τὸν μὴ παραφυλαττόμενον.



Ἔτι τε μὴ γυμνοῦν ἐνώπιόν τινος, ἀλλ᾽ εἰ ἀνάγκη ἐν λουτρῷ, διὰ πάθος, ἐν ἀσθενείᾳ πολλῇ γινόμενον. Μὴ λέγειν ἀδελφὸν ῥακά, μήτε μωρέ· ἑορταῖς ἐθνῶν μὴ συγκοινωνεῖν· σάββατα μὴ φυλάττειν· μὴ μαγεύειν, μὴ φαρμακεύειν· μήτε ἄλλον σοι ταῦτα πράττειν ἐπὶ νόσῳ ἢ πάθους ἀλγήματι. Μὴ ἀπέρχεσθαι πρὸς ἐπαοιδόν, μήτε φυλακτήριον ἑαυτῷ περιτιθέναι, μήτε περικαθαίρειν, μήτε μὴν ταῦτά σοι ποιεῖν, μήτε ὑπὸ ἄλλου σοι γένηται. Τὸ σῶμα φυλάττειν ἀπὸ πάσης αἰσχρότητος καὶ ἀσελγείας· μὴ ἔχειν γυναῖκα συνείσακτον, καθάπερ τινὲς ἀγαπητὰς ἐπέθεντο αὐταῖς ὀνόματα· τάχα δὲ ἐναντίως μισηταὶ αὐτοῖς εὑρεθήσονται. Μὴ ἔχειν καταφυχὴν πρός τινα· ὁ γὰρ καταψυχῆς ἔχων, ἡ ψυχὴ αὐτοῦ τῷ Κυρίῳ οὐ προσδέδεκται. Μὴ συνεύχεσθαι αἱρετικῷ· μήτε μετὰ ἐθνικῶν. Μὴ παραβαίνειν νηστείαν, τουτέστι τετράδα καὶ παρασκευήν, εἰ μή τι ἐπὶ νόσῳ βεβάρησαι, χωρὶς Πεντηκοστῆς μόνης καὶ τῶν ἐπιφανειῶν. Τὴν τεσσαρακοστὴν τῆς ἁγίας Ἐκκλησίας, καὶ τὴν ἑβδομάδα τοῦ ἁγ. Πάσχα παρατετηρημένως φύλαττε. Λύε τὴν νηστείαν ἐπὰν ἀδελφὸς πρός σε ἐπεδήμησε· νηστείαν δὲ οὐ τὴν τεταγμένην, τετράδα καὶ παρασκευήν, καὶ τὴν τεσσαρακοστὴν καὶ τοῦ πάθους· ἀλλὰ τὴν ἀπὸ ἰδίας προαιρέσεως τουτέστι δευτέρας, καὶ τρίτης, καὶ πέμπτης. Σάββατον καὶ Κυριακὴν μὴ νηστεύσῃς πλὴν τοῦ μεγάλου Σαββάτου τοῦ ἁγίου Πάσχα. Ἡ δὲ τῆς τετράδος καὶ παρασκευῆς, ἕως ὥρας ἐννάτης νηστεία τεταγμένη ἐστί· καὶ εἴ τι περισσοτέρως ποιήσεις, τοῦτο παρὰ τὴν σεαυτοῦ προαίρεσιν· εἰ δὲ καὶ ὑπερθέσεις δύνασαι ποιεῖν, γενναίως ἀσκεῖς. Νηστεύων δὲ καὶ πολιτευόμενος, βλέπε μὴ φυσιωθῇς· ἡ γὰρ φυσίωσις παγίς ἐστι τοῦ διαβόλου, δι᾽ ἧς ἀπ᾽ οὐρανοῦ πέπτωκεν, ὁμοίως δὲ λοιπὸν δι᾽ αὐτῆς τοὺς ἀνθρώπους παγιδεύων καταβάλλει. Μή τίς σε πλανήσῃ ἐν Κυριακῇ νηστεύειν τὸ παράπαν, μήτε γονυπετεῖν τὸ παράπαν, μήτε ἐν πεντηκοστῇ· οὐ γάρ ἐστι θεσμὸς ἐκκλησίας. Καὶ μὴ ἀνέχου, ἵνα πλανήσωσί σέ τινες Μαρκιωνισταί, ἢ ἑτέρα αἵρεσις, νηστεύειν τὸ σάββατον ἰδίως καὶ Κυριακῆς. Τῶν δὲ συνάξεων μὴ ἀμέλει· τῶν Μυστηρίων ἄξιον σεαυτὸν εὐτρέπιζε, μήπως εἰς κρῖμα συνέλθῃς. Μὴ ἀμέλει πλύνειν πόδας ἀδελφῶν ἐρχομένων πρὸς σέ· ζητήσεται γὰρ ἡ τοιαύτη ἐντολὴ περὶ τῶν ὑπερηφανευσάντων αὐτήν, κἂν ἐπίσκοποι ὦσιν· ὁ γὰρ Κύριος ἡμῶν αὐτὸς πρῶτος ἔπλυνε, παραγγείλας αὐτοῖς οὕτω ποιεῖν.

Μὴ γίνου φιλάργυρος, μὴ αἰσχροκερδής, μὴ φιλοκτήμων, μὴ φιλήδονος, μὴ φιλόπλουτος· οἱ γὰρ τοιοῦτοι Θεῷ ἀρέσαι οὐ δύνανται· καὶ ὅλως μὴ πραγματεύου· πολλαὶ χῶραί εἰσι μὴ σπείρασαι, καὶ οἱ οἰκοῦντες, ἐὰν τέχνας μὴ ἔχωσιν, ἀναγκάζονται πραγματεύεσθαι· κἂν

www.tezaurliturgic.ro



μὴ ὦσι μονάζοντες, καὶ πραγματεύονται, κακῶς μέν, πλὴν ἀνάγκη ποιεῖ. Τόκον μὴ λάμβανε· μὴ προαγόραζέ τι ἴσον ὡς τῆς πολιτευομένης τιμῆς. Ἀγάπα πάντα ἄνθρωπον, καὶ εἰρήνευε μετὰ πάντων, καὶ μεθ' ὧν οὐκ εὔχῃ, εἰ δυνατὸν τὸ ἐκ σοῦ, χωρὶς αἱρέσεως. Ἔχων δέ, μεταδίδου τῷ μὴ ἔχοντι· μὴ ἔχων δέ, μὴ ἐγκληθήσῃ. Ἐὰν αἰτήσῃ τις παρὰ σοῦ εἰς χρῆσιν, δίδου· καὶ λάμβανε παρ' αὐτοῦ τὸ κεφάλαιον, ὅταν ἔχῃ, ἄνευ τόκου Μὴ δολιεύου ἐνώπιον Κυρίου· ἐὰν γὰρ ἔχῃς γεννήματα ἢ ἀργύριον, καὶ ζητεῖ τις δανείσασθαι παρὰ σοῦ, καὶ οὐ διὰ μὴ λαμβάνειν σε τόκον πωλεῖς τιμιωτέρως, ἵνα ἀγοράσῃς εὐώνως τῷ καιρῷ, τουτέστιν ὀλιγοτίμως «δράσσεται ὁ Θεὸς τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ»· σκέψαι γὰρ καὶ ὅρα, ὅτι ἀνθ' ἑνὸς τόκου τρεῖς ἢ τέσσαρας τόκους εὑρήσεις λαμβάνων.

Γίνου ταπεινὸς καὶ ἡσύχιος, τρέμων διὰ παντὸς τὰ λόγια τοῦ Κυρίου. Μὴ γίνου μάχιμος, μὴ τίπτε ἄνθρωπον, ἢ μόνον παιδίον σου μικρὸν πρὸς παιδείαν, καὶ αὐτὸ παρατετηρημένως, σκοπῶν μήπως διὰ σοῦ φόνος γένηται· πολλαὶ γάρ εἰσιν ἀφορμαὶ τοῦ θανάτου. Μὴ μυκτήριζε πάντα ἄνθρωπον· μὴ βδελύσσου τινὰ ἀπὸ σχήματος· παρατετηρημένως ἔχε τὴν ἐσθῆτα, μήτε μαλακοῖς χρώμενος ἱματίοις, μήτε ἐσθῆτι φαινομένῃ δικαίων ἐνδυομενυίᾳ, τουτέστι ῥυπαροῖς προερχόμενος. Σάκκον δὲ ἐὰν ἔχῃς, ἵνα πενθῇς τὰς ἁμαρτίας σου, σκόπει μὴ φανῇ σου ὁ σάκκος, ἀλλ' ἔστω κεκρυμμένος ἔσω. Καὶ μήτε δέρματα ἀμφιάζου, μήπως δόξαν παρ' ἀνθρώπων λήψῃ. Ὅλως τρίχα, μὴ τρέφε· ἐξέκοψε γὰρ τὸ τοιοῦτον σχῆμα ὁ Ἀπόστολος· μὴ ξυρῷ τὸ γένειον, καὶ μὴ περικουρείοις χρῶ κειρόμενος. Εἰ δύνασαι καὶ ἑβδομάδα νηστεύειν, μηδενὶ δείκνυε. Κρεῶν ἀπέχου, οὐχ ὡς βδελυσσόμενος, ἀλλ' ὡς ἀνακόπτων τὸ σῶμα τῆς τροφῆς, ἀνάξιον ἑαυτὸν ἡγούμενος, καὶ ἀντὶ τῶν ἐπιγείων τῶν οὐρανίων ὀρεγόμενος· πᾶς γὰρ μετριάζων δαψιλείᾳ τροφῶν, βοηθεῖ τὸ σώματι αὐτοῦ πρὸς ἐγκράτειαν. Οἴνου ὅλως μὴ λάμβανε, ἢ μόνον γεύεσθαι καὶ εὐλογεῖν τὸν Κτίσαντα· ἐὰν δὲ καὶ σύ, ὥσπερ Τιμόθεος, διὰ τὴν πολλὴν πολιτείαν νόσοις περιπέσῃς, ὀλίγῳ οἴνῳ χρῶ· τὸ γὰρ ὀλίγον φάρμακόν ἐστιν ἰάσεως· πολλῷ δὲ αὐτῷ χρώμενος, ἀμφοτέρας ἀσθενείας σεαυτὸν περιβαλεῖς· εἰ δὲ ἕως ἑνὸς ποτηρίου ἢ δύο, περισσσὸν δὴ μή. Εἰ δυνατόν σοι ἀνυπόδητον ὁδεύειν, γενναίως ἐνυχθήσει· εἰ δὲ ἀνάγκη ἐστὶ πάντως ὑποδέεσθαι, ψιλὰ ἔσονταί σου τὰ ὑποδήματα· καὶ μὴ θέλε κατακεκοσμημένοις ὑποδήμασιν ἑταιρισμοῦ σχήμασιν ὑπαιρίδεσθαι. Τοῖς παροῦσιν ἀρκοῦ· καὶ ἂν περισσοτέρων κρεῶν καὶ οἴνων ἔχῃς πολιτείαν, καὶ ἀπέλθῃς ἐπὶ ξένης, μὴ θελήσῃς ἑαυτὸν κομπάζειν, ἀλλ' ἴσος γίνου τοῖς ἀδελ-



φοῖς· οἷον ἐὰν ἐν λαγχάνοις χρώμενος, καὶ ἑψήμασιν, καὶ εἰ ἀνάγκη, γάρον ἐσθίειν, ἢ καὶ ἰχθύος μεταλαμβάνειν, ἐὰν θέλῃς· ἕως τούτου μόνου, καὶ πάλιν ἀνάλαβε τὴν πρώτην ἄσκησιν. Πάλιν, ἐὰν ἀρρωστήσῃς, καὶ λάβῃς ᾠοῦ, ἁμαρτία οὐκ ἔστιν· εἰ δὲ ἡττηθῇς ἐν τῇ νόσῳ, καὶ λάβῃς πετεινοῦ καὶ κρεῶν, ἥττημα μέν σοί ἐστι, μὴ λογίσῃ δὲ αὐτὸ ἁμαρτίαν· λυποῦ δέ, ὅτι ἀνεκόπης σου τῆς πολιτείας, καὶ ὑπεχαλάσθης τοῦ στερεοῦ λογισμοῦ.

Εἰ δὲ ἐπὶ νόσῳ ἀναγκασθῇς, λουτρῷ χρήσῃ, ἕως ἅπαξ καὶ δίς· ὑγιαίνων δέ, βαλανείου οὐ χρείαν ἔχεις. Σὺ ὁ μονάζων καὶ ἱερεὺς χαμευνίαν θέλε, ἐὰν ᾖς ὑγιής· πρὸ παντὸς δὲ τέχνην ἐπιχειρεῖν. Ἐν ἀγρῷ ἐργάζου, ἵνα μὴ ἐσθίῃς ἄρτον ἀργόν· μᾶλλον δὲ ἐκ τῶν χειρῶν σου ἔχε πρὸς τὸ ἀναπαύειν ἀδελφοὺς καὶ ξένους· καὶ εἰ δυνατόν, χήρας, καὶ ὀρφανούς, καὶ μετρίους. Καὶ εἰ μὲν μεταξὺ τῶν ἀνθρώπων οἰκεῖς, καὶ ἔχεις χωρίον, ἤτοι γεώργιον ἐργάζεσθαι, δικαίως συνάγων καρπούς, καὶ μὴ ἔχων τι ἀδικίας, πρῶτον μὲν τὰς ἀπαρχὰς τοῖς ἱερεῦσι πρόσφερε· ἔπειτα θέλε καὶ χήρας ἀναπαύειν, καὶ ὀρφανοὺς καὶ λοιποὺς ἀπὸ δικαίων πόνων· μὴ ἀπὸ τόκων ἢ πλεονασμῶν, ἢ πραγματειῶν, ἢ διασεισμάτων. Εἰ δὲ εἰς μονὴν καθέζῃ, μὴ ὕβριζε τὴν ἄσκησιν τῆς μονῆς. Ἐὰν χωρίον κέκτησαι, ἐν μοναστηρίῳ ἀναχωρῶν, οὐκ ἀνεχώρησέ σοι, ἀλλ' ἐμπαίζεις καὶ ἐμπαίζῃ. Καθεζόμενος δὲ ἐν μοναστηρίῳ, μὴ θέλε εἶναι ἀργὸς καὶ ὑπὸ ἄλλων τρέφεσθαι· ἀλλὰ δεῖ σεαυτὸν ἢ τέχνην εἰδεῖν, ἢ ἐργατεύεσθαι, ἵνα πως τὴν ἐφήμερον προσπορήσῃς τροφήν. Νεωτέρους δὲ ἐὰν ἔχῃς περὶ σεαυτόν, πρῶτον μὲν ταπεινοφρόνει, καὶ μὴ θέλε εἶναι διδάσκαλος· εἰ δὲ ἴδῃς ψυχὰς σωζομένας διὰ τῆς σῆς ἀναστροφῆς, τελειῶσαι βουλόμενος τῶν πέντε ταλάντων τὰ διπλάσια, ὧν εἴληφας, μερίμνα τὰς περὶ σὲ ψυχὰς καὶ ἐπίστυφε τοὺς νεωτέρους ἰδιάζειν ἕκαστον αὐτῶν, ἔν τε τῇ ὁμιλίᾳ καὶ ἐν τῇ ἀναστροφῇ, χωρὶς μόνης τῆς τραπέζης, καὶ συνάξεως, καὶ ψαλμῳδίας· ἐν δὲ τῷ ὑπνεῖν, ἕκαστον ἴδια περιβάλλεσθαι, καὶ ἕκαστον τὸ στιχάριον αὐτοῦ ἔχειν, ἤτοι σακκίον κεκρυμμένον, ἵνα, ἄν που εὔχῃ νυκτός, ἕτοιμοι εὑρεθῶσι. Θέλε ἀγρυπνεῖν συμμέτρως ἐν ψαλμοῖς καὶ εὐχαῖς· καὶ ἡμέρας μὲν εὔχεσθαι πυκνῶς, μὴ χρονίζων δὲ ἐν εὐχῇ, ἢ κράζων, ἢ βαττολογῶν· συμμέτρως δὲ ψάλλειν, ἵνα μὴ περικακῶσιν αἱ ψυχαί· θέλε δὲ τοὺς παῖδας σιωπητικοὺς προβιβάζειν. Εἰς καπηλεῖον ὅλως μὴ εἰσέλθῃς· ἀλλ' εἰ ἀνάγκη γένηται, ἐπὶ ξένης γενόμενος, καὶ χρείαν ἔχεις ἐδέσματος ἢ ποτοῦ, ἀποστείλας ἀγόρασον, καὶ ἐν ἐκκλησίᾳ φάγε καὶ πίε, ἐν τόπῳ αὐτῆς ἀνακεχωρημένῳ· ἐὰν δὲ μὴ ᾖ ἐκκλησία ἐν τῷ τόπῳ, μηδὲ οἰκία ὀρθοδόξων, καὶ ἀνάγκη σοι γέ-

www.tezaurliturgic.ro



νηται, καὶ εἰσέλθῃς εἰς πανδοχεῖον, θέλε μένειν ἐν πανδοχείῳ, ὅπου οὐκ εἰσὶ γυναῖκες, οὔτε καπηλεῖον· καὶ τοῦτο μετὰ λύπης.

Ἐὰν οὖν τὰς προειρημένας ἐντολὰς φυλάξας, καὶ τῶν προειρημένων σφαλμάτων ἑαυτὸν τηρήσας, τὸν δρόμον τελειώσῃς ἐν πίστει καὶ ἁγνότητι καὶ πολιτείᾳ, κατὰ τὸ εἰρημένον· βαθμὸν σεαυτῷ μέγαν καὶ ἀγαθὸν περιποιήσῃ. Αὗταί εἰσιν αἱ τῆς προειρημένης πίστεως ἐντολαὶ καὶ παραφυλάγματα, ἅς, ἐὰν ποιήσῃς, καὶ τὴν πίστιν τηρήσῃς, ἔσει μαθητὴς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰ δέ τις ἀντιλέγει τοῖς προειρημένοις, Θεῷ ἐστιν ἀντιλέγων. Ψηλαφήσει γὰρ τὰς θείας Γραφάς, καὶ κατανοήσει τὴν παράδοσιν τῆς ἐκκλησίας, καὶ ἔχει συνιέναι, ὅτι περὶ τούτων ὅλων ἐντέλλεται ὁ Κύριος· καὶ αὗται μὲν αἱ ἐντολαὶ μονάζουσι καὶ λοιποῖς Χριστιανοῖς εὐλαβέσι. Εἰ δέ τις ἱερεὺς ἀκριβῶς θέλει ἱερατεύειν, μετὰ τῶν προειρημένων ἐντολῶν, ἤτω νηφάλιος, σπουδαῖος, ἀνεξίκακος, χρηστός, φιλόρφανος, φιλόπτωχος, φιλόξενος, φιλάγαθος, ἥσυχος, στερεὸς πίστει καὶ γνώμῃ καὶ λόγῳ, ἀπεχόμενος γυναικός, μὴ ἀμελῶν τοῦ ποιμνίου, μὴ βδελυσσόμενός τινα· μὴ προσωποληπτεῖν, ἐλέγχοντα ἐπὶ πάντων, μὴ ἐᾷν ψωριὸν πρόβατον ἐν τῇ ποίμνῃ, ἀλλὰ καθαίρειν πρῶτον μετὰ μετανοίας, καὶ τότε συνάγειν ἐν τῇ μάνδρᾳ. Εἰδέναι ἕκαστον ὡς ποιμαίνειν δεῖ· τὶ δὲ τὰς χήρας παραγγέλειν, τὶ μοναχοῖς, τὶ λαϊκοῖς, τὶ κατηχουμένοις. Γυναιξὶ δὲ παραγγέλειν ἐν ἐκκλησίᾳ μὴ λαλεῖν ὅλως, ἀλλ᾽ ἐν πᾶσι σιγᾷν καὶ εὔχεσθαι, καὶ μὴ λαμπρύνειν ἑαυτὰς ἐν χρυσῷ ἢ ἐσθῆτι, τὰ δὲ πρόσωπα αὐτῶν μὴ φαίνεσθαι, χεῖρας ἀνδρῶν μὴ καταφιλεῖν. Κατηχούμενοι δὲ ἰδίᾳ εὐχέσθωσαν, ἢ ἔξωθεν τοῦ βηλοῦ· ὁ δὲ πᾶς λαὸς ἐν φόβῳ καὶ σιωπῇ ἀκουέτω τὸν λόγον τοῦ Κυρίου. Οὐ μόνον δὲ οἱ ἁμαρτάνοντες δίκην ἀποτίσουσιν, ἀλλὰ καὶ οἱ χαίροντες ἐπὶ τοῖς ἁμαρτάνουσιν. Περὶ δὲ τῶν προσφορῶν ὀφείλει νήφειν ὁ ἱερεύς· ἐὰν γὰρ λάβῃ παρὰ στρατευομένου ἐκχέοντος αἷμα, ἢ διασείσαντος, ἢ κλέψαντος, ἢ πραγματευτοῦ, ἢ ἐπιόρκου, ἢ παρὰ πλουσίου ἀποστερητοῦ, ἢ παρὰ τελώνου ἐπιπράττοντος, ἢ τοκογλύφου, ἢ τιμιολκοῦ ἐπὶ σίτου, ἢ παρὰ παντὸς ἁμαρτωλοῦ· ὁ τοιοῦτος ἱερεύς, ἀπὸ τοιούτων ἐὰν λάβῃ, χωλῶν καὶ τυφλῶν προσφέρει ἐξ αὐτῶν τῷ Θεῷ. Σὺ δὲ τῷ λαϊκῷ οὐκ ἔξεστι κρῖναι τὸν ἱερέα, εἰμή, ἐὰν εἴδῃς παραβάτην, φεῦγε ἀπ᾽ αὐτοῦ. Ἐὰν ταῦτα φυλάξῃς, ὁ ἱερεύς, βαθμὸν ἀγαθὸν ἑαυτῷ περιποιῇ, καὶ πολλὴν παῤῥησίαν τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

ΤΕΛΟΣ.

# ΚΑΤΑΛΟΓΟΣ

## ΤΩΝ ΦΙΛΟΜΟΥΣΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ

---

### ΟΙ ΕΝ ΤΩΙ ΑΓΙΩΝΥΜΩΙ ΟΡΕΙ ΑΘΩΙ

| | | |
|---|---|---|
| Ἡ Ἱ. Μ. τῆς Μ. Λαύρας | Σώμ. | 3 |
| Ἀρχιμ. Βενιαμὶν | » | 1 |
| Προηγ. Νικόδημος | » | 1 |
| Προηγ. Κοσμᾶς | » | 1 |
| Προηγ. Βασίλειος | » | 1 |
| Α. Εὐμορφόπουλος | » | 1 |
| Προηγ. Νεόφυτος | » | 1 |
| Ὁ Γέρων Σάββας ἐκ Θρᾴκης | » | 1 |
| Ὁ Γέρων Διονύσ. ὁ σκευοφύλαξ | » | 1 |
| Ὁ Γέρων Παρθένιος τραπεζάρης | » | 1 |
| Ὁ Γέρων Χριστόφ. ὁ ἐκ Μαδίτου | » | 1 |
| Ὁ Γέρων Γαβριὴλ Ἴμβριος | » | 1 |
| Ὁ Γέρων Γεράσ. ὁ ἐξ Αἰγίνης | » | 1 |
| Ὁ Γέρων Ματθ. γραμματεύς | » | 1 |
| Στέφανος Ἱεροδιακ. ὑπογραμ. | » | 1 |
| Βενέδικτος Ἱερομ. | » | 1 |
| Ἰωάσαφ Ἱερομ. | » | 1 |
| Ἰγνάτιος Ἱερομ. Θάσιος | » | 1 |
| Ἱερόθεος Ἱεροδιακ. | » | 1 |
| Γαβριὴλ μοναχ. Κυδωνιεύς. | » | 1 |
| Χαράλαμπος μοναχ. ἐκ Θρᾴκης | » | 1 |
| Ἰγνάτιος μοναχ. ἱεροψάλτης | » | 1 |
| Γρηγόριος μοναχ. Ζαγοραῖος | » | 1 |
| Νικηφόρος μοναχ. νοσοκόμος | » | 1 |
| Εὐγένιος μοναχ. καὶ Ἰωάννης | » | 1 |
| Πνευματ. Ἀντ. Σάμ. ἀπὸ ἅγ. Π. | » | 1 |

—

| | | |
|---|---|---|
| Ἡ Ι. Μ. τοῦ Βατοπαιδίου | Σώμ. | 3 |
| Ἀρχιμ. Παγκράτιος | » | 1 |
| Ἀρχιμ. Ἰωάσαφ Λέσβιος | » | 2 |
| Ἀρχιμ. Διονύσιος | » | 1 |
| Προηγ. Βαρθολομαῖος | » | 1 |
| Προηγ. Νίκανδρος | » | 1 |
| Προηγ. Χαράλαμπος | » | 1 |
| Ἰάκωβ. ἱεροδ. ὁ γραμ. τῆς Ι. Κοιν. | » | 1 |
| Μιχαὴλ ἱερομ. | Σωμ. | 1 |
| Μελχισεδὲκ ἱεροδιακ. | » | 1 |
| Γρηγόριος μοναχ. Ῥήσιος | » | 1 |
| Εὐθύμιος μοναχ. Ῥήσιος | » | 1 |
| Ἀθανάσιος μοναχ. | » | 1 |
| Ἀμβρόσιος ἱερομ. | » | 1 |
| Θεόπεμπτος μοναχ. | » | 1 |
| Θεοτόκης μοναχ. ἐκ Λέσβου | » | 1 |
| Δωρόθεος μοναχ. | » | 1 |
| Δομέτιος μοναχ. | » | 1 |

—

| | | |
|---|---|---|
| Ἡ Ἱ. Μ. τῶν Ἰβήρων | Σωμ. | 3 |
| Ἀρχιμ. Κύριλλος | » | 1 |
| Ἀρχιμ. Διονύσιος | » | 1 |
| Γέρων Κύριλλος Κεφαλλὴν | » | 1 |
| Διονύσιος Μ. γραμ. ἐκ Μελενίκου | » | 1 |
| Εὐγένιος μοναχ. Δόπρης | » | 1 |
| Ἀθανάσιος ἱερομ. | » | 1 |
| Ἱερώνυμος ἱερομ. | » | 1 |
| Σωφρόνιος ἱερομ. | » | 1 |
| Γέρων Γεννάδιος Ψάλτης | » | 1 |
| Σάββας μοναχ. ἐκ Ραιδεστοῦ | » | 1 |

—

| | | |
|---|---|---|
| Τὸ Ἱ. Κοινοβ. τοῦ Διονυσίου | Σωμ. | 3 |
| Προηγ. Ἀβέρκιος | » | 1 |
| Προηγ. Ἰάκωβος | » | 1 |
| Γέρων Κύριλλος | » | 1 |
| Γέρων Γελάσιος | » | 1 |
| Γέρων Συμεὼν | » | 1 |
| Γέρων Εὐγένιος | » | 1 |
| Γέρων Γρηγόριος | » | 1 |

—

| | | |
|---|---|---|
| Τὸ Ι. Κοινόβ. Κουτλουμούση | » | 3 |
| Ἀρχιμ. Ἰωάσαφ. Ἡγούμ. | » | 2 |
| Ἀρχιμ. Μελέτιος | » | 2 |
| Γέρων Χαρίτων | » | 1 |

www.tezaurliturgic.ro



Ἡ Ἱ.Μ. τοῦ Παντοκράτορος Σωμ. 2
Ἀρσένιος ἱερομ. » 1
Ἰωάσαφ. μοναχ. τυπικάρης » 1
Ἀθανάσιος Σ. ἐκ Πόρου » 1

—

Ἡ Ι. Μ. τοῦ Ξηροποτάμου Σωμ. 2
Ἀρχιμ. Ναθαναὴλ » 1
Ἀρχιμ. Ἀγαθάγγελος » 1
Ἀρχιμ. Παΐσιος » 1
Προηγ. Γρηγόριος » 1
Προηγ. Ἀκάκιος » 1
Νεόφυτος μοναχ. » 1
Διονύσιος μοναχ. » 1
Ἀνατόλιος μοναχ. » 1
Κύριλλος μοναχ. κελ. Μεταμόρ. » 1
Σεραφεὶμ μον. κελ. ἁγ. Ἀθαν. » 1

—

Τὸ Ι. Κ. τοῦ Καρακάλου Σωμ. 3

—

Ἡ Ι. Μ. τοῦ Φιλοθέου Σωμ. 2
Ἀρχιμ. Συμεὼν Πελοπον. » 1
Παΐσιος ἱερομ. » 1
Θεοφύλακτος μοναχ. » 1

—

Τὸ Ἱ. Κ. τῆς Σίμωνος Πέτρας Σωμ. 3

—

Τὸ Ἱ. Κ. τοῦ Ἁγ. Παύλου Σωμ. 3

—

Τὸ Ἱ. Κ. τοῦ Ξενοφῶντος Σωμ. 3

—

Τὸ Ἱ. Κ. τοῦ Γρηγορίου Σωμ. 3

—

Τὸ Ἱ. Κ. τοῦ Ἐσφιγμένου Σωμ. 3
Προηγ. Λουκᾶς ἀρχιμ. » 1

—

Τὸ Ἱ. Κ. τοῦ Ῥωσσικοῦ Σωμ. 10

—

Τὸ Ἱ.Κ. τοῦ Κωνσταμονίτου Σωμ. 5
Προηγ. Συμεὼν ἀρχιμ. » 1

*Οἱ ἐν Καρυαῖς.*

Ὁ Πνευμ. τοῦ Κοινοῦ Ἰωάσαφ » 1
Διονύσιος ἱερομ. Βυζάντ. » 1
Βενιαμὶν ἱερομ. » 1
Ἰωάσαφ ἱερομ. » 1
Γαβριὴλ ἱερομ. ὡρολογοποιὸς » 1
Βενέδικτος ἱερομ. Λευκάδιος Σωμ. 1
Χρυσόγονος μον. Κεφαλὴν » 1
Ἄνθιμος μοναχ. Σάμιος » 1
Ἰωσὴφ μοναχ. Τρικεριώτης » 1
Καλλίνικος μοναχ. Βυζαν. Ρ. » 1
Θεοδόσιος μοναχ. ἅγ. Νικόλ. » 1
Νικ. Γ. Κύρου ἐκ Βώλου » 1
Κ. Ἰωαννίδη. ἀπὸ Ἅγ. Γεώργ. » 1
Ἰωάν Ν. ἀπὸ Ἅγ. Γεώργ. » 1
Κωνστ. Δ. Κοντογεώργης » 1
Μηνᾶς Νικολαΐδ. ἐκ Μακρυνίτσ. » 1
Γεώρ. Α. Παπαγεωρ. ἐκ Πρόπαν » 1
Μιχ. Εὐαγγελίδ. ζωγρ. ἐκ Θάσ. » 1
Οἱ κ. Γιανάκ. καὶ Ἀπόστ. ῥάπτ. » 1

*Κελλία πέριξ τῶν Καρυῶν.*

Εὐγένιος ἱερομ Σκοπελίτης » 1
Δαμιανὸς ἱερομον. » » 1
Ἀναστ. μοναχ Ζαγοραῖος » 1
Καισάριος μοναχ. » » 1
Γρηγόρ. ἱερομ. κελ. ἅγ, Ἀπόσ. » 1
Νήφων ἱερομ. κελ. ἅγ. Εὐθύμ. » 1
Πολύκαρπ. μον. κελ. ἁγ. Ἰωάν. » 1
Ἀνανίας μοναχ. Κερκυραῖος » 1
Πολύκαρπ. μον. κελ. ἁγ. Ἄννης » 1
Νεόφυτος ἱερομ. κελ. ἅγ. Θεόδ. » 1
Γεράσιμος ἱερομ. κελ. Καρακάλ. » 1
Ἄνθιμος μοναχ. Κερκυραῖος » 1
Διονύσ. μον. κελ. ἁγ. Ὀνουφρ. » 1
Προκόπιος μοναχ. Ζακύνθιος » 1
Μάξιμος μοναχ. κελ· ἁγ. Τριὰς » 1
Ἰσαὰκ μον. Κελλιώτης » 1
Συμεὼν μοναχ. Κελλιώτης » 1
Γρηγόριος μοναχ. Κεφαλλὴν » 1

—

Ἡ. Ἱ. Σκ. τῆς ἁγ. Ἄννης. » 1
Βησσαρίων Ἱερομ. Πνευμ. » 1
Ἰωάσαφ. ἱερομ. πνευμ. » 1
Ἀμφιλόχιος ἱερομ. πνευμ. » 1
Ἰάκωβος μοναχ. » 1
Γεννάδιος μοναχ. » 1
Θεόφιλος μοναχ. » 1
Κύριλλος μοναχ. » 1
Ἰωάσαφ μοναχ. » 1
Γεδεὼν μοναχ. » 1
Χρυσόστομος μοναχ. » 1



Ἀγαθάγγελος ἱερομ. Σωμ. 1
Μακάριος μοναχ. Τήνιος » 1
Οἱ πέντε ἀδελφοὶ ἐκ Παρνασοῦ » 1
Σωφρόνιος μοναχ. Βυζάντιος » 1
Ἀβράμιος μοναχ. ἐκ Ῥαιδεστοῦ » 1
Κυριακὸς μοναχ. Ἐφέσιος » 1
Ἰγνάτιος μοναχ. » 1
Ὁ ἄνωθεν τῆς Σκήτης Ἀρτέμ.Μ. » 3
Ἡ μικ. Σκ. τῆς ἁγ. Ἄννης » 1
Γρηγ. ἱερομ. πνευμ. » 1
Σάββας ἱερομ. πνευμ. » 1
Νικόδημος μοναχ. » 1
Γαβριὴλ μοναχ. » 1
Μόδεστος μοναχ. » 1
Συμεὼν μοναχ. Καλλιγρ. » 1
Θεοφάνης μοναχ. » 1
Ἀπὸ Κατουνάκια » 1
Δανιὴλ προηγ. » 1
Γεράσιμος μοναχ. » 1
Νεόφυτος μοναχ. » 1
Ἰγνάτιος ἱερομ. ἐκ Σερρῶν » 1
Ἀντώνιος μοναχ. Καλλιγρ. » 1
Δανιὴλ μοναχ. » 1
Ἀρσένιος μοναχ. » 1
Λογγῖνος μοναχ. » 1
Ἀνατόλιος μοναχ. » 1
Κύριλλος μοναχ. » 1
Πολύκαρπος μοναχ. » 1
Χαρίτων ἱερομ. ἀπὸ ἁγ. Βασίλ. » 1
Μάξιμος μοναχ. » 1
Παΐσιος μοναχ. » 1
Ἀπὸ Κερασία Βικέντ. καὶ Συμ. » 3
Αὐξέντιος μοναχ. » 1
Παχώμιος μοναχ. » 1

—

Ἡ Ἱ. Σκ. τοῦ Καυσοκαλ. » 1
Ἀντώνιος ἱερομ. καὶ οἱ σὺν αὐτῷ » 10
Νεῖλος ἱερομόναχ. » 1
Ἰάκωβος μοναχ. » 1
Ἀνδρόνικος μοναχ. » 1
Δανιὴλ ἱερομ. Σάμιος » 1
Μακάριος ἱερομ Σινασίτης » 1
Συμεὼν μοναχ. ἐκ Πόρου » 1
Θεόληπτος μοναχ. » 1
Ἀκάκιος μοναχ. » 1
Νεῖλος μοναχ. Λέσβιος » 1
Σάββας μοναχ. ζωγρ. Σωμ. 1
Δανιὴλ μοναχ. Σμυρναῖος » 1
Μακάριος μοναχ. Σάμιος » 1
Πρόδρομ. μοναχ. ἐκ Περιστάσεως » 1
Βασίλειος Ἀνδριανοπολίτης » 1
Οἱ ἀπὸ Ἅγ. Νεῖλον ἀδελφοί » 1
Γρηγόρ. μοναχ. Ξυλογράφ. » 1

—

Ἡ Ι. Σκ. τοῦ ἁγ. Παύλου Σωμ. 2
Κοσμᾶς ἱερομ. Πνευμ. » 1
Χριστόφορος ἱερομον. πνευμ. » 1
Ὁ ὁσιωτ. Φιλάρετος ὁ γέρων » 1
Ἄνθιμος καὶ Θεόκλητος μοναχ. » 1
Κύριλλος ἱερομ. ζωγράφ. » 1
Τιμόθεος μοναχ. » 1
Παΐσιος μοναχ. Κυμαῖος » 1
Ματθαῖος μοναχ. » 1
Ἀβράμιος μοναχ Πελοπον. » 1
Σεραφεὶμ ἱεροδιάκ. Πελοπον. » 1
Δαβὶδ μοναχ. Λέσβιος » 1
Παῦλος μοναχ. Ζαγοραῖος » 1
Δανιὴλ μοναχ. » 1
Θεοδόσιος μοναχ. Πελοπον. » 1

—

Ἡ Ἱ. Σκ. τοῦ Βατοπαιδ. Σωμ. 2
Σάββας μοναχ. » 1
Ἡρωδίων μοναχ. » 1
Ἰγνάτιος μοναχ. Σμυρναῖος » 1
Βαρσανούφιος μοναχ. Ἠπειρ. » 1
Συμεὼν μοναχ. » 1

—

Ἡ Ἱ. Σκ. τῶν Ἰβήρ. τὸ κοιν. Σωμ. 2
Ἰγνάτιος ἱερομ. πνευμ. » 1
Ἰάκωβος μοναχ. Προδρομίτης » 2
Γαβριὴλ μοναχ. μοσχοθυμιοπ. » 1
Νεῖλος ἱερομ. Ῥήσιος. » 1
Παχώμιος μον. ἐκ Ῥαιδεστοῦ » 1
Κύριλλος μοναχ. βιβλιοπώλ. » 3

—

Ἡ Ἱ. Σκ. τοῦ Ξενοφ. τὸ κοιν. Σωμ. 2
Σοφονίας προηγούμ. » 1
Νικηφόρος ἱερομ. Κεφαλλὴν » 1
Γρηγόριος ἱεροδ. ἐκ Βερροίας » 1
Συμεὼν ἱερομ. » 1
Ἀρσένιος μοναχ. πρ. Γρηγορ. » 1
Ἰωσὴφ μοναχ. Λέσβιος » 1

www.tezaurliturgic.ro



Μακάριος μοναχ. Σουλιώτης Σωμ. 3
Ἀγλάϊος μοναχ. Πελοπον. » 1
Θεόκλητος μοναχ. Σκιαθίτης » 1

—

Ἡ. Ἱ. Σκ. τοῦ Κουτλουμουσ. Σωμ. 2
Ἰωάννης Ἱεροδιακ. » 2
Χαράλαμπος ἱερομ. » 1
Εὐγένιος μοναχ. πρ. Ῥῶσσος » 1
Δωρόθεος ἱερομ. Πελοπον. » 1
Μάξιμος μοναχ. Πελοπον. » 1

### ΟΙ ΕΞ ΑΘΗΝΩΝ

Ὁ Σ. Μητρ. Ἀθην. Προκόπιος Σωμ. 3
Ὁ Σ. πρ. Λαρίσ. Δωρόθεος » 2
Ὁ Σ. πρ. Κεφαλ. Σ. Κομποθέκ. » 2
Ὁ Παν. ἀρχ. Ἀκαρν. Γεράσιμ. » 2
Ὁ Παν. Μαντινείας Θεόκλητος » 2
Ὁ Παν. ἐπ. Καλαβρ. Εὐθύμιος » 2
Ὁ Παν. Οἰτύλου Προκόπιος » 2
Ἰ. Μαρτῖνος ἀρχιμ. » 1
Δαμασκ. Χριστόπουλος ἀρχιμ. » 1
Προκ. Οἰκονομίδης » 1
Δαμασκ. Κωνσταντινίδ. ἀρχιμ. » 1
Γερμανὸς ἱερομ. πρ. ἔξαρ. Π.Τ. » 1
Ἄνθιμ. ἱεροδ. Ζ. Πηγῆς » 1
Μακάριος ἱεροδ. τοῦ Π. Τ. » 1
Ἄνθιμος Μανουσόπουλος ἀρχ. » 1
Παρθένιος ἱερομ. ἁγ. Θεοδ. » 1
Ν. Γιανίτσης ἱερεὺς φρ. Ἀθην. » 1
Παναρ. Π. Εὐθυμ. ἱερομ. » 1
Γρηγ. μοναχ. Ζωοδ. Πηγῆς » 1

### *Οἱ ἔντιμοι Κύριοι*

Ἀντώνιος Βασαξῆς » 1
Βασίλ. Ἐργαστηριάρης » 1
Γ. Μίλησις βουλευτὴς » 1
Ἀ. Ἀντωνιάδης βουλευτὴς » 1
Δ. Ραχτιβὰν » 1
Γρηγόριος Πουρνιᾶς συμβολ. » 3
Β. Δ. Ζῶτος Μολοσσός. » 1
Ἰ. Λεωνίδας λοχαγ. » 1
Ἀλέξ. Μωραϊτίδης καθηγ. » 1
Ἀριστείδης Παπαδόπουλος » 1
Μιχ. Σπυριδ. ἐκ Ῥαιδεστ. » 1
Παναγ. Δ. Καλογερόπουλος » 1
Πέτρος Χαρακόπουλος » 1

Χαρ. Καλφόπουλ. ἐκ ΡαιδεστοῦΣωμ. 1
Μιχαὴλ· Δημήτριος· Παναγ· καὶ
Ἀναστ. ἀδελ. Ζαφειρ. ἐξ Αἰγίν. » 4
Ἀριστείδ. Λιγδόπουλος » 1
Στέργιος Π. Γεωργίου » 1
Γ. Ταξινόπουλος » 1
Σ. Βασιλειάδης » 1
Ἀργύριος Φύσσας » 1
Ἠλίας Ἀργυρίου » 1
Φ. Γεωργαντᾶς » 1
Διονύσιος Γ. Κατόρης » 1
Σ. Πισιμίση » 1
Ι. Βῆχος » 1
Δ. Καφπούζογλος » 1
Δ. Ἀπέργης » 1
Ι. Δάβρης » 1
Ι. Χασάπης » 1
Ἀντών. Ἁγιοβλασίτου » 1
Γεώργ. Ἡρακλῆς » 1
Ἀνδρ. Χ. Νικολάου » 1
Περικλῆς Γ. Καλάρης » 1
Δημ. Φραγγούλης Λευκάδ. » 1
Ἀνδρέας Α. Κοντὸς » 1

—

Ἀσήμ. Λεονάρδου » 1
Ἰωάν. » » 1
Θεοδ. » » 1
Μ. » » 1
Δ. » » 1
Λεονάρδος Θ. Κοντός » 1

—

### *Οἱ ἐκ τῆς Ῥιζαρείου Σχολῆς*

Λεόντιος ἱεροδ. Βατοπαιδ. Σωμ. 1
Ἀντών. Ῥεβίνθης ἐκ Παρισ. » 1
Γεώργ. Φραντζῆς Ἀθηναῖος » 1
Φλῶρος Ἐμ. Κατσουρὸς Νάξιος » 1
Παντελ. Δ. Κριεζῆς Ὑδραῖος » 1
Κορνήλ. Φωτιάδης Βατοπαιδ. » 1
Καραχάλιος » 1

### ΟΙ ΕΚ ΠΕΙΡΑΙΩΣ

Ἀντών. πρ. Κερκύρ. ἀρχιερ. Σωμ. 3
Ἀβέρκιος πρ. Πατρῶν » 3
Ἰωάσαφ Σίακος ἱεροκ. Ἀττικῆς » 2
Σωφρόνιος Γαληνὸς ἱερομ. Κρὴς » 1



Ἠλίας Ἀλεξόπουλος ἱερεὺς Σωμ. 1
Σωφρόνιος ἱερεὺς » 1
Ἀδελφοὶ Μέρμιγγα » 3
Ἀδελφοὶ Βαρβαρέση » 2
Νικόλαος Ἀργυρίου » 1
Ν. Καπερώνης » 1
Δ. Κόκινος » 1
Β. Βαροξάκης » 1
Γ. Χριστοφίλης » 1
Φωκίων Βάμβας » 1
Χρ. Δημάκης » 1
Γεράσ. Παπασμύρης » 1
Βασίλ. Κ. Δεληγιάννης » 1
Γ. Θ. Πολιτόπουλος » 1
Ἰ. Βητάλης » 1
Δημήτρ. Παντελῆς. καὶ Ἀντών.
ἀδελφ. Μπαστούνη ἐκ Κρανιδ. » 3
Σταῦρος Γκιονάκης » 1
Ἀ. Βενιζέλου » 1
Ἀ. Ῥιζοπούλου » 1
Ἀ. Ἀγριανίτης » 1
Κρίτων ἐπιπλοποιὸς Ἄνδριος » 1
Γεράσ. Ε. Λιβιεράτος φοιτ. » 1
Κ. Λαζαρίδης » 1
Σ. Α. Ροῦσος » 1
Γεώρ. Ν. Λεούσης τέκτων » 1
Διονύσιος, Γκορογιάννης » 1
Π. Κοντοπίθαρος » 1
Κ. Α. Μουζοτόπουλος » 1
Ἐμμαν. Μανολικίδης ἐπιπλ. » 1
Ἰωάν. Μαργκούνης ἐκ Πόρου » 1
Μ. Λογιωτατίδης » 1
Π. Παπαδόπουλος » 1
Σ. Δρίτσης » 1
Ἰ. Μπαλαλᾶς » 1
Ἀριστ. Χριστοφίλης » 1
Ἰ. Παυλίδης » 1
Ν. Παπαδόπουλος » 1
Γ. Λόγγος—Ἰ. Θεοχάρης » 1
Εὐαγ. Παπαδόπουλος » 1
Θεοφάνης Σαχίνης » 1
Νικόλ. Ι. Δεστεγιαννόπουλος » 1
Εὐάγ. Καλκαντῆς » 1
Γ. Κολοσούκας φοιτητ. » 1
Ἰ. Ἀναγνωστόπουλος » 1
Ἰωάν. Τσακίρης. Ψάλτης » 1

Ἠλ. Στρατούλης Σωμ. 1
Ἀνδρ. Βαρδάκης » 1
Ἀχιλ. Οἰκονόμου » 1
Γεωρ. Φιλαρετόπουλος » 1
Ν. Π. Βασιλάκης φοιτητ. » 1
Σπ. Γ. Μονοκροῦσος Κεφαλ. » 1
Α. Γ. Μονοκροῦσος Κεφαλ. » 1
Μιχ. Καμπανάος » 1
Σπ. Καμπανάος » 1
Εὐθ. Τερζάκης φοιτ. » 1
Βασ. Τυρρηνόπουλος » 1
Γ. Γιαννοῦκος » 1
Στυλ. Γ. Μπέσης » 1
Ἐλευθ. Κολοκούβαρος » 1
Ἰωαν· Βρεσθενιώτης » 1

### *Οἱ ἐκ τοῦ Ναοῦ τῆς Ἁγίας Τριάδος.*

Μιχαὴλ ἱερεὺς οἰκονόμ. » 1
Βασίλ. Ἀθανασίου πνευμ. » 1
Θεόδωρος ἱερεὺς » 1
Νέανδρος ἱεροδ. » 1
Ν. Παππα Ἰωάννου πρωτοψ. » 1
Πέτρ. Παππαστεφανίδης φοιτ. » 1

### *Οἱ ἐκ τοῦ Ναοῦ τοῦ Ἁγ. Σπυρίδωνος.*

Δημ. Παΐζης ἱερεὺς Σωμ. 1
Ἰ. Δρέττας ἱερεὺς » 1
Δ. Παππακωνσταντόπουλος » 1
Ἀβέρκιος ἱερομ. » 1
Γαβριὴλ Παππαϊωάννου ἱεροδ. » 1
Ἄνθιμος μοναχ. ἐκκλησιάρχης » 1
Β. Κοζαδῖνος » 1
Π. Δαμάσκος » 1
Ἀλέξ. Μάγγος » 1
Ν. Χατζηδημητρίου » 1
Ἰ. Κορωναῖος πρωτοψ. » 1
Ἰ. Μαρκουΐζος φοιτητ. » 1
Γ. Τουρόπουλος » 1
Ἰ. Κοτομάτης νεωκόρος » 1
Δ. Βιτιβίλιας » 1
Γ. Παρασκευόπουλος » 1

### *Οἱ ἐκ τοῦ ναοῦ τοῦ Ἁγ. Κωνσταντίνου.*

Ἱερώνυμος Βλαχάκης ἀρχιμ. » 1
Ἀνδρέας Οἰκονόμος ἱερεὺς » 1
Ἱερεμίας Σκορδηνάκης ἱερεὺς » 1

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

www.tezaurliturgic.ro



Κ. Καραγιαννόπουλος ἐπίτροπ. » 1
Γερμανὸς ἱερομ. ἀπὸ ἅγ. Νικόλ. » 1
Κύριλος ἱερόμ. » » 1
Β. Γεωργακάκης ἀπὸ ἅγ. Βασιλ. » 1
Γρηγόριος ἱερομ. » 1
Γεώρ. ἱερεὺς ἀπὸ ἅγ. Διονύσ. » 1
Νζιλιβάκης ἡγούμ. προφ. Ἠλ. » 1

### ΟΙ ΕΝ ΠΑΤΡΑΙΣ

Ὁ Σ. ἀρ. Πατρ. Ν. Καλογερᾶς Σωμ. 3
Π. Ἀρχιμ. Μουσικοδ. » 1
Νεόφυτος ἱερομ. ἁγιορείτης » 1
Βαρθ. Γεωργιάδης ἱερεὺς τάγμ. » 1
Κανέλος Ἀποστολόπουλος » 1
Α. Σακελλαρόπουλος » 1
Ἀλέξ. Δ. Παπαλεξόπουλος » 1
Χρῆστος Ε. Μηλάκης » 1
Β. Σεκόπουλος » 1
Κλεομένης Ἀθήνης » 1
Ἀνδρέας Θ. Λιακόπουλος » 1
Βασίλειος Ι. Ῥοδίτης » 1
Ἀσιμάκης Ν. Σολωμὸς » 1
Γ. Π. Δροίκας » 1
Ι. Π. Τζοανόπουλος » 1
Ἀριστείδ. Σταθακόπουλος » 1
Χαρ. Γ. Ἀθανασίου μοναχ. » 1
Ἡ Ἱ. Μ. Γεροκομ. τὸ κοιν. » 1
Ἰωακεὶμ Νικολαΐδης ἡγούμ. » 1
Α. Γεωργόπουλ. πρ. Ἡγούμ. » 1
Χριστόφ. Κωνσταντινίδης ἱερομ. » 1
Ἀγαθάγ. Γιαννακόπουλος » » 1
Ἡ Ἱ. Μ. Λαύρα Καλαβρ. » 2
Ἀγάπ. Θεοφανόπουλ. ἱεροκ. » 1
Διονύσιος Παϊκόπουλος ἱερομ. » 1
Θεόφιλος Παππαχρήστου » 1
Ναθαναὴλ Ἀντωνίου ἱερομ. » 1

### ΟΙ ΕΝ ΣΥΡΩ

Ὁ Πανιερ. ἀρχιεπ. Σύρ. Τήν. καὶ Μήλ. Κ. Μεθόδιος Σωμ. » 10
Ματθ. Χ. Εὐαγγελιν. πρωτοσ. » 1
Σεραφ. Ἀναγν. διευθ. Ἱ. σχολ. » 1
Κύριλλος Βενιέρης καθηγ. » 1
Γρηγόριος Βουλιέρης ἱεροδ. » 1
Ἄγγελος Μαρκούλης ἱερεὺς » 1
Νικολ. Φραγκιδάκ. ἱερεὺς » 1
Παῦλος Ἰσιδώρου ἱεροδ. » 1
Ἰωάν. Ῥενιέρης ἱερεὺς Τήνιος » 1
Γαβρ. Κατακουζηνὸς ἱεροδ. » 1
Ἰωαν. Ζωλότας ἱερεὺς Σακελ. » 1
Κωνσταν. Α. Μπάτσης ἱεροδ. » 1
Δημήτριος Λεμὸς ἱερεὺς » 1
Ἐλευθ. Πλητᾶς ἱεροδ. » 1
Μ. Ἀράπης ἱερεὺς χαρτοφ. » 1
Μιχαὴλ Πυθαράκης ἱερεὺς » 1
Γεώργ. Ζωλότας ἱεροδ. » 1
Δημήτρ. Μηχάλοβιτζ ἱερεὺς » 1
Παρ. Ν. Βουσκοδάκης ἱεροδ. » 1
Παΐσιος Γιαννόπουλος Σύγγελ. » 1
Γεράσιμ. Κουντούρης ἱερεὺς » 1
Ἀθανάσ. Τζαγκαράκης ἱεροδ. » 1
Παναγ. Ν. Οἰκονόμ. ἱεροδ. » 1
Ἀντών. Γαβαλᾶς ἱερεὺς » 1
Ἰωάν. Γλύκας ἱεροδ. » 1
Θ. Μ. Παππαδόπουλ. μουσικ. » 1
Μ. Κ. Στυλιανοῦ μουσικ. » 1
Νικόλ. Ἰσιδώρου » 1
Ἰωάν. Δ. Βαβλέκας » 1
Ἠλίας Ἀστρίτης Κρὴς » 1
Ἠλίας Γεωργίου » 1
Γεώργ. Λομβαρδᾶς Ἰκάριος » 1

### ΟΙ ΕΝ ΡΑΙΔΕΣΤΩ

Ὁ Σ. ἅγ. Ἡρ. καὶ Ρ. Γρηγ. Σωμ. 3
Πρωτοσυγγελ. Νικόδημος » 1
Γ. Κρητικὸς ἰατρὸς » 1
Γ. Λαζίδης » 1
Εὐαγγελ. Παππαϊωάννου » 1
Ν. Σαββαδόπουλος » 1
Ἀδελφ. Μαργαριτὼφ » 1
Στέφαν. Κ. Κεχαϊόγλου » 1
Ζαφείριος Κωβαλακίδης » 1
Ν. Βενλίδης φαρμακοπ. » 1
Μ. Κωνσταντινίδης » 1
Γ. Θεοχαρίδης » 1
Ἀδελφ. Καρακατσάνη » 1
Λεωνίδας Καλαμίδας » 1
Μιχαὴλ Κωβαλακίδης » 1